Nonnulla similiter σχολ. Apollon. Rhod. II. 259. Ἐμπαθέστερος γίνεται ὁ ὅρκος, ὅταν τις κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς — καὶ Δημοσθένης μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους. Adjungatur Plutarchus de Gloria Atheniensium: — τὸν Δημοσθένους περὶ τοῦ στεφάνου παραβάλωμεν· ἐν ᾧ τοῦτο λαμπρότατον καὶ λογιώτατον ὁ ῥήτωρ πεποίηκεν, ὀμόσας τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων. Item Hermogenes p. 260. Edit. Crispin. Μεθόδου λαμπρᾶς, καὶ τὸ τὰ ἔνδοξα ἐνδοξοτέρως λέγειν, ὥσπερ ἐκεῖνος τὸ, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τὰ ἑξῆς. Τοῦτο γὰρ παράδειγμα μὲν ἔνδοξον· οἷον ὀρθῶς οὖν ἐβούλευσα ὑπὲρ ἐλευθερίας τῶν Ἑλλήνων κινδυνεύειν, οὕτω γὰρ ἐποίουν καὶ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· ὁ δὲ εἰς τὸν ὅρκον αὐτὸ ἀναγαγὼν ἐνδοξότερον αὐτὸ ἐποίησε, καὶ λαμπρόν· οὐχ ἥμαρτον ταῦτα συμβουλεύσας, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας, καὶ τὰ ἑξῆς. Idem

iterum, περὶ μεθόδ. δεινότ. p. 424. cap. περὶ Ὅρκου: scil. Πρῶτος δὲ ὅρκον ἠθικὸν Ὅμηρος ὤμοσεν, εἶτα Πλάτων ἐμιμήσατο· εἶτα Δημοσθένης ἐκληρονόμησε πάντων — Δημοσθένης δὲ ἠθικὸν πολιτικόν· οὐ μὰ τοὺς ἐν Σαλαμῖνι παραταξαμένους, καὶ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας. Adde Pausan. in Attic. c. 32. Hartung. Decur. II. Capp. 3. et 9. apud Gruter. F. A. Tom. II. pagg. 677. 697. Per deridiculum tractat Athenæus l. 9. Δεομένων οὖν ἡμῶν καὶ λιπαρούντων δεικνύναι τὴν σοφίαν, οὐκ ἐρῶ, φησὶ, τῆτες, μὰ τοὺς ἐν Μαραθῶνι κινδυνεύσαντας, καὶ προσέτι τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας. Et *Lucianus* etiam in *Encomio* juxta finem: Ἄγε δὴ τοῦτον, ἔφη, πρὸς Ἀντίπατρον, Δημοσθένην δὲ οὐκ ἄξεις, οὐ μὰ τοὺς — κἀμοὶ μὲν ἐφαίνετο προσθήσειν, τοὺς ἐν Μαραθῶνι πεπτωκότας. Hæc, lector, volebam nescius ne esses. TAYLOR. Lactantius ad Statium: *Ut jurent Athenienses Marti et Marathoni.* Codex MS. Lindenbrog. *Matheos et Marathoni.* Legendum μὰ τοὺς ἐν Μαραθῶνι, v. Gevart. Elect. TAYLOR. in schedis.

ΛΙΒΑΝΙΟΥ ̔ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

Pag. ed. Reisk.

ΤΕΙΧΟΣ μὲν ὁ ῥήτωρ ὑπὲρ Ἀθηναίων προὐβάλετο τῶν συνήθων τούτων καὶ χειροποιήτων
ἀῤῥαγέστερόν τε καὶ βέλτιον, τήν τε εἰς τὴν πόλιν εὔνοιαν καὶ περὶ λόγους δεινότητα, ὡς αὐτὸς
εἴρηκεν, οὐ λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὠχύρωσα, ἀλλὰ μεγάλαις
δυνάμεσι καὶ πολλῇ τινὶ συμμαχίᾳ, τῇ μὲν ἐκ γῆς, τῇ δὲ ἐκ θαλάτ-
της· οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον οὐ μικρὰ τῇ πόλει συνεβάλετο. Πεπονη- 221
κότος γὰρ κατὰ πολλὰ μέρη τοῦ τείχους τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτό, ᾑρέθη-
σαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν παρέχεσθαι ψιλὴν
τοῦ ἔργου· τὸ γὰρ ἀνάλωμα δημόσιον. εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ γενόμενος, οὐχ ὁμοίως τοῖς
ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε, τὰ
δὲ χρήματα ἔδωκεν οἴκοθεν τῇ πόλει. Ἐπῄνεσεν [1] αὔτου τὴν εὔνοιαν ταύτην ἡ βουλή, καὶ τὴν
[2] προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ· ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποι-
ούντων. Κτησιφῶν δὲ ἦν ὁ τὴν γνώμην εἰπών, ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην ἐν μὲν καιρῷ
τοῖς Διονυσίοις, ἐν δὲ τόπῳ τῷ τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς πᾶσι τοῖς Ἕλλησιν, οὓς ἡ
πανήγυρις συνήγαγε· καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κήρυκα, ὅτι στεφανοῖ Δημοσθένην Δη-
μοσθένους Παιανιέα ἡ πόλις ἀρετῆς συμπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς αὐτήν. Ἦν οὖν
πανταχόθεν ἡ τιμὴ θαυμαστή· διὸ καὶ φθόνος αὐτῆς ἥψατο, [3] καὶ κατὰ τοῦ ψηφίσματος
ἀπηνέχθη παρανόμων γραφή. Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους ἀγῶνα παρανόμων
ἐπήγγειλε Κτησιφῶντι, λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην καὶ μὴ δόντα λόγον ὑπεύθυνον
εἶναι, νόμον δὲ κελεύειν τοὺς ὑπευθύνους μὴ στεφανοῦν, καὶ πάλιν νόμον παρεχόμενος τὸν κελεύ-
οντα, ἐὰν μέν τινα ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι,
ἐὰν δὲ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ, ἀλλαχόθι δὲ μὴ ἐξεῖναι. φησὶ δὲ καὶ τοὺς ἐπαίνους εἶναι 222
τοὺς ἐπὶ τῷ Δημοσθένει ψευδεῖς· μὴ γὰρ πεπολιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωρο-

[1] αὐτοῦ   [2] προμήθειαν   [3] καὶ τοῦ ψηφίσματος. ἀπηνέχθη

Τῶν συνήθων τούτων] Συνηθῶν Συνήθων postulat analogia. Sed quorum nominativi in ης penacutum desinunt, eorum genitivos plurales, et adverbia inde ducta, toties video, et in tam diversis Codd. penultima acuta scribi, ut dubitem, an id culpa librariorum accidat. Wolf.

Ὠχύρωσα] Alii ὠχύρωσεν. Constructio postulat ὀχυρώσας. Idem.

Ὀχυρώσας] Hoc Wolfianum est, non editorum, aut mstorum. Revoca autem ex iis ὠχύρωσα: Demosthenem enim quasi loquentem fingit, orationemque ejus adducit, ὡς αὐτὸς εἴρηκεν. Locum, ad quem adludit, vide §. 93. Taylor.

Εἷς οὓς ἔδει τὴν ἐπιμέλειαν παραίνεσθαι τοῦ ἔργου] Pro δι' ὧν. Et sic fortasse legendum. Sed Feliciani editio [et msti nonnulli] ἄνευ σοφῶν φαρμάκων habet οὓς [sine εἷς] ἔδει τὴν ἐπιμέλειαν ψιλὴν παρέχεσθαι τοῦ ἔργου. Wolf. Εἷς οὓς ἔδει κ. τ. λ. habent nonnulla exemplaria, sc. Aldina, Parisiensia, Lindenbrogii. Recte quadantenus. Quod fortasse mireris. Sed vide, ut flammam ex isto silice excutiam. Ait Libanius huic operi curando dari *denos viros e singulis tribubus.* Itane? Vix crediderim. Non *centenis* civibus ea res erat perficienda. Non tanti erat. Verum unaquæque tribus *suum* tribulem ad id muneris emisit. Lege ergo, correctione nunquam pœnitenda, quam subjecit ora exemplaris Bodleiani, ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς ἑκάστης εἷς· οὓς ἔδει κ. τ. λ. Taylor.

Προμύθειαν] [ut ab Aldo et Feliciano edebatur] προμήθειαν [Benenati] per η in antepenultima, id est, πρόνοιαν, ferri potest: Sed melius est προθυμίαν. Wolf.

Ἡ πόλις] F. ἡ πόλις σύμπασα, ἀρετῆς ἕνεκα, etc. Markland.

Ὁ φθόνος] Articulum debemus liberalitati Wolfii: Itemque præpositionem κατὰ in linea proxima: Quæ tamen pene est necessaria. Φθόνος αὐτοῦ ἥψατο MS. Ven. sc. *Demosthenem*, ut vertitur quoque. Taylor.

Ἀπήγγειλε] Ἐπήγγειλε. Et v. seq. νόμος δὲ κελεύει. Lego cum Obsopœo, νόμον δὲ κελεύειν. Et pro, τὸν κελεύοντα, τὸν λέγοντα. Et p. 21. v. 1. καὶ τάξει γε ταύτῃ τῆς κατηγορίας. Wolf. Nam ταύτης ubique: quantum investigare potui. Taylor.

Νόμον δὲ κελεύειν] Pro νόμος κελεύει. MS. νόμον δὲ κελεύειν, in accusativo, quæ recta videtur lectio. Deinde pro τὸν κελεύοντα, antiquum habuit τὸν λέγοντα. Obsopœus. Νόμον δὲ κελεύειν etiam exhibent editi a Benenato, et Feliciano. λέγοντα etiam idem Felicianus cum MSto Reg. ι.

δίκαιον εἶναι καὶ πολλῶν κακῶν αἴτιον τῇ πόλει. Καὶ τάξει γε [1] ταύτῃ τῆς κατηγορίας Αἰσχίνης κέχρηται, πρῶτον εἰπὼν περὶ τοῦ τῶν ὑπευθύνων νόμου καὶ δεύτερον περὶ τοῦ τῶν κηρυγμάτων καὶ τρίτον περὶ τῆς πολιτείας· ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν αὐτὴν τάξιν ποιήσασθαι. ὁ δὲ ῥήτωρ καὶ ἀπὸ τῆς πολιτείας τὴν ἀρχὴν ἐποιήσατο, καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέστρεψε, τεχνικῶς ποιῶν· δεῖ γὰρ ἄρχεσθαί τε ἀπὸ τῶν ἰσχυροτέρων καὶ λήγειν εἰς ταῦτα· μέσα δὲ τίθησι τὰ περὶ τῶν νόμων. καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων ἀντιτίθησι διανοίας, τῷ δὲ περὶ τῶν κηρυγμάτων νόμον ἕτερον ἤτοι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται.

ἙΤΕΡΑ ὙΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

ἈΘΗΝΑΙΟΙ καὶ Θηβαῖοι πολεμοῦντες πρὸς Φίλιππον ἐν Χαιρωνείᾳ, πόλει τῆς Βοιωτίας, ἡττήθησαν· ἐπικρατήσας οὖν ὁ Μακεδὼν φρουρὰν μὲν εἰς τὰς Θήβας ἐνέβαλε, καὶ εἶχεν ὑπὸ χεῖρα δουλεύουσαν. ἐλπίσαντες οὖν τὸ αὐτὸ παθεῖν Ἀθηναῖοι, καὶ ὅσον οὐδέπω [2] καθ' αὐτῶν
223 ἥξειν προσδοκῶντες τὸν τύραννον, ἐσκέψαντο τὰ πεπονηκότα μέρη τῷ χρόνῳ τοῦ τείχους ἐπανορθώσασθαι· καὶ δὴ ἀφ' ἑκάστης φυλῆς τειχοποιοὶ προεβλήθησαν. τοιόνδε καὶ ἡ Πανδιονὶς ἐξ ἑαυτῆς εἵλετο πρὸς [3] τὴν χρείαν τὸν ῥήτορα. τῆς τοίνυν ἐργασίας ἐν χερσὶν οὔσης, προσδεηθεὶς ἔτι χρημάτων [4] μετὰ τὰ δεδομένα ὑπὸ τῆς πόλεως ὁ ῥήτωρ ἐκ τῶν ἰδίων ἐδαπάνησε, καὶ οὐκ [5] ἐλογίσατό αὐτὰ τῇ πόλει, ἀλλὰ καὶ ἐχαρίσατο. Ταύτην ἀφορμὴν ὁ Κτησιφῶν εἰς τῶν πολιτευομένων δεξάμενος, εἰσήνεγκε γνώμην ἐν τῇ βουλῇ περὶ αὐτοῦ τοιαύτην· ἐπειδὴ διατελεῖ Δημοσθένης ὁ Δημοσθένους παρ' ὅλον τὸν βίον εὔνοιαν εἰς τὴν πόλιν [6] ἐνδεικνύμενος, καὶ νῦν δὲ τειχοποιὸς ὢν καὶ προσδεηθεὶς χρημάτων οἴκοθεν παρέσχε καὶ ἐχαρίσατο, διὰ τοῦτο δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ [7] στεφανοῦσθαί αὐτὸν χρυσῷ στεφάνῳ ἐν τῷ θεάτρῳ τραγῳδιῶν ἀγομένων καινῶν, [8] ἴσως ὅτι τότε πλῆθος συντρέχει ἐπιθυμοῦντα καινὰ δράματα βλέπειν. Εἰσαγομένου τοίνυν καὶ εἰς τὸν δῆμον τοῦ προβουλεύματος, ἐφίσταται τοῦ Κτησιφῶντος κατήγορος Αἰσχίνης, ἐκ τῆς πολιτείας ὑπάρχων ἐχθρός, παράνομον εἶναι φάσκων πρὸς τρεῖς νόμους τὸ ψήφισμα, ἕνα μὲν τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ [9] στεφανοῦν, πρὶν ἂν δῷ τὰς εὐθύνας· οὔπω δὲ ταύτας, φησίν, ὁ Δημοσθένης ἐδεδώκει, καὶ τὰ θεωρικὰ διοικῶν καὶ τειχοποιῶν, καὶ ἔδει ἀναμεῖναι καὶ ἐπισχεῖν τὸ γέρας, ἕως ἂν [10] ὤφθη καθαρὸς ἐξετασθείς. δεύτερον δὲ ἀναγινώσκει νόμον τὸν κελεύοντα ἐν Πνυκὶ [11] στεφανοῦσθαι ἐν τῇ ἐκκλησίᾳ, διαβάλλων

[1] ταύτης [2] κατ' αὐτῶν [3] Deest articulus. [4] μετὰ τὰ δεδομένα] μεταδεδομένων
[5] ἐλογίσατο αὐτὰ [6] ἐπιδεικνύμενος [7] στεφανοῦσθαι αὐτὸν χρυσέῳ
[8] ἴσως ὅτι πλῆθη [9] στεφανοῦσθαι [10] ὀφθῇ [11] στεφανοῦσθαι, οὐκ ἐν

TAYLOR.

Μέσα] Similiter, in argumento, quod sequitur: Τοὺς μὲν γὰρ δύο νόμους, τόν τε τῶν ὑπευθύνων, καὶ τὸν τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέῤῥιψε, στρατηγικῶς τοὺς κακοὺς ἐς μέσον ἐλάσας. Quintilian. VII. 1. *Demosthenes atque Æschines — in judicio Ctesiphontis diversum secuti ordinem, cum Accusator a Jure, quo videbatur potentior, cœperit: Patronus omnia, vel pene omnia, ante jus posuerit, quibus judicem quæstioni legum præpararet.* Καὶ γὰρ ἐν τῷ πολέμῳ, inquit Xenopho Memorab. l. 3. in principio, τούς τε πρώτους ἀρίστους δεῖ τάττειν, καὶ τοὺς τελευταίους, ἐν δὲ μέσῳ τοὺς χειρίστους cetera. IDEM.

Καὶ τῷ τῆς περὶ] Lege cum universis, καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων—Cui familiariter respondet, τῷ δὲ περὶ τῶν κηρυγμάτων. Nescio, unde Wolfio displiceret. Video esse necessarium. IDEM.

Ἀντιτίθησι διανοίας] Hoc est, a scripto recedens, voluntate legislatoris nititur. WOLF.

Τοιόνδε καὶ ἡ] [Editi et MSti] Forte, τοιγαροῦν καὶ ἡ. Et v. seq. πρὸς τὴν χρείαν. IDEM.

Μετὰ τὰ δεδομένα ὑπὸ τῆς πόλεως] Ita Reg. a. Cæteri omnes μεταδεδομένων. TAYLOR.

Προσδεηθεὶς] Benenatus, ut legimus supra, v. 6. Et membranæ quoque Regiæ, si Cod. ζ. excipias. IDEM.

Δεδόχθαι] Ita Wolfius solus et silens. δεδόχθω enim constanter in Impressis, quibus consentiunt o. l. s. Subjecit quidem ὁ δεῖνα in Exempl. Altemps. δεδόχθαι. Plura fortasse ad §. Θ'. IDEM.

Τραγῳδιῶν ἀγομένων καινῶν] In Æschine legitur τραγῳδῶν ἀγωνιζομένων καινῶν, et τραγῳδοῖς. Utrum autem eo tempore novi Tragici Athenis exstiterint, an tantum de novis Histrionibus fiat Sermo, nostra parum interest. WOLF.

Δεδώκει] Ἀντὶ τοῦ, ἐδεδώκει. IDEM. Δεδώκει in Aldinis. ἐδεδώκει Editorum cæteri. TAYLOR.

Πνυκὶ στεφανοῦσθαι, οὐκ ἐν τῇ ἐκκλησίᾳ] F. οὐκ ἐν τῷ θεάτρῳ. Aut, omissa negatione, Πνυκὶ στεφανοῦσθαι, ἐν τῇ ἐκκλησίᾳ. Πνὺξ enim locus fuit legitimæ Concionis, διὰ τὸ πυκνὰ ἐκεῖ συνελθεῖν, ἢ διὰ τὸ πυκνοῦσθαι· Καίτοι μυρίων ἐκεῖ ἀνοήτων καὶ βδελυρῶν πολλάκις ἐκκλησιασάντων, καὶ βλαβερὰ τῇ πόλει ψηφισαμένων. WOLF. Wolfius con-

τοὺς πολίτας τοὺς δεξαμένους ἐν τῷ θεάτρῳ ἀναγορευθῆναι τοῦ Δημοσθένους τὸν στέφανον. 224
ὁ δὲ τρίτος νόμος εἰς τὴν ὅλην ὁρᾷ τοῦ βίου καὶ τῆς πολιτείας ἐξέτασιν· κελεύει γὰρ μηδέποτε
ψευδῆ γράμματα εἰς τὸ Μητρῷον εἰσάγειν, ἔνθα ἐστὶν ὅλα τὰ δημόσια γράμματα. ἐψεύ-
σατο δέ φησιν, εὔνοιαν καὶ σπουδὴν μαρτυρήσας τῷ Δημοσθένει·
κακόνους γὰρ μᾶλλον καὶ πολέμιος εὑρίσκεται τῇ πατρίδι. Τού-
του τοῦ νόμου χρησίμου τυγχάνοντος τοῦ τρίτου, ἀντιλαβόμενος ὥσπερ τινὸς ἀγκύρας ὁ ῥήτωρ
κατεπάλαισε τὸν ἀντίδικον, μεθόδῳ δεινοτάτῃ καὶ σοφωτάτῃ τῇ περὶ τοῦ κατηγόρου χρησά-
μενος· ἐκεῖθεν γὰρ ἔσχε λαβὴν ἑλεῖν καὶ καταγωνίσασθαι τὸν πολέμιον. τοὺς μὲν γὰρ ἄλλους
δύο νόμους, τόν τε τῶν ὑπευθύνων καὶ τὸν τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέῤῥιψε
στρατηγικῶς, κακοὺς δ' εἰς [1]μέσσον ἐλάσας, τῷ δὲ ἰσχυροτάτῳ εἰς τὰ ἄκρα
προςκέχρηται, τὸ σαθρὸν τῶν ἄλλων ἐξ ἑκατέρου ῥωννύς. Ἔοικε δὲ καὶ διοικεῖν πρὸς τὸ συμφέ-
ρον τὸν λόγον, καὶ οὐ σφόδρα ἀναιδῶς τὴν τέχνην ἐπιδεικνύμενος. δοκῶν γὰρ ἐν πρώτοις ὑπερβαί-
νειν τὸ νόμιμον, ἑτέρῳ τρόπῳ τῷ νομίμῳ προςκέχρηται. καὶ γὰρ νόμον ἀνέγνω Αἰσχίνης τὸν
περὶ τῶν στεφάνων ψευδῆ, πρὸς ὃν ὁ ῥήτωρ ὑποκρινόμενος εὗρε καιρὸν εἰς μέσον ἀγαγεῖν τὰ
ἑαυτοῦ πολιτεύματα, ὡς νομίμῳ μαχόμενος. Καὶ ἡ μὲν διοίκησις τοῦ λόγου τοιαύτη· κεφά-
λαιον δὲ ἰσχυρὸν τῷ μὲν Αἰσχίνῃ τὸ νόμιμον, τῷ δὲ ῥήτορι τὸ δίκαιον, κοινὸν δὲ ἀπὸ τοῦ ἴσου τὸ
συμφέρον, οὐκ ἔχον φανερὰν τὴν ἐξέτασιν. ἡ στάσις ἔγγραφος πραγματική· περὶ ῥητοῦ γὰρ τὸ 225
ψήφισμα.

Τῆς δὲ γραφῆς ἔτι Φιλίππου ζῶντος ἀποτεθείσης, ἐπὶ Ἀλεξάνδρου διαδεξαμένου τὴν ἀρχὴν ὁ λόγος ἐστὶ καὶ ἡ κρίσις. ὡς γὰρ ἀπέθανε Φίλιππος καὶ τὴν φρουρὰν οἱ Θηβαῖοι τεθαῤῥηκότες ἐξέβαλον, ὁ μὲν Ἀλέξανδρος ὡς καταφρονηθεὶς τὰς Θήβας κατέσκαψεν, εἶτα μεταγνοὺς ἐπὶ τῷ πεπραγμένῳ ἐξεχώρησε τῆς Ἑλλάδος αἰσχυνόμενος, καὶ κατὰ τῶν βαρβάρων ἐστράτευσεν· οἱ δὲ Ἀθηναῖοι καιρὸν ἔχειν ἐνόμισαν κρίσει παραδοῦναι τοὺς προδότας τοὺς τὴν Ἑλλάδα ἀδικήσαντας, καὶ οὕτω συνεκροτήθη τὸ δικαστήριον. [*Ed. Reisk. et al. add.*] Οὐκοῦν τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι, κατὰ μερισμὸν εἰςαχθὲν, καὶ παρασκευάζει τὴν εὔνοιαν, ἧς μάλιστα ἐν τῷ παρόντι δεόμεθα· Ὁμηρικῷ δὲ εἴρηται ζήλῳ,

Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι.

Καὶ δὴ καὶ ἔμφασιν ἔχει τοῦ τῇ εὐνοίᾳ θαῤῥεῖν· οὐ γὰρ ἂν ὅλον ἐπεκαλεῖτο τῶν θεῶν τὸ γένος, εἰ μὴ οὕτω διέκειτο. Τὸ δὲ, διατελῶ, εἴληπται μὲν ἀπὸ τοῦ ψηφίσματος· δηλοῖ δὲ, ὅτι συνεβίωσε τῇ εὐνοίᾳ, καὶ ἀεὶ αὐτῆς μέλεται, καὶ πρότερον ἀφήσει τὴν ψυχὴν, ἢ τὴν τοιαύτην διάνοιαν.

[1] μέσον.

vertebat juxta priorem divinationem, *non in Theatro.* Quæ Correctio quanto durior est et horridior, non opus est dicere. Delenda est importuna ista Negativa: et bene ista verba, ἐν τῇ ἐκκλησίᾳ, adduntur ad explicandum insolitum istum vocabulum, Πνυκί. Vide omnino Æschinem c. Ctesiph. §. ιδ'. et annotationes ad locum. Similiter in Libello Æschinis infra §. ιζ'. Ἐὰν μὲν ἡ Βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν, ἐὰν δὲ ἡ πόλις, ἐν Πνυκὶ, ἐν τῇ ἐκκλησίᾳ. In hac quoque sententia est Vir doctissimus, qui nuperrime evulgavit Petit. LL. Attic. Quem vide ad lib. III. tit. VI. pag. 378. Nam Petitus ipse, qui aliter emendare studuit, est ex ea Schola Criticorum, quæ mendum subodorari potest, tollere autem neutiquam. Taylor.

Περὶ τοῦ κατηγόρου] [Ita enim omnes] F. κατά. Et [v. 10.] στρατηγικῶς κακοὺς ὄντας, vel, τοὺς κακούς. Et [v. 12.] ἀνέδην pro ἀναιδῶς. Et [v. 14.] πρὸς ὃν ὁ ῥήτωρ ἀποκρινόμενος. Wolf. ὑποκρινόμενος in o. l. s. et editis. Taylor.

Κακοὺς] Dedit Benenatus, quasi Poetæ alicujus stichum protulisset, στρατηγικῶς

—κακοὺς δ' εἰς μέσον [μέσσον] ἐλάσας.

Porro ἀναιδῶς istud, quod præcipitavit Wolfius, o. est l. s. et optime se habet. *Artificium summum adhibet Demosthenes, non tamen eo utitur* ἀναιδῶς, *sine pudore et moderatione. Aliquando enim orationem suam, non arte, sed utilitate,* πρὸς τὸ συμφέρον, *metitur:* uti in ea instantia, quam statim adhibet Scriptor hujus Argumenti. Nempe cum τῷ νομίμῳ Æschinis τὸ νόμιμον, non τὸ τεχνικὸν, aut artificiosum, opponere debuit, effecit sane, ut Ratio ejus administrandæ Reip. *utiliter* in locum istius τοῦ νομίμου succederet. Ad eum *locum* confugit, non *arte,* aut *calliditate* aliqua, sed *ratione* et *necessitate.* Præstant hæc multo, si quid Ego sapiam, et Correctioni et Versioni Wolfianæ. Taylor.

Ἄκρα] *in extremis.* Oscitanter versum. Tu, *in utraque acie.* Idem.

Τῆς δὲ γραφῆς — ἀποτεθείσης] F. ἀποδοθείσης, sc. τῷ Ἄρχοντι, ἢ τοῖς Θεσμοθέταις. [Male hoc: Vide Ulpian. ad hæc verba Demosth. §. 35. ἐπέδωκα, καὶ ἐπαινοῦμαι.] Et [l. antepen.] εἴληπται μὲν ἐκ τοῦ ψηφίσματος. Wolf. Ita [ἐκ] Wolfius emendare satagebat, cum Aldus ἐπὶ dedit, pariter ut Felicianus, et Reg. Cod. Paris. ζ. Facilius erat et proclivius, ἀπὸ, uti Operæ dederunt Luteciansæ, auctoritate, credo, exemplarium Regiorum. Taylor.

Ἀεὶ αὐτῆς μέλεται] F. ἔχεται. Aut ἀντὶ τοῦ, ἐπιμελεῖται positum est insolentius. Wolf. Constantissime exarari video μέλεται. Taylor.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ ΛΟΓΟΣ.

ΠΡΩΤΟΝ ΜΕΝ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ

ΛΟΓΟΣ] *Philostratus Isocratis Panegyricum* *κάλλιστον λόγον* appellat: Sed *Dionysius Halicarnassensis:* *τὸν ὑπὲρ Κτησιφῶντος ἐγὼ κράτιστον ἀποφαίνομαι πάντων λόγων.* Wolf.

ά. Πρῶτον] Laudatur hoc Exordium a multis antiquis Scriptoribus, et a nonnullis illustratur quoque. *Est et ille verecundæ Orationi aptissimus, quo quatuor primis leviter in summum coeuntibus digitis, non procul ab ore, aut pectore, fertur ad nos manus, et deinde prona ac paululum prolata laxatur. Hoc modo cœpisse Demosthenem credo in illo pro Ctesiphonte timido summissoque principio.* Quintilian. XI. 3. Adde IX. 2. IV. 1. bis. Sunt et alii, quos recenset Nota MS. ad oram Exemplaris Altempsiani, sc. Dionysius Halic. Plutarch. Lucianus, Isocrates (quod summo jure mireris) et T. Magister. Horum liquet plurimos aliquid de hac Oratione consignasse, non exordium attigisse solum. In eo certe numero est Plutarchus, qui in tractatulo Περὶ τοῦ ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόνως, Ed. Gr. Bas. pag. 295. multa habet utilia, eoque judicio plena, quo valere dignoscitur Scriptor ille præstantissimus. Cui adjungas, quæ de eadem re habet Quintilianus XI. 1. Existimarunt Antiquiores, Demosthenem aliquatenus in hoc exordio fuisse adjutum his verbis Aristophanis, Equit. 760.

Τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ, τῇ τῆς πόλεως
 μεδεούσῃ,
Εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων
 γεγένημαι
Βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα, καὶ Κύνναν,
 καὶ Σαλαβάκχαν,
Ὥσπερ νυνὶ μηδὲν δράσας, δειπνεῖν ἐν τῷ
 Πρυτανείῳ. Taylor.

Πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι] In hoc exordio quatuor res potissimum conficit Demosthenes. 1. Audientiam postulat cum commendatione suæ erga Remp. benevolentiæ. 2. Præjudicio anteactæ vitæ suæ accusationem refutat. 3. Accusatori fidem abrogat. 4. Viam sternit laudibus suis citra auditorum offensam commemorandis, *ἀνεπαχθῶς ἑαυτὸν ἐπαινεῖν φιλοτιμούμενος.* Qua de re Plutarchi libellus exstat. Summa et cardo hujus orationis in eo maxime versatur: *Se, qui in gerenda Rep. dignitatem potius et perpetuam securitatem cum periculis pariendam, quam præsens otium, nec in longitudinem duraturum et cum turpitudine conjunctum, sit secutus, officio boni civis esse functum, nec fortunam sibi præstandam esse.* Privatam autem vitam suam cum Æschinis recriminatione defendit: ac legibus ab illo citatis partim alias leges, partim exempla opponit, *ῥητορικωτέρως μέντοι, ἔμοιγε δοκεῖν, ἢ ἀληθεστέρως.* Ratio etiam illa de dignitate et imitatione majorum ab Æschine, et in Oratione *περὶ Παραπρεσβείας*, et ultima Epistola ejusdem labefactatur: quod Athenienses, nec iisdem animis, neque viribus iisdem præditi, quibus olim, res consimiles gerere non potuerint. Wolf.

Πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι] Subjicitur huic mox, ἔπειθ᾽ ὅπερ ἐστὶ, &c. Ubi observandum tertium membrum non semper addi, quemadmodum et Latini *primum* et *deinde* dicunt, neque *tertium* addunt. Cicero pro Cluentio: *Primum ut id iniquissimum esse confitear, hujusmodi est, ut communitatis eis opus sit legibus, non ut iis quæ sunt non pareamus. Deinde quis unquam Senator hoc accusavit? Ex edit.* Hervag.

Θεοῖς] Τοῖς θεοῖς MSS. utputa Regii β. ε. ζ. η. et Aug. ex nostris Vind. et Harl. Codd. item quos excussit Aldus. Ita etiam laudatur ab Antiquis, Dionysio sc. Halic. Quintiliano IX. 4. Servio ad Virgil. XI. Æn. 301. Hermogene, T. Magist. σχ. Aristoph. Equit. v. 762. aliisque. Vide Hermogenem, Edit. Crispin. pag. 113. 280. 292. 344. Sed quorsum, inquies, morosa hæc diligentia in articulis expendendis? Quid confert ad mentem aut spiritum Demosthenis? Ad numeros fortasse, et periodorum structuram

τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' 228
ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ' ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς [1]ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ — σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε —, ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι. τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις

[1] † ὑμῖν [Hic semel monitus, Lector, velim teneas in memoria, obelum præfigi iis vocibus, quarum eadem est ratio in textu Taylori Reiskiique.]

multum. Nam Dionysius ille, qui exordium hoc celebratissimum in rhythmum et podes dividit, vel *unam* syllabam ægre patietur avelli: et Dionysius ille alter, Longinum volo τὸν κριτικώτατον, multum interesse arbitratus est, utrum §. κϛ'. ὥσπερ νέφος, an ὡς νέφος, vel denique ὡσπερεὶ νέφος legeremus. Vide Tractatum περὶ Ὕψους, cap. 39. Et, quanquam auriculas nostras non omnis hodie ferire potest Gratia Constructionis Atticæ, multum tamen operæ in ea re elaboranda, atque in iis minutiis positum olim fuisse, et existimare par est, et docent Rhetorum Monumenta, quæ ad ætatem nostram pervenere. Verbi gratia, cum scribitur §. ζ'. Οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευόμην πω τότε, quis est nostrorum hominum, qui rotunditatem rite capiat istius periodi, aut quem offendere potuit ista Particula, si desideraretur? Attamen dicitur ab Ulpiano ad locum παρέλκειν τὸ, πω, χάριν τοῦ κάλλου μόνου. Adjicere possem constructionem istam §. γ'. ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν, ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου. Quæ fefellit Interpretem. Rhythmus fortasse postulavit, ut verba ita ordinarentur, πάντων ὁμοίως ὑμῶν: Sed Series et ratio Grammaticæ τὸ ὁμοίως cum τῷ ἀκοῦσαι conjungit. Ut dicitur in hoc Exordio, verbis ritualibus, et ex Lege sumtis, τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι. Teretes erant et religiosæ aures Atheniensium, ut *tota Theatra exclamarent, si fuit una Syllaba aut brevior, aut longior*, ut ait Cicero in Bruto. Et, juxta eundem Auctorem, *Non Demosthenis fulmina tantopere vibrassent illa, nisi numeris contorta ferrentur.* Quam curiosi erant Antiqui, ut etiam prosam Orationem *digitis et arte callerent*, docet Dionysius ille sæpe a me laudatus, de Composit. Verbor. §. 18. Ἑνὸς ἔτι παραθήσομαι λέξιν, ᾧ τὰ ἀριστεῖα τῆς ἐν λόγοις δεινότητος καταδίδωμι. ὅρος γὰρ δή τις ἐστὶν ἐκλογῆς τε ὀνομάτων καὶ κάλλους συνθέσεως ὁ Δημοσθένης. ἐν δὴ τῷ περὶ τοῦ Στεφάνου λόγῳ τρία μέν ἐστιν, ἃ τὴν πρώτην περίοδον συμπληροῖ κῶλα· οἱ δὲ ταῦτα καταμετροῦντες οἵδε εἰσὶν οἱ ῥυθμοί. πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. Ἄρχει δὲ τοῦδε τοῦ κώλου Βακχεῖος ῥυθμὸς, ἔπειθ' ἕπεται Σπονδεῖος, εἶτα Ἀνάπαιστος, καὶ μετὰ τοῦτον ἕτερος Σπονδεῖος, εἶθ' ἑξῆς Κρητικοὶ τρεῖς, Σπονδεῖος δὲ ὁ τελευταῖος. Τοῦ δὲ δευτέρου, ὅσην εὔνοιαν cætera, quæ eadem fide et diligentia exsequitur, in pedes et numeros digerendo. Rursus Idem in eodem libello numeros hujus exordii attingit, sc. §. 25. et deinde ad tantæ ἀκριβείας atque sollicitudinis *defensionem* se accingit, quam meam pariter, atque hujusce Annotationis, quam maxime cupio fieri. Taylor.

Εὐσεβείας] Nempe juris jurandi et legum servandarum, uti Ulpianus jam explicuit, quo etiam jam annotante, eleganter conjunguntur ἀντίδικος, h. e. πολέμιος, et σύμβουλος, h. e. προσφιλής. Tum τοῦτο παραστῆσαι etc. interpretandum est: *intersit*, hanc *ut dii vobis mentem injiciant.* v. Viger. de gr. dictionis idiotismis c. V. sect. 9. §. VII. ibique Zeune, p. 275. ed. Hermann. Harl.

Παραστῆσαι] Disputatur, quid id esset, quod precatur Demosthenes τοὺς θεοὺς παραστῆσαι: Utrum, scil. τοῦθ' ὅπερ ἦν ὑπὲρ τῆς Ἀθηναίων εὐσεβείας, an illud demum, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι. In *hac* sententia est Interpres, adeoque verba (ὅπερ ἐστὶ — δόξης) in quadam quasi parenthesi concludit. Ego tamen aliter sentio. Nam §. η'. ubi hanc precationem instaurat, legimus, ὅ, τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ, καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν. Et mecum est Interpres Italus. Taylor.

Τὸ μὴ προκατεγνωκέναι] Latini *præjudicium* vocant, quod Græci προκατέγνωσιν,

ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προήρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

β'. Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν [1] ἀγῶνα Αἰσχίνου, δύο δ' ὦ ἄνδρες Ἀθηναῖοι καὶ μεγάλα. Ἓν μέν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι. οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν, ἀλλ' ἐμοὶ μὲν—, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου· οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ. [2] Ἕτερον δ' ὅτι φύσει πᾶσιν ἀνθρώ-

[1] ἀγῶνα, Αἰσχίνου δύο

[2] ἕτερον δ'· * ὃ φύσει .... ἡδέως·

et verbum προκαταγινώσκω, quo in Oratione κατὰ Μειδίου etiam, et alibi utitur. Dicitur vero etiam ut hoc loco, προκατεγνωσμένη δίκη, *quæ præsumpta opinione damnata est*, antequam causa agatur. *Ex* edit. Hervag.

β'. Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι] Ulpianus in Præfatione: μηδέπω συστήσας, πότερον αὐτὸν, ἢ Κτησιφῶντα ἀπολογήσασθαι δεῖ, συναρπάσας τοῦτο, ὡς ὁμολογούμενον, ἀξιοῖ τοὺς ἀκούοντας ἐπιτρέπειν αὐτῷ, καθ' ἣν βούληται τάξιν προάγειν τὸν λόγον. Wolf.

Ἀλλ' ἐμοὶ μὲν] *Suidas* exponit, ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω. Idem. Vertit Aquila Romanus in libro de Figur. Sentent. juxta init. Adde Quintilian. IX. 2. Hermog. p. 352. 410. Taylor. Demetrius Phaler. ed. Galei p. 149. 1. Harl.

Οὗτος δ' ἐκ περιουσίας κ. τ. λ.] Catilina apud Sallustium: *Nos pro Libertate, pro Patria, pro Vita certamus: Illis supervacaneum est pugnare pro potentia paucorum.* Ἐκεῖνοι δ' ἐκ περιουσίας ἀγωνίζονται ὑπὲρ τῶν ὀλιγαρχικῶν, ἢ, ὑπὲρ τῶν ὀλίγων δυναστείας. Wolf.

Ἐκ περιουσίας] *Ex abundantia*, nollem istud *supervacaneum* Wolfii et Lambini: multo minus, *ex nimia rerum affluentia*, quod dedit Anonymus: omnium minime, quod Etruscus: *e costui m'accusa per tempo che gli avanza.* Nos forte diceremus: *The odds are on the side of Æschines. Or, the difference of the account. Contentio inter nos* inæqualiter *admodum est comparata.* Vide Harpocr. Suidam. v. Ἐκ περιουσίας, et Demetr. Phaler. §. 265. Taylor. Adde Colomes. ad Quintil. Institt. IV. 5. p. 364. ed. Burmann. et Viger. de græcæ dictionis idiotismis IX. sect. 3. §. III. p. 599. ed. Herm. Harl.

Ἐκ περιουσίας] *Ex abundantia, absque necessitate.* Ἐκ περιουσίας, inquit Suidas, dicitur de rebus, quæ supersunt, et *quarum præsentia non est necessaria.* Vim igitur istius ἐκ περιουσίας multo melius assecutum fuisse crediderim eum, qui Anglice verteret, *out of wantonness*, quam qui, jubente Cl. Tayloro, exponeret, *the odds are on the side of Æschines; or, the difference of the account*: "contentio inter nos *inæqualiter* admodum est comparata." Sic enim in jejunam quandam et frigidam *iterationem* delaberetur Demosthenes: *Longe* (inquit) *meliore quam ego conditione est adversarius. Quippe non pari periculo ego et Æschines in judicium venimus.* Quare? Quoniam *mihi quidem —de fama et fortunis omnibus est periclitandum* (ita enim explenda est pulcra ista *aposiopesis*): *ille autem inæqualiter admodum mecum contentionem comparavit*, hoc est, *longe meliore quam ego utitur conditione!* Stock.

Οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ] Id est, iste autem tantum est otii nactus, et tantum quietis habet ab aliis negotiis, ut ei abunde vacet me accusare, nedum perinde ut ego, in hoc ipse certamine capite et fortunis periclitatur. Quibus verbis significat Æschinem id certamen sponte excitasse, nulla officii necessitate pulsum. Idem alibi, [κ. Στεφ. ψευδ. p. 1122. ed. Reisk.] οἱ δ' ἐκ περιουσίας πονηροὶ οὐδεμίαν πρόφασιν ἔχοιεν ἂν εἰπεῖν: id est, qui autem in bonorum facultatumque copia prave agunt, excusare egestatem non possunt, cui ipsi ob secus admissa postulantur. *Ex edit.* Hervag.

Ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι. Τούτων τοίνυν κ. τ. λ.] Multo inferiorem Æschini in hac causa sese esse monens Demosthenes duo maxima ponit, quibus gravetur: ἐλαττοῦμαι Αἰσχίνου δύο καὶ μεγάλα· ἓν μὲν, ὅτι — ἕτερον δ', ὃ φύσει κ. τ. λ. Per se igitur patet,

ποις ὑπάρχει τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν
ἡδέως, τοῖς [1] δ' ἐπαινοῦσιν αὐτοὺς ἄχθεσθαι. τούτων τοίνυν
ὃ μέν ἐστι πρὸς ἡδονήν, τούτῳ δέδοται· ὃ δὲ πᾶσιν ὡς ἔπος
εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί. κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ
λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ
κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι δεικνύναι·
ἐὰν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολ-
λάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. Πειράσο- 227
μαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ
πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δί-
καιος ἔχειν ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος.

γʹ. Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοί τε καὶ Κτησιφῶντι, καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί. πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ· μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας τε καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστι. Περὶ τούτων δ' ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν, ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου

1 † ἐπαινοῦσι δ'

ut ἣν μὲν, ita ἕτερον δ' ab ἐλαττοῦμαι pendere, alterumque ἣν μὲν per ὅτι, alterum ἕτερον δ' per ὃ explicari, *altero vero inferior hoc sum, quod omnibus hominibus natura insitum est* etc. Verba autem, quæ sequuntur, τούτων (quod ad infinitivos ἀκούειν et ἄχθεσθαι pertinet) τοίνυν κ. τ. λ. addenda erant, ut, utrum eorum, quæ posuerat, τῶν — ἄχθεσθαι, ad Demosthenem pertineret, accuratius doceretur. Sic in priore membro verba ὅτι — ἀγωνίζομαι per οὐ γάρ ἐστιν κ. τ. λ. exponenda erant. Itaque verba bene ligata, nec magis structuram immutatam vides, quam §. ηʹ. δυεῖν ἕνεκα· — ἑνὸς μὲν, ὅτι — ἑτέρου δὲ, ὅτι κ. τ. λ. Reiskius, ἕτερον δ'· ἃ φύσει — ἄχθεσθαι· τούτων τοίνυν κ. τ. λ. rescribens, vereor, ut huic loco bene consuluerit. Nam neque ἕτερον δ' (ἐλαττοῦμαι), ita absolute positum, plenum hunc sensum habere potest, quem ille voluit, *alterum eorum, quibus inferior sum Æschini, hoc est*, sed ὅτι vel relativum ὃ, vel simile quid subjici debuit; et verba ἃ — τούτων ad se invicem referri, particula adjecta τοίνυν vetat. Wunderl. ὃ Tayl.

Ὃ] Forte ὅτι. Auger.

Ὡς ἔπος εἰπεῖν] Aretinus: *ut ita dicam.* Melanchtho: *quod fere omnibus ingratum est.* Perionius: *quod omnes solet offendere.* Meletus: *Ut uno verbo dicam.* Wolf.

Κἂν μὲν εὐλαβούμενος τοῦτο] Cicero, sive quis alius, in Sallustium: *Quo me vertam, P.C.? Unde initium sumam? Majus enim mihi dicendi onus imponitur, quo notior est uterque nostrum. Quod si aut de vita atque rebus nostris huic conviciatori respondebo, invidia gloriam consequitur: aut si hujus facta, mores, omnem ætatem nudavero, in idem vitium incidam procacitatis, quod huic objicio.* Idem.

γʹ. Ἂν ὁμολογῆσαι] Demosthenes, de assensu judicum, ut de re præsente, cogitans, modestiori forma loquendi utitur ἂν ὁμολογῆσαι pro ὁμολογῆσαι. Modestiæ enim speciem quandam opinionibus vel sententiis expositis particula ἂν adjecta veteres adjunxisse, opinamur, secuti cum alia tum Plutarchum in procœmio vitæ Demosth. et Cic. Δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας, ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους. Wunderl.

Τῳ] Τινί. Wolf.

Μάλιστα δὲ — ὅσῳ περ] Ἀντὶ τοῦ, τοσού-

δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν, οὓς ὁ τιθεὶς [1] ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν [2] ὑμῖν καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας [3] ὑμᾶς ὀμωμοκέναι· οὐκ ἀπιστῶν ὑμῖν, ὥς γέ μοι φαίνεται, ἀλλ' ὁρῶν ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος [4] ὑμῶν, τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν διαφυλάττων, καὶ τὰ τοῦ ὑστέρου λέγοντος δίκαια εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατήν, οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ [5] ἁπάντων.

δ'. Μέλλων δὲ τοῦ τ' ἰδίου βίου παντός, ὡς ἔοικε, λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι [6] [καθάπερ ἐν ἀρχῇ] πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ
228 διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ' ὅ τι μέλλει

[1] †ἐξαρχῆς [2] †ὑμῖν [3] †ὑμᾶς [4] †ὑμῶν [5] †πάντων [6] †Absunt unci.

τῷ μᾶλλον ὅσῳ. Idem.

Δικαίως] Satis erat ὁμοίως ἀκοῦσαί μου ἀπολογουμένου, sine δικαίως. Et arbitror esse glossam τοῦ, ὁμοίως, cum supra dicitur, in Lege πρὸς τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι. Vide autem §. ιή. Taylor.

Πρότερος] Πρότερον Cod. Guelph. cum Regio ζ. et Vind. Sed non habeo necesse. Infra §. 64. Σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ τοὺς ἄλλους, ὥστε πάντα ποιεῖν αὐτός; Taylor.

Παρελθεῖν] Suid. in v. et Ulpian. ad orat. de Rebus Chersonesitanis: Ubi ait, παρελθεῖν in hac Oratione sumi ἀντὶ τοῦ νικῆσαι. Add. Vales. ad Harpocr. p. 153. Idem.

Παρελθεῖν] Proprie, *cursu antevertere*. Sumitur hic ἀντὶ τοῦ νικῆσαι (Ulpian.) ut apud Æschinem supra, §. μά. παρελθόντες τῇ πρώτῃ στρατιᾷ. Stock.

Διαφυλάττων] Verba simplicia eandem sæpe habere potestatem et structuram, uti composita, et contra, docent Wesseling ad Herodot. lib. IV. pag. 342. id. ad lib. VII. pag. 550. et Ernesti ad Hom. Iliad. A. 3. Harl.

Προσδέξηται — ποιήσηται] [Ita Tayl.] Editi omnes et MSti, (nostri certe) προσδέξεται et ποιήσεται. Taylor. Et paulo ante λέγοντος ὕστερον Tayl.

Κοινὸν] Κοινὸς, *æquus*, ut apud Latinos *communis*: v. quæ notavi ad meam Cornelii edit. II. Miltiad. c. VIII. p. 26. Harl.

Διάγνωσιν] Γρ. διαγνώμην, Ἀττικῶς. Ita σχ. Ulpiani. Taylor.

δ'. Παντὸς] Ἁπάντων Aug. 1. 2. Reisk. Mihi vero placet vulgaris lectio: neque enim orator singularum rerum per totam vitam a se susceptarum rationem redditurus erat: deinde scribere debebat τῶν τοῦ τε l. β. ἁπάντων. Ceterum Seilerus in interpretatione sua bene observat artificium oratoris, amorem concionis et fiduciam sibi conciliandi. Demosthenes, cui Æschines impietatis et contemtus deorum suspicionem conflarat, precibus his, præter suam consuetudinem, repetitis a crimine adversarii et infamia liberare se et statim ab initio orationis testificando religionem fidemque deorum implorando in benivolentiam judicum insinuare studuit. Harl. Hic non se invenit Harlesius: Reiskius enim, ut puto, ad vocem πάντων paulo ante præcedentem, non ad v. παντὸς, provocat.

Ὡς ἔοικε] Aretinus: *ut videtur*. Melotus: *sicut convenit*. Cæteri prætermiserunt. Wolf.

Καὶ ἐναντίον] Καὶ, inquit Schneiderus, servit conclusionibus: καὶ πέμπουσι *quocirca mittunt*, Xen. Cyrop. IV. 2. 3. κἀκεῖνος *ille igitur*, IV. 1. 23. et alibi. Quo sensu hic cum Ed. Oxon. fortasse bene acceperis.

συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

ε΄. Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν ἀνάλωκε, καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα, βραχέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς [1]ὑμων τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου. Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. Εἰ μὲν ἴστε με τοιοῦτον, οἷον οὗτος ᾐτιᾶτο, — οὐ γὰρ ἄλλοθί που βεβίωκα ἢ παρ' ὑμῖν —, μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη. εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, [2]χείρω καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ [3]γιγνώσκετε, [4]τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε· δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο· ἐμοὶ δ' ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθε ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον γεγενημένων, καὶ νυνὶ παράσχεσθε. Κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι.

[1] † ὑμῶν [2] † χείρονα [3] † γινώσκετε [4] τούτῳ μὲν δὴ, μηδ'

ε΄. Κατηγόρησεν] Κατηγορεῖν significat *publice rem incusare*, præsertim in judiciis aut coram populo. WUNDERL.

Καὶ ἐκ βελτιόνων] Formula. Lysias Orat. IX. *κατὰ Θεομνήστου*, p. 118. Ed. Steph. Ἀλλ' ὅτι βελτίων, καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ; MARKLAND.

Τοῦτο παντελῶς εὔηθες ᾠήθης] Ἀντὶ τοῦ, εὐήθως. WOLF.

Τρέψεσθαι] Lectionem τρέψασθαι, quam tres optimi codices habent, vulgatæ τρέψεσθαι præferendam duxi, ut §. ς΄. a med. in verbis ἐμὲ δ' εἴπερ ἐξελέγχειν ἐνόμιζεν editores fecisse video, secutus ea, quæ ipse in Observatt. Crit. p. 177. 178. explicui, quæque in eam sententiam amicissimus meus Schaeferus ad Theocritum p. 237. protulit. Quibus quidem, Græcos aoristis sæpius, ubi ex latinæ vel vernaculæ linguæ ingenio futurum positum exspectes, usos esse, satis jam probatum esse putamus. Idque egregie quoque confirmari nunc video loco Homeri Odys. B. 274.

Εἰ δ' οὐ κείνου γ' ἐσσὶ γόνος καὶ Πηνελοπείης,
Οὔ σέ γ' ἔπειτα ἔολπα τελευτήσειν, ἃ μενοινᾷς. —
Ἀλλ' ἐπεὶ οὐδ' ὄπιθεν κακὸς ἔσσεαι, οὐδ' ἀνοήμων,
Οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
Ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα.

229 οὐ δὴ ποιήσω τοῦτο, οὐχ οὕτω τετύφωμαι, ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων ἃ κατεψεύδου καὶ διέβαλλες, αὐτίκα ἐξετάσω, τῆς δὲ πομπείας ταύτης τῆς [1] ἀνέδην οὑτωσὶ γεγενημένης ὕστερον, ἂν βουλομένοις [2] ᾖ τουτοισὶ ἀκούειν, μνησθήσομαι.

ς'. Τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ δεινά, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὐτὴ ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν [3] ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα, τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν οὐδ' ἐγγύς. οὐ γὰρ

1 ἀναίδην 2 ἀκούειν ᾖ τούτοις 3 * ἐμοῦ

Nec tamen negarim, discrimen aliquod subtilius esse inter aoristum et futurum in ejusmodi locis. Observasse enim mihi videor, ubi de re agitur, futura quidem, sed quæ continuo aut incipit aut eventum habet, aoristi vel præsentis infinitivum significatione futuri poni. Ap. Hom. Il. Γ. 28. Menelaus, Paride conspecto, lætitia afficitur, φάτο γὰρ τίσασθαι ἀλείτην. Herodotus I. 156. Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ, καὶ ὑπεὶς τῆς ὀργῆς, ἔφη οἱ πείθεσθαι, futurum πείσεσθαι non usurpavit. Nam id statim facturus erat Cyrus. Wunderl.

Τετύφωμαι] Vide Harpocrat. in v. et Vales. pag. 187. Taylor.

Τετύφωμαι] "Τυφοῦσθαι non tantum inflari, sed etiam dementem esse significat: ap. Polyb. III. 81. *Si quis inter imperatorias virtutes ullam potiorem ducit cura explorandi ingenium ac naturam ducis adversariorum*, ἀγνοεῖ καὶ τετύφωται, *is errat et cæca mentis caligine laborat.* Sic et Demosth. Philip. III. δ'. in fin. ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε. *Si nugari et mentis affici errore videbor, neque nunc neque inposterum mihi ut sano auscultetis.* Et pro Cor. οὐ δὴ ποιήσω τοῦτο, οὐχ οὕτω τετύφωμαι. *Nequaquam faciam hoc, non ita* sum amens. Et rursus idem (περὶ Παραπρεσβ. ξδ'. in fin.) ἀλλ' ἐγὼ μαίνομαι καὶ τετύφωμαι νῦν κατηγορῶν. *Sed ego insanio et stolidus sum, qui nunc accuso.* Ubi sicut μαίνομαι et τετύφωμαι copulantur, ita τετυφωμένος et μανικὸς ap. Aristot. in Probl. quærentem διὰ τί οἶνος τετυφωμένους ποιεῖ καὶ μανικούς." Raphelius ad Ep. D. P. ad Tim. I. 6. 4.

Πομπείας] Ulpian. Ὕβρεως, λοιδορίας, διὰ τὸ ἐν ταῖς πομπαῖς κωμῳδεῖν καὶ λοιδορεῖν ἀλλήλους. Deinde sequitur Scholion aliud, alterius, ut puto, Scriptoris, quod tamen non longe distat sensu et interpretatione. Infra scribit Noster §. 37. in fin. Ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης, οὐδὲν ἧττον ἐμοῦ, πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. Ubi rursus consules σχ. ad locum. Addes porro Hermogenem, π. μεθ. δεινότ. statim ad initio, Harpocr. v. Πομπείας, Suid. quoque v. Πομπεία et Πομπείας, Magist. et Ammonium v. πομπή. σχ. Aristoph. Plut. 1015. Taylor.

Τῆς ἀναίδην οὑτωσὶ] Cum non significet ἀναιδῶς, sed ἀπαρακαλύπτως, rectius scribi videtur per ε, ἀνέδην, παρὰ τὸ ἀνιέναι, sicut συστάδην, βάδην, παρὰ τὸ συνιστάναι, βάναι. Wolf. Iterum audi σχτην. nostrum: Ἐὰν μὲν διὰ τῆς διφθόγγου γράφηται, τῆς ἀναισχύντου λέγει, ἂν δὲ διὰ τοῦ ε, ὅπερ καὶ βέλτιον, τῆς πολλῆς, ἐκ τῆς ἀνέσεως, ἀθρόας τε καὶ σφοδρᾶς. Et Ego sane cum Ulpiano potiorem esse *hanc* lectionem judico. Ob soni et literarum affinitatem iterum MSS. discordant circa has voces, ad initium σχ. Orationis Timocrateæ. Ἀναίδην præter Parisinam Benenati, Ald. Ven. et Ital. Ἀνέδην MSS. Ald. β. γ. ex Regiis, Harl. Vindob. Editio optima Feliciani, et Cod. Aug. Taylor. Paulo ante διέβαλλες, et post τούτοις Tayl.

ς'. Τῶν μέντοι] F. τῶν μὲν τοίνυν. Wolf.

Οὐκ ἔνι] Malim, οὐκ ἐνῆν. Idem.

Οὐδ' ἐγγὺς] Sc. τῆς ἀξίας δίκης. Idem.

Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ — οὐδ' ἐν ἐπηρείας] Forte, ἀλλ' ἐν, vel τὸ δ' ἐν ἐπηρείας, aut οὐ δὴ ἀφαιρεῖσθαι. Aretinus: *Non enim decet auferri jus populum adeundi, nec in odii ac malevolentiæ loco istud ponere.* *Non enim*

rectum, nec justum, nec civile est fieri, Athenienses. Melanchtho: *tanta vero crimina cum mihi objecerit, ut ne pares quidem pœnæ inveniri queant, audet petere, ne mihi dicendi potestas concedatur. Injustissimum est autem, et nequaquam civili societati conveniens, odio et petulantiæ cujusquam largiri, ne reus audiatur.* Perionius: *Neque enim eripienda est potestas veniendi ad populum: Nec causæ dicendæ facultas: Nec id in obtrectationis aut invidiæ loco ponendum: Nec fieri recte atque ordine potest: Nec id æquum est quidem, Judices. Sed eum oportuit*, etc. Meletus: *Ne in ipso quidem recenti facto.* (*sic* τὸ οὐδ' ἐγγὺς interpretatur) *Non enim privandus est aditu populi et potestate dicendi Æschines. Sed ut hoc ex petulantia atque invidia faciat, neque per Deos est rectum, neque civile, neque justum, viri Athenienses, sed in quibus*, etc. Locus est obscurus et controversus, proptereaque suspectus. Ego meam interpretationem si non veram, at perspicuam esse puto. Connexio periodorum habet obscuritatem: Τὰ μὲν οὖν κατηγορημένα πολλὰ, etc. — Τῶν μὲν τοίνυν κατηγοριῶν etc. — Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ etc. — Ἀλλ' ἐφ' οἷς etc. — Est Commemoratio quædam in conquestione iniquitatis: et Confessio, maxima esse crimina, et omni supplicio vindicanda, recteque delata ad judices, si vera essent. Eum enim esse judiciorum usum, ut causæ cognoscantur, et nocentes mulctentur. Sed abuti judicum benignitate ad criminandos ex odio atque invidia insontes (id quod nunc Æschines faciat) id vero nequaquam esse ferendum. Sed in hac quoque sententia me nonnihil turbat, quia ait προσελθεῖν τῷ δήμῳ, ut non de *judiciis*, sed de *concionibus* loqui videatur. Eodem pertinet etiam τὸ λόγου τυχεῖν. Queritur enim Isocrates, τοὺς πολλοὺς οὐδὲ τῆς φωνῆς τῶν ἐναντιουμένων ταῖς ἐπιθυμίαις αὐτῶν ἐθέλειν ἀνασχέσθαι. Quid ergo si sic connectas? *Si crimina mihi objecta vera essent, nec dignas pœnas, neque dignis proximas, de me sumere possit Resp. Quæ cum mihi adeundi populi habendarumque concionum potestatem dederit, ea ego potestate sim abusus ad explendum odium meum adversus inimicos atque invidiam. Id quod neque rectum est etc. Atque si me tantis in rebus Æschines, quantas eas facit, pestem et perniciem reip. moliri videbat, cur non statim in judicium adducebat?*

Cum via multa patet, nulla est bona;
qua sit eundum,
Ipse tibi monstret ductor Atlantiades. Wolf.

Ἐν τούτοις τοῖς ῥητοῖς, ut conquestus est Ulpianus, ἀσάφειά ἐστι πολλή. Et merito sane. Interea Voces ipsæ sunt satis perspicuæ: sed Sententiæ non recte cohærent, neque apte distribuuntur. Ego igitur primum lectoris oculis subjiciam eum ordinem et sequelam, quam ex Demosthene auctore profectam esse arbitror: deinde meam de ea re exponam sententiam, et iis rationibus, quas habeo, enitar vincere, simul et turbatum esse in Textu, quo utimur vulgo, atque istius infelicitatis causam a me esse deprehensam. Ad hunc modum igitur loquitur Demosthenes, si me audias, sc.

Τὰ μὲν οὖν κατηγορημένα, πολλὰ, καὶ δεινὰ, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας·

Τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὐτὴ, ἐχθροῦ μὲν ἐπήρειαν ἔχει, καὶ ὕβριν, καὶ λοιδορίαν, καὶ προπηλακισμὸν ὁμοῦ, καὶ πάντα τὰ τοιαῦτα.

[Ὃ] οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον, οὔτε πολιτικὸν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι.

Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ, καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν

Ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γε τηλικούτοις, ἡλίκα νῦν ἐτραγῴδει, καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι·

Εἰ μὲν εἰσαγγελίας ἄξια πράττοντά με ἑώρα, εἰσαγγέλλοντα, καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν, εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον·

Καὶ μὴν εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέβαλλε καὶ διεξῄει (scil. πράττοντά με ἑώρα) ἢ καὶ ἄλλ' ὁ, τιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων, καὶ τιμωρίαι, καὶ κρίσεις —καὶ τούτοις ἐξῆν ἅπασι χρῆσθαι. In his interpretandis, versione utar propemodum Lambini: Nam ille quadantenus in hac causa processit, et pariter translationem instituit:

Crimina igitur mihi illata sunt multorum atque atrocium facinorum, quibusque pœnæ sunt acerbissimæ legibus constitutæ: sed tota hæc Accusatio nihil aliud habet propositi, quam improbam inimici calumniam, petulantiam, convicium, probrum et contumeliam, cæteraque generis ejusdem. [Omitto hic, quæ repeti arbitror.] *Quod medius fidius, Athenienses, neque rectum, neque civile, neque justum est, ne ulla quidem ex parte. Non enim jus adeundi ad populum, causæque dicendæ potestatem cuiquam eripere, non in ea re dolori suo servire, neque maledicendi et petulanter alterum insectandi occasionem ex ea quærere oportet: Sed quæ me facinora committere in remp. videbat; quum præsertim essent tanta, quanta modo voce pene tragica clamabat, eorum pœnas a legibus constitutas, recentibus etiam tum maleficiis, expetere, judicioque persequi debebat: si res delatione nomi-*

nis dignas admittere videret, nomen meum deferre, et hac via me in judicium vocare: si quid contra leges scribere ac decernere, accusationem mihi de decretis contra leges factis intentare: denique si quid omnino me contra remp. admittere videret, cuicuimodi esset, sunt leges, sunt judicia, sunt actiones, quibus omnibus uti licebat.

Profecto si eo ordine et nexu non scripsit Demosthenes, optandum pene fuit, (absit verbo invidia) ut ita scripsisset: Adeo nitide, adeo luculente, adeo disposite procedunt omnia. Verum quid de fugitivis istis commatibus statuam, proximum est ut ostendam. Ab hujusmodi Propositione satis recte orditur: nempe:

Τὰ μὲν κατηγορημένα, πολλὰ, καὶ δεινὰ, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας.

Bene est: et huic Sententiæ adversative apponitur ea quæ sequitur, satis proba et luculenta: sc.

Τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις— ἐπήρειαν ἔχει—καὶ λοιδορίαν κ. τ. λ.

Esto: Sed et aliud Adversativum video:

Τῶν μέντοι (i. e. *δὲ*) *κατηγοριῶν* etc. v. 11.

Et, quod merito displicere potest, nihil aliud hic in Redditione dicitur, quam quod in Propositione dictum erat prius. Age, *ἐξέτασον παράλληλα*, ut scribunt Græci, et ut scribit Noster, ut eo situ dispiciamus, quid intersit:

Τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ δεινὰ, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας.	*Τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς.*

Conferas, Trutines, Metiaris, Excutias, Excrucies, quidvis fac periculi: Solertem dabo, qui quidvis ex hac posteriore Oratione expresserit, quod non interceptum erat in priore.

Multa mihi crimina objecit Æschines, quorum de singulis gravissimæ quæ possunt pœnæ statuuntur: Ultimum sc. supplicium: gravissimum quidem quod Sors humana patitur, verum ob delicti naturam leve: Interea tamen *tot et talia mihi crimina objecit Æschines, ut pœnas dignas a me repetere Civitas nullo modo possit.*

Hiccine est quem dicunt Demosthenem! Hæccine ea quæ contorqueri aiunt Fulmina! Atqui, ut in instituto pergam, hæc Confusio non simplici vice Auctori nostro contigit. Infra §. κ'. cum Æschine ita agit:

Quando in eo statu essent Res Græcæ, et Philippus cunctorum servitutem palam meditaretur, a Te, Æschine, vel ab alio quovis, qui mea consilia reprehendit, rogarem, quid in ea Fortuna Civitatem nostram agere oporteret? Utrum eam decuit, quæ toti Græciæ saluti esse solebat, jam dignitatis atque istius prærogativæ immemorem, Philippum in consiliis exsequendis adjuvare, ut Thessali et Dolopes faciebant? An, (quod levius fortasse) istud quidem non agere, sed domi sedentem, atque otiosam, sinere Philippum ea per se facere, quo pacto Arcades, Messenii et Argivi se gesserunt? Age dic mihi, ποίας μερίδος, ἐν τίνι τάξει, in qua classe, expediebat fuisse Remp.? Nam, si meis consiliis usa non fuisset, necesse est eam vel in hac vel in illa parte omnino fuisse constitutam. Recte. Sed videas, quæso, quo pacto eam rem exsequitur:

§. κ. in init.	§. κ. circa med.
Πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν, καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς, ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει, συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχὴν, καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαια ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν· δεινὸν γὰρ ὡς ἀληθῶς· ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προῃσθάνετο, ὡς ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιιδεῖν γιγνόμενα;	*Ἀλλὰ νῦν ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις, ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν; πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι κακῶν, καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς, καὶ τοὺς μετὰ τούτων εἴποι τις; ἢ τῆς περιεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας, καὶ Μεσσηνίους, καὶ Ἀργείους θείημεν;*

Posterius sane Incisum, si quid est in ea Observatione, quod prodesse potest, non erat in Ulpiani Codd. quantum ex ejus scholiis augurari fas est. Verum sive ille invenerit, necne, a me nunquam impetrare possis, aut hæc, et similia, non nisi deploratissima ad nos pervenisse, aut multum me aberrare in ea divinatione, quæ omnem hanc molestiam amoliri posse videtur. Scilicet utroque in loco, ubi vides iterari Commata illa *ἰσοδυναμοῦντα*, si alterum tollas (neque id ægre feres), defæcabitur Textus, eumque colorem Demostheni restitues, quem ille exoptaverit. Unde autem, dices, per tot sæcula interpolatum sit? Duæ nimirum ab ultima vetustate exibant Demosthenis quæ vocantur Ἐκδόσεις. Solebat id apud Antiquos fieri; atque ea Cura iis Scriptoribus

289 Ἐπειδὴ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παρῄρηται οὐδὲν [2]αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δορυαλώτους πεποίηκεν, οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων, ἔν τε τῷ παρόντι [3]ἐπὶ πολὺ προάγει τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ Ἑλληνίδας πόλεις ἃς μὲν ἐμφρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρβάρους κατοικίζει, ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυτοῦ, ὅτι ἐκ [4]σμικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας, —. Καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενόν [5]αὐτον βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τὸ εἰς [6]αὐτὸν πλημμελεῖσθαι· νῦν δ' ὁρῶν Ἑλληνίδας πόλεις τὰς μὲν ὑβριζομένας, τὰς δ' ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾷν τοὺς Ἕλληνας καταδουλουμένους. Διὸ δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, εὐξα-

[1] † Κολυττῷ [2] αὑτῷ [3] ἐπιπολὺ [4] † μικροῦ [5] αὑτὸν [6] αὑτὸν

Παραιρεῖται] [Ita Tayl.] Ita noster c. Æschin. π. Παραπρεσβ. pag. 424. 20. R. p. 206. l. 10. Τῶν δ' ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται. TAYLOR. v. 2. deest κακὸς in ed. Tayl.

Καὶ ἰδίας] Malim aliud. Si enim ejus fuerunt, quomodo intercepit illas? Melanchtho: *Barbara et privata oppida.* Hoc est, nulla cum Græcis societate conjuncta. WOLF.

Ἰδίας] Idem atque αὐτονόμους, *sui juris, nullo fœderis jure cum Græcis sociatas.* Ita sentit Tourrellius. Vertit Etruscus: *Pigliava terre barbare,* e non sue. Lambinus: *Videbat eum urbes barbaras,* quasi peculiares ac proprias, *intercipere.* TAYLOR.

Ἰδίας] *Privatas, proprias* ipsi populo Atheniensi. AUGER.

Οὐκ ἰδίας] Negationem intuli ex Schedis Scrimgeri, qua quo modo carere potuerint interpretes, equidem non satis intelligo. WUNDERL. Adstipulante Harlesio, qui addit: Intelligi ideo etiam possunt urbes in Thracia sitæ, quas Philippus suas esse dicebat, et quæ hucusque a barbaris occupatæ erant; vel intelligo urbes in Macedonia sitas, quæ vero antea in potestate regum Macedoniæ non fuerant.

Ἔλαττον εἶναι ὁ δ. ὁ Ἀθ.] [Ita Tayl.] Melanchtho: *Minus in se delinqui putabat P. A.* Perionius: *Leviora scelera ea, quæ in ipsum admitteret, existimarit.* Meletus: *Judicabat rem leviorem esse, quam ut adversus eum sollicitus esset.* WOLF. *Havea per manco male l' esser offeso da lui:* Ferrus. *Putabat contemnendum esse P. A. si in ipsum aliquid delinqueret:* Anonymus Venetus. *Levius id esse et tolerabilius arbitrabatur, quum ipse in se peccaret:* Lambinus. TAYLOR.

Δέδοκται] Δεδόχθαι arbitror. Vide annotata ad §. θ'. IDEM.

μένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ
τὴν χώραν τῶν Ἀθηναίων, καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς,
διότι περὶ πλείονος ἐποιοῦντο τὴν τῶν Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ 290
τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν, καὶ τὸν
ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν, καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον
τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις [1]Ἐλευσῖνάδε ἐξάγειν· πέμψαι δὲ καὶ
πρέςβεις πρὸς τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους
διὰ τὸ ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας· παρακαλεῖν δ'
αὐτούς, μηδὲν καταπλαγέντας τὸν Φίλιππον ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ
τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας. καὶ ὅτι ὁ Ἀθηναίων δῆμος, οὐδὲν
μνησικακῶν εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας,
βοηθήσει καὶ δυνάμεσι καὶ χρήμασι καὶ βέλεσι καὶ ὅπλοις, εἰδὼς [2]ὅτι αὐ-
τοῖς μὲν πρὸς ἀλλήλους διαμφιςβητεῖν περὶ τῆς ἡγεμονίας, οὖσιν Ἕλλησι,
καλόν, ὑπὸ δ' ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι καὶ τῆς ἡγεμονίας ἀποστε-
ρεῖσθαι ἀνάξιον εἶναι καὶ τῆς τῶν Ἑλλήνων δόξης καὶ τῆς τῶν προγόνων
ἀρετῆς. ἔτι δ' οὐδ' ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθηναίων δῆμος τὸν Θη-
βαίων δῆμον, οὔτε τῇ συγγενείᾳ οὔτε τῷ ὁμοφύλῳ. ἀναμιμνήσκεται δὲ καὶ
τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαίων προγόνους εὐεργεσίας·
καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας, ἀποστερουμένους ὑπὸ τῶν Πελοποννη-
σίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς
ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐγγόνοις, καὶ τὸν Οἰδίπουν καὶ
τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ ἕτερα πολλὰ [3]ἡμῖν ὑπάρχει
φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους. διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ 291
Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ τοῖς ἄλλοις Ἕλλησιν συμφερόντων.
Συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν, καὶ ἐπιγαμίαν ποιήσασθαι,
καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. Πρέςβεις Δημοσθένης Δημοσθένους Παια-

[1] Ἐλευσίναδε [2] [ὅτι καὶ] [3] ὑμῖν

Ἐνθυμηθεῖσι] [Ita Tayl.] Ἐνθυμηθέντας Lambin. ἀναμνησθέντας, et ἐνθυμηθείσης alii, juxta istum hominem. Vide, quæ diximus ad initium Orationis Demosthenis π. Παραπρεσβ. Idem.

Καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον] Desunt in Lindenb. Cod. Ven. pariter, quasi olim in eo deessent quoque, legit: καὶ τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις Ἐλευσίναδε ἐξάγειν. Idem.

Ὅτι] Ὅτι καὶ, [ita Tayl.] quæ Reiske seclusit, constructionem et sensum turbant. Certe καὶ insititium judico. Wunderl.

Συγγενείᾳ] Εὐγενείᾳ Reg. γ. Quod amplector. Nam illud alterum vix fere distat ab eo, quod sequitur, sc. ὁμοφύλῳ. Et notissimum est, Thebanos cum Atheniensibus de antiquitate generis et nobilitate decertare. Autochthones enim gloriabantur esse et Thebani et Athenienses, ut constat ex Suida, a me emendato ad Leptineam pag. 489. 10. R. p. 42. l. 7. T. Taylor.

Καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας] Hoc solos Athenienses facere ausos fuisse, διὰ τὴν ἔμφυτον αὐτοῖς ἐπιείκειαν, scribit Diodorus, IV. 57. Stock.

Ἐγγόνοις] Ἐκγόνοις MSS. Lind. et Reg. ε. Cæterorum enim plerique omnes in hoc Decreto deficiunt. Vide, quæ Nos ad Demosthenem, in Oratione π. παραπρεσβ. §. ιζ'. not. ἐκγον. Taylor.

Καὶ τὸν Οἰδίπουν] Miror hoc commemorari, cum Œdipus probri loco Thebanis objici soleat. Unde Epaminondas illum a Thebanis ejectum, ab Atheniensibus receptum esse, conviciatori respondit. Quid si Scurra quispiam hoc assuit? Wolf. Eadem fere Tourrellius. Cæterum nihil incertius quam universa Œdipi historia, poetarum figmentis mirifice depravata. Nunquam enim eum ex matre liberos suscepisse, re tota statim post nuptias patefacta, haud obscure innuit Homerus, Odyss. Λ. et confirmant Pausanias Bœoticis, et Scholiast. in Euripidis Phœniss. Potuit autem fieri, ut absque ulla ignominia Thebis cederet Œdipus: apud omnes enim gentes antiquas, homicidii, quamvis non sponte facti, reos solum vertere coactos fuisse notissimum est. Tritum quidem hoc fuisse in Thebanos maledictum, neque unius conviciatoris petulantia declarat, neque responsum illud Epaminondæ, qui inepta objicientem hominem suo sibi jugulat: "Sit sane Œdipus patriæ probrum. Atqui probrum illud, a nobis eliminatum, vos excepistis." Stock.

Ὑμῖν] [Ita Tayl.] Ἡμῖν edi solebat, et rectius, ut arbitror. Taylor. v. antepen. deest τοῖς in ed. Tayl.

Πρέσβεις] Et hic non est denarius numerus legatorum. Wolf.

νιεύς, Ὑπερίδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς, Κάλλαισχρος Διοτίμου Κοθωκίδης.

νς΄. Αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ
καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ
μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων.
τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον
παρελθεῖν ἐποίησεν ὥσπερ νέφος. Ἦν μὲν τοίνυν τοῦ δι-
καίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμει-
νον, μὴ νῦν ἐπιτιμᾶν. ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης,
ἐν οὐδενὶ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλ-
λήλων διαφέρουσιν. ὁ μέν [1] γε πρὸ τῶν πραγμάτων γνώμην
ἀποφαίνεται, καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι,
τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δὲ σιγήσας ἡνίκ᾽
ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνει. Ἦν
μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ γε φροντίζοντος
ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λόγων· ἐγὼ δὲ τοσαύτην
ὑπερβολὴν ποιοῦμαι, ὥστ᾽ ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον,
ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν
ὁμολογῶ. εἰ γάρ ἔσθ᾽ ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν
ἂν τότε πραχθέν, τοῦτ᾽ ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν· εἰ
δὲ μήτ᾽ ἔστι μήτ᾽ ἦν μήτ᾽ ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ
292 τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων
καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; Τοῦτο τοίνυν ἐποίησα
ἐγώ, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη, τίς ἀγορεύειν
βούλεται, οὐ τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων, οὐδὲ τίς ἐγγυᾶσθαι. τὰ μέλλοντ᾽ ἐσε-

[1] † γὰρ

νς΄. Τῶν πόλεων ὑπηγμένων] *Impulsis et productis*, sive *provectis:* ita enim dicitur *ὑπάγω ἀντὶ τοῦ προάγω procedo*. Vid. Comment. Bud. *Ex edit.* HERVAG.

Τοῦτο τὸ ψήφισμα] De numero Oratorio hujus Commatis, et Rhythmo Dactylico, agit Longinus satis liberaliter Cap. 38. Laudat Hermogenes pagg. 259. 299. 372, Demetrius Phaler. §. 287. Confer Clarkium ad Homer. Iliad. B. 537. TAYLOR.

Δικαίου πολίτου] Supra ad Æschinem p. 586. R. p. 441. l. 13. T. IDEM.

Βασκαίνει] Suid. in v. Harpocr. Magister, Ammonius, quorum plerique ad hunc locum respiciunt. Sed Suidas corrigendus est ex Magistro. Βασκαίνω οὐ μόνον ἀντὶ τοῦ Φθονῶ (ὅπερ πρὸς δοτικὴν συντάσσεται) ἀλλὰ καὶ ἀντὶ τοῦ Μέμφομαι καὶ Διαβάλλω παρὰ τοῖς παλαιοῖς εὕρηται, καὶ συντάσσεται πρὸς αἰτιατικήν. Vide, quantum hæc præstant iis, quæ Suidas habet, consulto prius hoc Demosthenis loco. IDEM.

Ὑπερβολὴν] Sensus est: *addo hoc ex abundanti, ἐκ περιουσίας*. Supra. §. β΄. MARKLAND.

Ὅ, τις] [Ita Tayl.] Ἔσθ᾽ ὅ, τι τις νῦν ἑώρακεν Aug. Vindob. Alii aliter. Verum utcunque sit, delendum istud inauspicatum Comma ante τις. TAYLOR. v. antep. deest ἐγὼ in ed. Tayl. et v. penult. *αἰτιάσασθαι* leg.

Ἐγγυᾶσθαι] Vocabula ἔγγυος et ἐγγύα diligenter illustrat Salmasius de modo

σθαι. σοῦ δ᾽ ἀφώνου κατ᾽ ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παρελθὼν ἔλεγον. Ἐπειδὴ δ᾽ οὐ τότε, ἀλλὰ νῦν δεῖξον. εἰπέ, τίς ἢ λόγος, ὅντινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ᾽ ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ᾽ ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί;

νζ΄. Ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. τότε τοίνυν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ᾽ ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει. τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται, ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ. Μὴ δὴ τοῦθ᾽ ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τὴν μάχην· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί· ἀλλ᾽ ὡς οὐχ ἅπαντα, ὅσα ἐνῆν κατ᾽ ἀνθρώπινον λογισμόν, εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ᾽ ἤδη κατηγόρει μου. Εἰ δ᾽ ὁ συμβὰς σκηπτὸς μὴ μόνον ἡμῶν ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; Ὥσπερ ἂν εἴ τις ναύκληρον 293
πάντ᾽ ἐπὶ σωτηρίᾳ πράξαντα, καὶ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ᾽ ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον, καὶ πονησάντων αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. ἀλλ᾽ οὔτ᾽ ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν, ὥσπερ οὐδ᾽ ἐστρατήγουν ἐγώ, οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ᾽ ἐκείνη τῶν πάντων. Ἀλλ᾽ ἐκεῖνο λογίζου καὶ ὅρα. εἰ μετὰ τῶν Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί

usurar. cap. 16. Harl.

Εὑρεῖν] Τίς ἢ λόγος, ὅντινα ἐχρῆν ἐρεῖν, ἢ καιρὸς συμφέρων, ὅστις ὑπ᾽ ἐμοῦ παρελείφθη τῇ πόλει; vid. §. ξβ΄. Markland.

νζ΄. Παρὰ πᾶσιν] Loco quodam communi perite conjungit antecedentia cum iis, quæ porro contra Æschinem dicturus est. Harl.

Προαίρεσιν τῆς πολιτείας] Huc fere spectant verba Libanii Epist. 45. Edit. Wolf. Ἐπεὶ καὶ Δημοσθένην ὁρῶ τὰ ἄριστα προελέσθαι δεικνύντα τῷ μηδὲ τοὺς ἐχθρούς, ἃ προείλετο, συκοφαντεῖν. Taylor. v. præc. ἤμελλεν, et v. 21. σκηπτός, ἢ χειμὼν (quæ Reisk. seclusit), μὴ μ. ὑμῶν, et. v. penult. deest τῶν in ed. Tayl.

Τότ᾽] Ταῦτά μοι δεῖξον, καὶ ταῦτ᾽ ἤδη κατηγόρει μου lege. Taylor.

Χρὴ] L. χρῆν. Iterumque v. 1. pag. seq. sicut legitur v. 6. Markland.

[1] χρὴ προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς; καὶ εἰ νῦν τριῶν ἡμερῶν ὁδὸν [2] ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γεγενημένης τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ [3] που τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' [4] οἶσθα ὅτι νῦν μὲν στῆναι, συνελθεῖν, [5] ἀναπνεῦσαι, πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει· τότε δέ —, [6] οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδ' ἐς πεῖραν ἔδωκε θεῶν τινὸς εὔνοια καὶ τὸ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

νή. Ἔστι δὲ ταυτὶ πάντα μοι, τὰ πολλά, πρὸς ὑμᾶς, ἄνδρες δικασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους· ἐπεὶ πρός γε τοῦτον αὐτὸν τὸν κατάπτυστον βραχὺς καὶ σαφὴς ἐξήρκει μοι λόγος. Εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα Αἰσχίνη μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' [7] ἔδει προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις, ὥστε
294 τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς ἢ ἐγὼ σοῦ; Τοσοῦ-

[1] *χρῆν [2] ἀπὸ τῆς ἀττικῆς ὁδὸν [3] που πλησίον τῆς [4] οἴεσθε *ἔτι νῦν ἂν στῆναι [5] † ἀναπνεῦσαι; [6] ἀλλ' οὐκ [7] ἔδει σε προλέγειν

Οἴεσθε] [Ita Tayl.] Οἶσθα Reg. a. et Altemps. ut ad Æschinem spectet, ad quem tota hæc Oratio converti videtur. Taylor.

Ὅτι νῦν ἐνῆν] [Ita Tayl.] V. Var. Lect.

Ὅτι νῦν μὲν στῆναι] Scilicet, προσδοκῆσαι χρῆν. Alii ἐνῆν, alii μὲν ἂν στῆναι, reponunt. Sed bene se habet vulgata: abrupta enim intensioni loquentis aptius concordat. Stock.

Τότε] Cum Aposiopesi, hoc modo: v. 6. νῦν ἐνῆν στῆναι etc. τότε δὲ — ἀλλ' οὐκ ἄξιον εἰπεῖν κ. τ. λ. Scilicet Νῦν, in hoc casu, Τότε, in isto. Νῦν, ut res ceciderunt, Τότε, ut potuissent. Ita §. νθ'. Markland.

Ἅ γε μηδὲ πεῖραν κ. τ. λ.] [Ita Tayl.] Ἅ γε πειρᾶν, ἢ πειρᾶσθαι, ἢ πεῖραν λαβεῖν, non placet. F. ὧν γε μηδὲ πεῖραν ἔδωκε. Vel, ὧν γε μηδὲ πεῖραν λαβεῖν ἔδωκε. Wolf.

Ἅ γε] Ὧν γε. Markland. ὧν ἃ γε Cod. Ven. Nimirum ita solens est iste liber. Utramque lectionem retinere cognoscitur: uti hic fortasse, juxta emendationem viri clarissimi. Interea tamen solerti isti et accuratissimæ disquisitioni Viri istius egregii de νῦν et τότε addam hæc Ulpiani ad locum: Τὸ νῦν ἐνταῦθα τμῆμα χρόνου δηλοῖ, καὶ ἔστιν ἐπὶ παρεληλυθότος. Et similiter judicasse videtur idem Scholiastes infra ad §. νθ'. Taylor.

Ἅ γε μηδὲ πεῖραν ἔδωκε] Ἡ πόλις, nempe. Ἅ γε pro ὧν γε Græca antiptosi: ita mox, §. ξδ'. ἐκ τῶν ἐπιστολῶν—ὧν ἔπεμψε. MSS. plerique εὔνοια habent, in recto casu: et sic admittatur necesse est lectio Wolfiana, τὸ προβαλέσθαι: dei alicujus benevolentia fecit, et obtentus societatis hujus. Stock.

Εὔνοια] Vid. Var. Lect.

Καὶ τὸ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν] Objectu societatis hujus. Verbum verbo: Eo quod Resp. societatem hanc objecit, vel opposuit, Philippo. Wolf.

νή. Ἀγνοίας] Rectius, ut opinor, quam ἀνοίας, quæ videtur fuisse lectio Hermogenis, ubi de Dilemmate agit, pag. 192. Διλήμματόν ἐστι τοιοῦτον—ᾔδεις τὰ μέλλοντα, ἢ οὐκ ᾔδεις; ἐάν τε γὰρ εἴπῃ, ᾔδειν, ἀπαντᾷ, τί οὖν οὐ προέλεγες; ἐάν τε εἴπῃ, οὐκ ᾔδειν, τί οὖν ἡμῶν ὡς εἰδότων κατηγορεῖς; εἰ μὲν γὰρ ᾔδεις, προειπεῖν ὤφειλες· εἰ δὲ οὐκ ᾔδεις, τί τῶν ἄλλων, ὡς μὴ εἰδότων, κατηγορεῖς; τῆς ἀνοίας τῶν μελλόντων κοινῆς οὔσης πρὸς πάντας ἀνθρώπους. Taylor. v. 15. desideratur μοι in ed. Tayl. V. Var. Lect.

τον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦθ' ἃ λέγω — καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι —, ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ' ὑπολογισάμενος· σὺ δ' οὔθ' ἕτερα εἶπες βελτίω τούτων—οὐ γὰρ ἂν τούτοις ἐχρῶντο — οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σεαυτὸν παρέσχες, ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος ποιήσειε τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι· καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ καὶ Ἀριστόλεως ἐν Θάσῳ οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. Καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. Δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ [1] πολιτεύει καὶ πάλιν οὐ [1] πολιτεύει. Πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; Ἄφωνος Αἰσχίνης. Ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει; Πάρεστιν Αἰσχίνης· ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.

νθ'. Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν. καί μου, πρὸς Διὸς καὶ

[1] † πολιτεύῃ

Ἐχρῶντο] Nempe οἱ Ἀθηναῖοι. Auger.

Ὅπερ δ' ἂν κ. τ. λ.] *Quod homo nequissimus et reipublicæ inimicissimus fecisset, id tu post eventa fecisse repertus es.* Idem.

Τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι] *Compertus es fecisse*, pro, *Te fecisse constat.* Wolf.

Ἐξήτασαι] Recte notam instituit Wolfius, vertit vero satis infeliciter: *post eventum prodiisti.* Pene tenere visus sum, quid hominem abripuit. Bene Etruscus: *E quel, che un tristo, e nimico huomo alla citta farebbe, sei stato ritrovato far tu ne' casi che sono avvenuti.* Taylor.

Θάσσῳ] [Ita Tayl.] Θάσῳ. Vid. ad Steph. Byzant. Markl. Ἀριστόλαος Tayl.

Καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο] Ἀντὶ τοῦ, ὥστε εὐδοκιμεῖν ἐν τοῖς ἀτυχήμασι. quamvis enim verba hæc ἐνευδοκιμῶ, ἐνεπιορκῶ, ἐναπομένω, ἐναποδημῶ, ἐνεγκάζομαι, et similia, implicitam habent loci certi reique significationem, cum ipsa actione vel passione (quæ quidem significatio interdum non primore attentione se promit legentibus) tamen nonnunquam pro simplicibus ponuntur, licet uberiorem significationem habeant. *Ex edit.* Hervag.

Ῥήγματα] Foesius in Œconom. Hippocratis sub h. v. ῥῆγμα, inquit, *ruptum aut ruptio* dicitur, *unitatis in carne solutio citra vulnerationem tamen*, ut in nervis σπάσμα ex violento ictu, vel gravi casu, vel distentione, vel alia quapiam intensa motione. Galen. libr. Meth. med. cap. I. Harl. v. 16. Δ. δὲ ἐξ Tayl.

Σπάσματα] Laudat hæc Demosthenis nostri Plutarchus de Discrim. Amici et Adul. Οἱ δ' ἀγεννεῖς καὶ ταπεινοὶ τῶν εὐτυχούντων κόλακες, ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματά φησι Δημοσθένης, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖσθαι. Taylor.

θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας, ὃ λέγω, θεωρησάτω. Εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν ἅπαντες, καὶ σὺ προὔλεγες Αἰσχίνη καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς
295 οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. νῦν μέν [1]γ' ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. Εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐδένα κίνδυνον ὅντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς ἂν οὐχὶ κατέπτυσεν ἂν σοῦ; μὴ γὰρ δὴ τῆς πόλεώς γε, μηδ' ἐμοῦ. τίσι δ' ὀφθαλμοῖς πρὸς Διὸς ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι! καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης. Τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γεγενημένων Λακεδαιμονίων καὶ

[1] † γὰρ

ϑ'. Εἴπερ ἢ δόξης, ἢ προγόνων, ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον] Λόγον ἔχειν, est *rationem habere*, quemadmodum et ὑπολογίζεσθαι, quod idem significat, ut in hac eadem Oratione supra, μηδὲν ὧν ἠδίκησθε, ἐν οἷς ἐπιστεύθητε ὑπολογισάμενοι, id est, *injuriarum præteritarum rationem nullam habentes in his rebus, quæ fidei vestræ permissæ sunt*, hoc est, injurias non reputantes. dicitur et ὑπόλογον ποιεῖσθαι. Et, ἐν μηδενὶ ὑπολόγῳ τίθεσθαι. et, ἐν οὐδενὶ λόγῳ τίθεσθαι, *floccifacere*. *Ex edit.* HERVAG.

Ἢ προγόνων] Wolfius interpretatur, perinde ac si legisset εἴπερ ἢ δόξης τῶν προγόνων, ἢ τοῦ μέλλοντος κ. τ. λ. Quæ lectio mihi semper arridebat. TAYLOR. v. 3. πάντες Tayl.

Ἀκονιτὶ] Sicut ἀναιμωτὶ, ἀνιδρωτί. WOLF.

Ἀκοντί] Aliæ Editiones exhibent ἀκονητί. Sed legendum est ἀκονιτί. Vox est palæstrica, et metaphora ducta a luctatoribus, qui sine pulveris inspersione vincebant, nullo antagonista in medium procedere ausu. PALMER. cf. Dorville ad Charit. p. 33. et Herodian. II. 13. p. 394 sq. ibique Irmisch. tom. II. HARL. v. 11. πρόωιτο et ὀντινοῦν οὐχ Tayl.

Τίς οὐχὶ κατέπτυσεν ἂν σου] [Ita Tayl.] Latentem hujusce commatis sensum aculeumque optime exseruit Budæus. Nimirum schematis illius παρ' ὑπόνοιαν, sæpius antea memorati, novum hoc exemplum est. "Verbum illud acerbum, quod recta ferebatur in Athenienses, Demosthenes in *adversarium* detorsit: εἰ γὰρ ταῦτα πρόοιτο ἀκονιτὶ, &c. τίς οὐχὶ κατέπτυσεν ἂν—— σου; μὴ γὰρ τῆς πόλεώς γε, μηδ' ἐμοῦ. Quis, inquit, *non despuisset in caput tuum: absit enim, ut id vel in civitatem, vel in me ominari mihi contingat.*" p. 913. STOCK.

Νυνὶ] Non est *Temporis*, sed significat, *in hoc casu, hac suppositione*, i. e. *si temp. sine contentione ulla et pugna projecissemus*. Plane fuisset, εἰς ὅπερ νυνὶ περιέστησεν ἄν. *Si res eo redactæ fuissent, quo*, in hoc casu, *fuissent redactæ*. Vide §. μϛ'. MARKLAND. v. 13. γὰρ τῆς, et v. ult. γενομένων Tayl.

παρ' αὐτοῦ τοῦ Περσῶν βασιλέως μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ τὸ κελευόμενον ποιεῖν καὶ ἐᾷν ἕτερον τῶν Ἑλλήνων προεστάναι. Ἀλλ' οὐκ ἦν ταῦθ' ὡς ἔοικε τοῖς Ἀθηναίοις τοῖς τότε πάτρια οὐδ' ἀνεκτὰ οὐδ' ἔμφυτα, οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μέν, μὴ δίκαια δὲ πράττουσι, προσθεμένην ἀσφαλῶς δουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης καὶ κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκε. Καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσή- 298
κοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥςτε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε. Εἰκότως. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι; τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν ἀποφηνάμενον [1] τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι οὔτε ῥήτορα οὔτε στρατηγόν, δι' ὅτου δουλεύσουσιν εὐτυχῶς· ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας αὐτοῖς ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ [2] αὐτῶν

[1] † τοῖς ἐπιταττομένοις ἀποφηνάμενον [2] † αὐτῶν

Τὸ κελευόμενον] Ὑπὲρ τοῦ τὸ κελευόμενον ποιεῖν Lambinus, adductus, ut existimare fas est, iis, quæ leguntur infra. Sed minime est necessaria ista Correctio, neque adjuvant MSti. Hoc alii melius et dilucidius interpretantur, quam noster Wolfius. *Quis Græcorum non novit, quisve Barbarorum, quod et a Thebanis, et ab eis, qui istis antea eo amplius potentes erant, Lacedæmoniis, et ab ipso Rege Persarum, multa cum gratia illud libenter civitati concessum fuisset, ut caperet, quodcumque vellet, et sua retineret, si imperata facere voluisset, ac permisisset, ut alius haberet Græciæ principatum.* Taylor. v. 1. deest αὐτοῦ, et 5. s. Ἀθ. πάτρια, et 5. 9. δόξης κτλ., et v. 10. ὑμετ. in ed. Tayl.

Περὶ τιμῆς] Ita Tayl. Vid. Var. Lect.

Ἐμβάντες] ἐκβάντες Guelph. Vind. Illud, ut arbitror, erat olim ἐσβάντες. Vide, quæ diximus ad Lysiam pag. 103. Not. 20. p. 51. edit. Lond. Taylor. Cf. in Chrest. gr. poet. nostra p. 36. ad v. 9. Harl.

Κυρσίλον] De eo Cic. III. Offic. 11. Canter. VII. Nov. Lect. 4. Harpocr. in v. Taylor.

Κυρσίλον] Cic. Offic. III. 11. *Athenienses* Cyrsilum *quendam, suadentem ut in urbe manerent, Xerxemque reciperent, lapidibus obruerunt.* Stock.

Αὐτὸν] F. οὐ μόνον αὐτὸν ὑμεῖς, ἀλλὰ— Markland.

Δι' ὅτου δουλεύσουσιν——ἐξέσται] Ἀντὶ τῶν καὶ δουλεύσουσιν καὶ ἐξέσοιτο. quemadmodum enim optativo indicativi loco utuntur Græci, ita viceversa. Idem inferius §. 4δ'. τοῦ τὴν σιτοπομπείαν ὅπως κομισθήσεται προϊδέσθαι; *non* (oportebat) *providere quomodo frumentum conveheretur?* Per indicativum enim Græci multa dicunt, quæ nos per conjunctivum dicimus. Cujus rei complura exempla vid. in Comment. Budæi. Ex *edit.* Hervag.

ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. Διαφέρει δὲ τί; [1]Ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον [2]περιμενεῖ, ὁ δὲ καὶ τῇ πατρίδι ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τοῦ θανάτου. [3]τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη.

ξ΄. Εἰ μὲν τοίνυν τοῦτ᾽ ἐπεχείρουν λέγειν, ὡς ἄρα ἐγὼ προήγαγον [4]ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔστιν ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. νῦν δ᾽ ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ᾽ εἶχε τὸ φρόνημα ἡ πόλις, τῆς μέντοι διακονίας τῆς ἐφ᾽ ἑκάστοις τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖ-
297 ναί φημι· οὗτος δ᾽ [5]ὁ τῶν ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ᾽ εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. [6]εἰ γάρ, ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου, τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. Ἀλλ᾽ οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως [7]ἡμαρτήκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας

[1] Deest ὅτι. [2] † περιμένει [3] τὰς ὕβρεις καὶ . . . . ἀνάγκη, τοῦ θανάτου. [4] † ἡμᾶς [5] † Deest articulus. [6] *εἰ γὰρ οὐχ, [7] † ἡμάρτετε, ἄνδρες

Διαφέρει δὲ τί] Ecce! Glossa T. Magistri. Τί διαφέρει, κάλλιον λέγει, ἢ τίνι διαφέρει, Καθὰ καὶ Δημοσθένης ἐν τῷ περὶ Στεφάνου. τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει. Profecto aut hic est locus, quem Glossographus ille memoriter citavit, aut nullus per totam hanc Orationem. Vide not. supra, §. ς΄. Taylor.

Αὐτόματον] *Mors naturalis et fatalis, nulla extrinsecus vi coacta*, ut rite interpretatur Gellius XIII. 1. ubi hoc Effatum Demosthenis laudat atque explicat. Idem.

Περιμένει] Lege περιμενεῖ. Markland.

Φοβερωτέρας] Sc. θανάτου. Quæ vox repetenda est ex præcedenti ἀποθνήσκειν. Idem. v. 6. desunt vv. τοῦ θαν. in ed. Tayl. V. Var. Lect.

ξ΄. Εἰς τὸ παρὸν] Omisit Wolfius, quod emphasin habet egregiam. Quanto melius ille, qui ita—*quia præsenti ornamento me cupit expoliare, et a vobis sempiternam laudem auferre?* Taylor.

Γλίχεται] Hesych. sub h. v. Γλίχεται, ait, παίζει. ἐπιθυμεῖ. προθυμεῖται. et Alberti in obs. ad h. l. docet, γλίχεσθαι proprie esse γλίσχρως ἐπιθυμεῖν, *misere cupere, discupere, gestire*; ut monet A. Dounæus Prælect. in Demosth. pag. 169. Harl.

Εἰ γὰρ——καταψηφιεῖσθε] Si mecum junxeris εἰ γὰρ καταψηφιεῖσθε τουδὶ ἐμοῦ ὡς πολιτευσαμένου οὐ τὰ βέλτιστα, nihil est, quod desideres Reiskii ineptam conjecturam εἰ γὰρ οὐχ, ὡς. Τουδὶ ἐμοῦ ad Demosthenem refer, ut οὗτος ἐγὼ et sæpius juncta reperiuntur, et supra §. λ΄. in init. ἐφάνη τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ. Wunderl.

κίνδυνον ἀράμενοι, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας [1] αὔτων οὐδὲ τοὺς κρατήσαντας μόνους. Δικαίως. ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται· τῇ τύχῃ δέ, ἣν ὁ δαίμων ἀπένειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. Ἔπειτ', ὦ κατάρατε καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἐμὲ ἀποστερῆσαι βουλόμενος τρόπαια καὶ μάχας καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνος προσεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δ' ὦ τριταγωνιστά, τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα τὸ τίνος φρόνημα λαβόντα ἀναβαίνειν ἐπὶ τὸ βῆμα ἔδει; τὸ τοῦ τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ' ἂν ἀπέθανον. [2] ἐπεὶ οὐδ' ὑμᾶς, ἄνδρες 298

[1] † αὐτῶν

[2] † ἔπειτ'.

Οὐ μὰ τοὺς] Stupendum hoc consummatæ Eloquentiæ monumentum omni laude majus haud dubie videretur, nisi præconem invenisset Longinum: ut præstantissimi illius viri commentarium (cap. 16.) evolventi incertum sit, Orator magis Criticusve sit mirandus. STOCK.

Οὓς ἅπαντας κ. τ. λ.] Vide Longin. c. 16. fin. Fabrum et Pearceum ad loc. Quorum ille δημοσίᾳ pro ὁμοίως substituit, τῆς αὐτῆς ἀξιώσασα τιμῆς pro glossa, vel potius glossæ glossemate, ejicit; denique pro αὐτῶν vocem μόνους subrogari voluit. Non certe omnia hæc necessaria. TAYLOR. Hermog. p. 260. et 424. HARL.

Ἅπαντας ὁμοίως ἡ πόλις] Vim ac potestatem hujus commatis fusius pulcreque illustrat Seiler in sua interpretatione hujus orationis pag. 159. et laudat finem Lysianæ orationis funebris. IDEM.

Γραμματοκύφων] Optime exponit Etymolog. M. Γραμματοκύφων, ἀντὶ τοῦ, γραμματεύς· ὅτι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν. ἢ ἐν ἀγορᾷ γραμματεύς· ἐπεὶ οἱ ἀγοραῖοι τῷ κύφωνι μαστιγοῦνται. Διὰ τοῦτο δ' αὐτὸν εἶπε καὶ περίτριμμα ἀγορᾶς παρὰ Δημοσθένει. Adde Suid. v. Γραμματοκύφων et Τρόμητος. Vocem hanc insolentiorem expendit et illustrat H. Steph. Thes. L. Gr. T. 1. col. 862. TAYLOR. Recte is fortasse vocem insolentiorem interpretatur. Sed utinam et voce ipsa caruissemus! Utinam, inquam, Orator (si mihi fas sit in Sole, ad summum gloriæ splendorisque culmen provecto, maculas conspicere) hoc saltem loco, si nusquam alibi, conviciis abstinuisset! Indignatur animus, tanto nisu ad fastigium veræ sublimitatis elatus, atque, ut ille ait Longinus, quasi propriæ dignitatis sensu superbiens, ὅταν γαῦρόν τι ἀνάθημα λαμβάνουσα, πληροῦται χαρᾶς καὶ μεγαλαυχίας, indignatur tum maxime animus in *scurram* despicere. STOCK.

Γραμματοκύφων] Γραμματοκύφωνα vocat Æschinem contumeliose, quoniam scriba erat, ἀντὶ τοῦ, ἐν τῷ γράφειν κεκυφότα. *Ex edit.* HERVAG.

Τριταγωνιστὰ] Kuhnius ad Pollac. Onomast. libr. VI. segm. 165. nr. 38. histriones hos tertiarum (partium) homines fuisse, scribit, vilioris conditionis, et tyrannos eosque, qui sceptra tenerent, repræsentasse. Conf. Ascon. ad Cic. Divinat. in Cæcil. c. 15. et Fabric. B. Gr. lib. II. c. 19. de Tragic. v. Æschines, tom. II. p. 281. m. edit. HARL.

Δικαίως μέντ' ἂν ἀπέθανον] *Atqui si hoc commisissem, jure ab ipsis morte affectus fuissem.* μέντ' ἂν autem ex μέντοι καὶ ἂν compositum est. *Ex edit.* HERVAG.

Ἐπεί γε οὐδ' ὑμᾶς] Me non decebat, remp. gerentem, abjecte de ea sentire: nam ne vos quidem pari cum animo

Ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τ' ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν, ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας, καὶ παραλαμβάνειν γ' ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον [1] ὑμῶν [δεῖ], ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων πράττειν οἴεσθε χρῆναι.

ξα΄. Ἀλλὰ γὰρ [2] ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέντων. ἐπανελθεῖν οὖν, ὅθεν εἰς ταῦτ' ἐξέβην, βούλομαι. Ὡς γὰρ ἀφικόμεθα εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς. Ὅτι δ' οὐ νῦν ταῦτα λέγω τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολήν, ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις. Καίτοι τοσαύτῃ γ' ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ' εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρόν, οὐκ ἐμέ φησιν

[1] ὑμῶν δεῖ [2] ἐκπεσὼν

caussas privatas atque publicas dijudicatis, &c. Harl. F. ἐπεί. Markland. v. præc. deest τοῦ in ed. Tayl.

Ἐπὶ] An ἀπό? Nisi desit aliquid post ἐπί. Sed vide §. ξή. Vel forte, ἐκ τῶν, ut apud Lysiam Orat. XV. p. 582. ult. Markland. ἀπὸ propter usum loquendi σκοπεῖν τι ἀπό τινος arridet. Sed lectio vulgata non sollicitanda est. σκοπεῖν ἐπί τινος, *rem ad aliquid exigere*, §. ξη΄. *a med.* et ϟα΄. *in init.* quoque eodem sensu legitur. Adde de usu præposit. ἐπὶ §. ζ. *in init.* ι΄. *ante med.* ξϛ΄. Wunderl.

Ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ] Symbolum illud, seu Tessera, cujusmodi fuerit, me latet. Aretinus: *Simul cum tabella mentem civitatis induere.* Perionius: *Se pariter cum bacillo et insignibus mentem animumque reip. assumere.* Wolf.

Βακτηρίᾳ—συμβόλῳ] Aristoph. Plut. v. 272. et 277. σχ. ad loc. Idem Ecclesiaz. 296. Valesius ad pag. 265. notarum Maussac. in Harpocr. Poll. VIII. 5. Ulpian. ad hunc locum Auctoris nostri, Pet. Faber Agonist. I. 20. Taylor.

Βακτηρίᾳ—συμβόλῳ] Decem erant Athenis Fora judicialia, quæ decem diversis literis signata sunt, totidemque coloribus in vestibulo distincta. Literis hisce in urnam conjectis, prout quisque hanc aut illam literam sortitus est, ita huic aut illi foro judex traditur. Profecto ei ad tribunal suum præco illius fori virgam dabat, βακτηρίαν, eodem quo forum colore, eademque litera signatam; et simul tabellam, συμβόλον, in qua nomen ipsius, itemque fori, inscriptum erat: hanc autem discessurus tanquam tesseram ostendebat, sine qua mercedem singulis judicibus assignatam, ternos scil. obolos, poscere non licuit. Schol. Aristoph. Plut. Petit. IV. 1. Sigon. l. 3. Stock.

Νομίζειν] Vid. Var. Lect.

Δεῖ] Quod plur. Codd. omittunt, commode possis ex superioribus repetere. cf. §. ϛ΄. similem constructionem. Wunderl. Deest in ed. Tayl. et mox καταλαμβάνομεν leg.

ξά. Ἐμπεσὼν] Reiske ex Aug. sec. ἐκπεσὼν recepit. At ἐμπίπτειν est de hac re legitimum verbum. Vid. §. ιδ΄. Wunderl.

Πραχθέντων] Τῶν τότε πρ. vel τῶν ἐμοὶ πρ. Markland.

Ὡς γὰρ κ. τ. λ.] Laudat Dionys. Halic. ad Amm. §. 11. Quem confer, si lubet. Taylor.

αἴτιον γεγενῆσθαι· τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι. καὶ ὡς ἔοικεν, ὁ σύμβουλος καὶ ῥήτωρ ἐγὼ τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέντων οὐδενὸς [1] αὔτῳ συναίτιος εἶναι δοκῶ, τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. Πῶς ἂν ὠμότερος συκοφάντης γένοιτ' ἂν ἢ καταρατότερος τούτου; Λέγε τὴν ἐπιστολήν.

ΕΠΙΣΤΟΛΗ. 299

ξβ'. Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προςῆγον ἐκείνους προτέρους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. Καὶ παρελθόντες ἐδημηγόρουν, πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, ἅπανθ' ὅσα πώποτ' ἐναντία ἐπράξατε Θηβαίοις ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ [2] πεπόνθασιν ὑπὸ Φιλίππου χάριν [3] αὐτοῖς ἀποδοῦναι, ὧν δ' ὑφ' ὑμῶν ἠδίκηνται δίκην λαβεῖν, ὁποτέρως [4] βούλονται, ἢ διιέντας αὐτοὺς ἐφ' ὑμᾶς, ἢ [5] συνεμβάλλοντας εἰς τὴν Ἀττικήν. καὶ ἐδείκνυσαν, ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ συνεβούλευον, τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα καὶ τἄλλα ἀγαθὰ εἰς τὴν Βοιωτίαν ἥξοντα, ἐκ δ' ὧν ὑμᾶς ἐρεῖν ἔφασαν, τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμενα ὑπὸ τοῦ πολέμου. καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς [6] ταῦτα δὲ πάντα συντείνοντα ἔλεγον. Ἃ δ' ἡμεῖς πρὸς ταῦτ' ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα ἐγὼ [7] μὲν ἂν ἀντὶ παντὸς τιμησαίμην εἰπεῖν τοῦ βίου, ὑμᾶς δὲ δέδοικα, μή, παρεληλυθότων τῶν καιρῶν, ὥςπερ ἂν εἰ κατακλυσμὸν ἡγούμενοι

[1] † αὐτῷ [2] † πεπόνθεσαν [3] † αὐτοὺς [4] βούλονται [5] † συνεμβαλόντας
[6] ταῦτα [7] μὲν ἀντὶ παντὸς τιμησαίμην ἂν εἰπεῖν

ξβ'. Ἐκείνους] Vid. Var. Lect.

Ἐκείνους] Nempe, alios legatos qui erant socii Thebanorum. Auger.

Τὸ δὲ οὖν κεφάλαιον] Id est, *summa autem hæc est*, vel, *quod autem summatim dici potest, ut ad summam autem dicam.* κεφάλαιον pro *firmamento* et *capite causæ* ponitur. et quod Latine *in summa*, et *ad summam* dicimus, Græci ἐν κεφαλαίῳ, ἐπὶ δὲ κεφαλαίῳ, κεφαλαίῳ, τὸ δὲ κεφάλαιον dicunt. *Ex edit.* Hervag.

Αὐτοῖς] [Ita Tayl.] Αὐτοὺς potius cum Cod. Regio ε. Altemps. et Editione præstantissima Feliciani. Taylor.

Ἀντὶ παντὸς ἂν—τοῦ βίου] [Ita Tayl.] *Præ omnibus facultatibus*, ut recte Lambinus. Cujus quidem significati multa reperies exempla apud Steph. Th. Gr. I. 736. Pollux, IX. §. 33. inter nomina quæ de Publicano honorifice prædicaveris, τὸ, κρείττων τοῦ βίου annumerat, id est, *opibus invictus, qui lucrum non amat*, quomodo rite inibi interpretatur Kuhnius. Stock. v. 3. βουλεύσασθαι, et v. 10. τάξιν ἔχ., et v. 13, καὶ ἅπαν., et v. 16. ὑμῶν, et v. 17. ὑμᾶς, et v. ult. ἀντείπομεν κ. γεγ. τῶν πρ. ἐγ. Tayl.

γεγενῆσθαι τῶν πραγμάτων, μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε· ἃ δ᾽ οὖν ἐπείσαμεν ἡμεῖς καὶ ἃ [1]ἡμῖν ἀπεκρίναντο, ἀκούσατε. Λέγε τουτὶ λαβών.

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ.

ξγ΄. [2]Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς καὶ μετεπέμποντο. [3]ἐξῆτε, ἐβοηθεῖτε, ἵνα [4]τἀν μέσῳ παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχοντο, ὥστ᾽ ἔξω τῶν ὁπλιτῶν καὶ
300 τῶν ἱππέων ὄντων, εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιὰν ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. Καίτοι τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι καθ᾽ ὑμῶν τὰ κάλλιστα, ἓν μὲν ἀνδρίας, ἕτερον δὲ δικαιοσύνης, τρίτον δὲ σωφροσύνης. καὶ γὰρ τὸν ἀγῶνα μεθ᾽ ὑμῶν μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι, καὶ ἀμείνους εἶναι καὶ δικαιότερα ἀξιοῦν ὑμᾶς ἔκριναν Φιλίππου· καὶ τὰ παρ᾽ [5]αὐτοῖς τε καὶ παρὰ πᾶσιν ἐν πλείστῃ φυλακῇ, παῖδας καὶ γυναῖκας ἐφ᾽ ὑμῖν ποιήσαντες, σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. Ἐν οἷς ἅπασιν, ἄνδρες Ἀθηναῖοι, κατά γ᾽ [6]ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐγνωκότες. οὔτε γάρ, εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέδου, οὐδεὶς οὐδὲν οὐδ᾽ ἀδίκως ὑμῖν ἐνεκάλεσεν· οὕτω σώφρονας παρέσχεσθε ὑμᾶς αὐτούς· δίς τε [7]παραταξάμενοι τὰς πρώτας μάχας, τήν τ᾽ ἐπὶ τοῦ ποταμοῦ καὶ

[1] ὑμῖν [2] Μεταταῦτα [3] ἐξήειτε [4] τὰν [5] αὐτοῖς δὲ καὶ τὰ παρὰ [6] * ὑμῶν [7] † συμπαραταξάμενοι

Ὑμῖν ἀπεκρ.] Ita Tayl. Vid. Var. Lect.

ξγ΄. Ἐξῆτε] Ἀντὶ τοῦ, ἐξήειτε, παρὰ τὸ Ἔξειμι, τὸ Ἐξέρχομαι. WOLF. Vid. Var. Lect.

Τῶν ὁπλιτῶν] *Peditibus et equitibus*, nempe Thebanorum. AUGER.

Ὄντων] Latet hic aliquid, quod turbat sententiam. *Che essendo fuori* i lor *cavalli, nondimeno nelle case, i dentro la città ricevettero il nostro esercito:* Versio Italica. TAYLOR.

Ἱππέων ὄντων] F. deest aliquid. MARKLAND.

Καθ᾽ ὑμῶν] Vide Not. ad Æschin. 439. R. 384. 2. T. περὶ ὑμῶν Reg. 1. Guelph. Vind. ὑπὲρ ζ. TAYLOR.

Σωφροσύνης] *Temperantiæ*. V. cum Harl. Xenoph. M. S. IV. 5. 7. ibique Ernest. et Schneider. in argumento. v. 15. ἐκρ. ἢ Φίλιππον, κ. τ. π. αὐτοῖς, καὶ τὰ παρὰ π. δὲ ἐν πλ. Tayl.

Πᾶσι δὲ] Reiske Codd. nonnull. secutus δὲ post αὐτοῖς collocaverat, sed ipse in Annotat. hoc factum improbavit. Recte καὶ-δὲ *sed et, quid? quod*. Demosth. in Mid. §. 9. *a med.* ἐγὼ δὲ ἓν μὲν ἐκεῖνο εὖ οἶδα, καὶ ὑμᾶς δὲ εἰδέναι χρὴ, quo loco recte editorem novissimum δὲ *etiam* reddidisse dubitem. Adde Xenoph. Anab. I. 1. 2. WUNDERL.

Ὑμᾶς] Reiske e conj. ὑμῶν. Nos vulgatam interpretamur: *ex vestro quidem ingenio recte judicasse apparuit*. IDEM.

Τὴν ἐπὶ — χειμερινὴν] [Ita Tayl.] Diodorus unam illam pugnam narrat, qua Græcorum opes conciderunt. Sed res gestæ illorum temporum utique notiores Demostheni fuerunt, videnturque hæ di-

τὴν χειμερινὴν, οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτοὺς ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατε, τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ. ἐφ᾽ οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντο ἔπαινοι, παρὰ δ᾽ ὑμῶν θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς. Καὶ ἔγωγ᾽ ἡδέως ἂν ἐροίμην Αἰσχίνην· ὅτε ταῦτ᾽ ἐπράττετε, καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἦν ἡ πόλις μεστὴ, πότερον συνέθυε καὶ συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμενος καὶ στένων καὶ δυσμεναίνων ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς οἴκοι καθῆτο; Εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ᾽ οὐδ᾽ ὅσια, εἰ ὧν

micationes potius, quam justa prœlia fuisse. Fluvius vero ille, sive Cephissus, sive Hæmon, sive Thermodon fuerit, sive quis alius, nostra nihil refert. Wolf.

Ibid. Non potui melius de Demosthene mereri, quam si verba optimi Corsinii Fast. Attic. Dissert. III. §. 23. describerem. "De priori quidem pugna, quæ *ad flumen* contigisse dicitur, nihil hic dissero, quippe quæ facile prope Cephissum, qui Elateam, Orchomenum, et Chæroneam ipsam, interjectosque Phocidis Bœotiæque campos alluebat, committi potuerit. Quid vero de posteriore pugna suspicari, vel divinare quis poterit, quæ *hyberna* vocatur, cum tamen illa, inito jam Atheniensium cum Thebanis fœdere, atque ante Chæronensem cladem, adeoque Hecatombæone mense, vel ipsa æstate jam adulta, commissa fuerit? Mihi certe suspicio suboritur, Demosthenis textum depravatum esse, neque tamen facile dixerim, qua ratione ille corrigi, sanarique debeat. Id unum observo, quod in Phocidis, Bœotiæque finibus, inter Elateam, Phocensium urbem, quæ jampridem a Philippo occupata fuerat, et Chæroneam Bœotiæ civitatem, quam postremo Philippus ingenti Græcorum clade celebrem reddidit, Orchomenus urbs reperitur, atque exinde XX stadiorum intervallo, Aspledon, sive Spledon, Homero Iliad. II. v. 18. Pausaniæ l. 10. cæterisque Geographis memorata. De Splendone vero sic Strabo: Εἶτ᾽ Εὐδείελος μετωνομάσθη καὶ αὐτὴ καὶ ἡ χώρα, ἰδίωμά τι τάχα προσφερομένη ἐκ τοῦ δειλινοῦ κλίματος, εὐδιεινὸν τοῖς κατοικοῦσι, καὶ μάλιστα τὸ εὐχείμερον. l. 9. Vide Eustath. ad Iliad. B. v. 19. Quid ergo si Splendonem illam, non Εὐδείελον solum, sed etiam, Εὐχειμερινὴν vocatam esse quis dixerit, aut Εὐχειμερινῆς nomine urbem illam, finitimamque regionem a Demosthene hic indicatam esse conjiciat, ut ostenderet Athenienses Philippo ex Elateæ finibus in Bœotiam vel Chæroneam properanti primo prope Cephissum amnem, aut Melanem, qui Splendonem alluebat, deinde vero prope Splendonem ipsam, aut Orchomenum, acriter restitisse, quamvis postremo apud Chæroneam profligati illi fuerint? Si ejusmodi conjecturæ locus superesit, fortassis Demosthenes scripserat καὶ τὴν περὶ τὴν Εὐχειμερινὴν, *et altero circa Euchemerinen conflictu*; atque ipsa articuli iteratio imperitum librarium impulit, ut καὶ τὴν χειμερινὴν, nullo, ut opinor, sensu nobis obtruderet. Sed hæc divinando solum hic protuli." Hæc ille Vir præstantissimus. Quod si Hyems una intercesserit inter fœdus cum Thebanis initum, et pugnam ad Chæroneam, quidni recepta lectio confirmaretur? Quod tamen fieri non potuit, si mense Scirrhophorione, (aut Hecatombæone demum) icerint istud fœdus, et Metagitnione proxime sequenti, pugnaverint. Taylor.

Ἐπὶ τοῦ ποταμοῦ] Cephissum fl. intelligunt plerique: pugna autem posterior, χειμερινὴ, *hyeme* illa commissa est, quæ inter fœdus cum Thebanis initum et prælium Chæronense intercessit. Supra not. ad §. 51. ad fin. Stock.

Δυσμεναίνων] Παρὰ τὸ δυσμενής. Homerus δυσμενέαινεν κατ᾽ ἐπένθεσιν τοῦ ε. facit. Wolf. Loca Homeri sunt in Odyss. B. 73. Y. 314. Harl.

Καθῆτο] Καθῆστο Reg. a. s. Vide T. Magistr. supra a me adductum, ad §. 6. Hunc locum etiam laudat idem Lexicographus v. Ζηλῶ. Taylor. v. 5. ἐπράττετο Tayl.

Πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ᾽ οὐδ᾽ ὅσια] Id est, *qui fieri potest, ut non ipse indigno facto se alliget, atque adeo nefario?* ἀνόσιον enim cum dicebant, et οὐχ ὅσιον, significabant *impium*, *nefarium*, *scelestum*, sicut contra ὅσιον sanctum, ἁγνὸν, καὶ εὐαγῆ, καὶ καθαρὸν, *innocentem*, *et nullo scelere contaminatum*. *Ex edit.* Hervag.

ὡς ἀρίστων ὄντων αὐτὸς τοὺς θεοὺς ἐποιήσατο μάρτυρας,
301 ταῦθ' ὡς οὐκ ἄξια νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς ὀμωμοκότας τοὺς θεούς; εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτ' ἐλυπεῖτο ὁρῶν; Λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

ΨΗΦΙΣΜΑΤΑ ΘΥΣΙΩΝ.

ξδ'. [1] Οὔκουν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν ἑτέροις ἐξ ὧν [2] ἐπείσθητ' ἐμοί. Ἀλλὰ μὴν οἵας τότ' ἠφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε, ὧν εἰς Πελοπόννησον ἔπεμψε. Καί μοι λέγε ταύτας λαβών, ἵν' εἰδῆτε, ἡ ἐμὴ συνέχεια καὶ πλάνοι καὶ ταλαιπωρίαι καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρε, τί ἀπειργάσατο. Καίτοι πολλοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων [3] διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν. ὑπελείπετο γὰρ [4] αὑτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην,

[1] † Οὐκοῦν [2] † ἐπείσθητέ μοι [3] † διαπαντὸς [4] † αὐτῶν

Αὐτοὺς τοὺς θεοὺς] Αὐτοὺς restitui, ejecto αὐτὸς, quod Reiske e Codd. nonn. prætulerat. Vide opposita αὐτοὺς τοὺς θεοὺς— ὑμᾶς. Wunderl. v. 2. ἄριστα pro ἄξια Tayl.

ξδ'. Οὐκοῦν ἡμεῖς κ. τ. λ.] *Proinde nos tum in sacrificiis eramus toti atque in supplicationibus. Thebani autem in eo, ut sese a vobis servatos ducerent et agnoscerent. adeoque res in contrarium circumactæ sunt, ut qui ex istorum rebus gestis eo redacti erant, alieni ut præsidii egentes esse viderentur, iidem ipsi ut aliis suppetias ultro mitterent, ex quo utique auscultare consiliis meis cœpistis.* Ubi observandum quod ἀφ' ὧν ἔπραττον οὗτοι dixit, idem esse quod διὰ τὰ τούτοις πεπραγμένα. Et, ἐξ ὧν ἐπείσθητέ μοι, τὸ, τούτων ἕνεκα ὧν τυγχάνετέ μοι πεπεισμένοι. *Ex edit.* Hervag.

Θηβαῖοι κ. τ. λ.] Θηβαῖοι δὲ ἦσαν ἐν τῷ νομίζειν, σεσῶσθαι (Latine ἑαυτοὺς addendum) δι' ἡμᾶς, καὶ περιειστήκει τοῖς δοκοῦσι δεήσεσθαι βοηθείας. διὰ τί; ἀφ' ὧν ἔπραττον οὗτοι, S. οἱ προδόται. τὸ τί; αὐτοῖς βοηθεῖν ἑτέροις. ὅπως αὐτοὶ βοηθῶσιν ἑτέροις, S. τοῖς Θηβαίοις. Wolf.

Ὅτι ἡ ἐμὴ] [Ita Tayl.] F. ὅ, τι, et delendum τί in v. seq. Markland. v. 9. αὐτοῖς, et v. 16. ἡμῖν, et v. 19. τούτων πώποτε Tayl.

Πλάνη] [Ita Tayl.] *Discursus. Concursatio.* Erudite H. Steph. Thes. L. Gr. Tom. III. col. 339. Nugivendolum hic habemus Scholiasten. Taylor.

Εἰς οὐδὲν] An εἰς ὅλον? Harl.

Ὑπελείπετο κ.τ.λ.] *Relinquebat sibi unusquisque simul fungendi officii facilitatem, simul si quid secus accidisset, criminis relationem.* ἀναφορὰ *relatio criminis est, et* ἀναφέρειν τὴν αἰτίαν ἐπ' ἄλλον, *referre et rejicere.*

ἅμα δ' εἴ τι [1] γένοιτο ἀναφοράν. Τί οὖν; εἴποι τις ἄν, σὺ τοσοῦτον [2] ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ τοὺς ἄλλους, ὥστε πάντα ποιεῖν αὐτός; Οὐ λέγω ταῦτα, ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι [3] ὥραν οὐδὲ πρόνοιαν
οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ' ἀγαπητὸν εἶναι, 302
εἰ μηδὲν παραλείπων τις ἃ δεῖ πράξειεν. ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα, μήτε πράττοντα πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον [4] μηδὲ δικαιότερον. διὰ ταῦτ' ἐν ἅπασιν ἐμαυτὸν ἔταττον. Λέγε δὴ τὰς ἐπιστολὰς [5] τὰς τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΑΙ.

Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰσχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε δι' ἐμέ, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει ἐπαιρόμενος λόγους.

[1] † γίγνοιτο [2] ὑπερῆρας τοὺς ἄλλους ῥώμῃ καὶ τόλμῃ [3] χώραν οὐδὲ *προνοίας [4] † μήτε [5] † Desunt articuli.

crimen in alium, ut solent qui excusant. Aliter tamen accipitur paulo inferius, ὅτι τὸ μὲν ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους καὶ τὰς τῶν δικαστηρίων γνώσεις, καὶ τὸ, τοῦτον αὐτὸν ἐκεῖνον μὴ κατηγορηκέναι, τῶν ταῦτα γραψάντων ἅπερ οὗτος νυνὶ, καὶ τὸ, τοὺς νόμους μηκέτι ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν, nempe quod huic adversus illos, et adversus judiciorum cognitiones recusare criminationem multipliciter licet. Primum enim dicet præjudicia in illorum absolutione facta, deinde quod huic non licet accusare Ctesiphontem, qui prius illis negotium nullum exhibuerit, qui eadem tum tulerunt, quæ hic nunc tulit, et quod legibus non liceat jam hujuscemodi res criminari. hic ἀναφέρειν pro *recusare* ponitur, hoc est, exceptione crimen summovere et rejicere. *Ex edit.* HERVAG.

Ἀναφορὰν] Μετάθεσιν τῆς ἀληθείας. σχ. Vide Harpocrat. Suid. in v. Vales. ad Harpocr. pag. 20. et Æschin. pag. 277. 4. R. 275. l. ult. T. TAYLOR.

Ἀναφορὰν] Vox forensis. Actio subsidiaria, qua quis crimen sibi illatum in alium rejicit. *Harpoc.* Vel exponi possit simpliciter, *recursus, receptaculum.* Æsch. de fals. leg. νῦν δὲ αὐτοῖς μὲν κατέλιπεν τὴν εἰς τὸ ἀφανὲς ἀναφορὰν, *nunc autem sibi reliquit P. Aths. in latendi facultate recessum.* Vid. Polluc. VI. 184. STOCK.

Χώραν] [Ita Tayl.] Omnino ὥραν, ut olim correxeram. Præsto sunt MSS. Feliciani. Guelph. Vindob. et Reg. α. TAYLOR.

Πρόνοιαν] Non necessario Reiske emendationem προνοίας intulit, quam et constructio verborum respuere videtur. WUNDERL.

Προθυμότερον] F. γράφοντα—γράψαι βέλτιον—μήτε πράττοντά τι πρᾶξαι προθυμότερον, μήτε πρεσβεύοντα πρεσβεῦσαι δικαιότερον. Jam omnia pariter procedunt. Et multa sunt, quæ hanc correctionem suadent. TAYLOR. v. 10. πρ. τι πρᾶξ. Tayl.

Τὰς τοῦ] Optimorum Codd. auctoritate et Græcæ linguæ ratione postulantibus, addidi. WUNDERL.

Τῇ πόλει ἐπαιρόμενος λόγους] Κατὰ τῆς πόλεως ἐπηρμένως λαλήσας. Aretinus: *Contra urbem minitatus.* Perionius: *Verba audaciæ arrogantiæque plena jactare solitus.* Meletus: *Cum antea semper multa et superba verba contra hanc civitatem efferret.* Melanchtho: *Cum antea superba multa huic civitati minitatus esset.* WOLF.

Ἐπαιρόμενος] Ulpianus per ἐπαίρων exponit. Vid. Harpocr. et Suid. de hoc

Ἀνθ᾽ ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνί, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες, ὁ δὲ γραψάμενος Διώνδας τὸ πέμπτον μέρος τῶν ψήφων οὐκ ἔλαβε. Καί μοι λέγε ταῦτα τὰ ψηφίσματα, τὰ τότε μὲν ἀποπεφευγότα, ὑπὸ τούτου δ᾽ οὐδὲ γραφέντα.

ΨΗΦΙΣΜΑΤΑ.

ξε΄. Ταυτὶ τὰ ψηφίσματα, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς καὶ [1]ταὐτὰ ῥήματα ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί· καὶ ταῦτ᾽ Αἰσχίνης οὔτ᾽ ἐδίωξεν αὐτός, οὔτε τῷ γραψαμένῳ συγκατηγόρησε. Καίτοι τότε τὸν Δημομέλην τὸν ταῦτα γράφοντα καὶ τὸν Ὑπερίδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ᾽ ἐδίωκε. [2]Διὰ τί; Ὅτι τῷ μὲν ἔστ᾽ ἀνενεγκεῖν ἐπ᾽ ἐκείνους καὶ τὰς τῶν δικαστηρίων γνώσεις καὶ τὸ τοῦτον αὐτὸν ἐκείνων μὴ
303 κατηγορηκέναι ταὐτὰ γραψάντων, ἅπερ οὗτος νυνί, καὶ τὸ τοὺς νόμους μηκέτ᾽ ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν, καὶ πολλὰ ἕτερα· τότε δ᾽ αὐτὸ τὸ πρᾶγμα ἂν ἐκρίνετο ἐφ᾽ ἑαυτοῦ, πρίν τι τούτων προλαβεῖν.

[1] † τὰ αὐτὰ

[2] † διατί;

loco Demosthenis, Meurs. III. Attic. Lect. 18. Taylor.

Ὁ δὲ γραψάμενος Διώνδας] De hoc et Plutarchus in *vita* minore Demosthenis, ὑπωμόσατο Διώνδας. Wolf.

Ψηφίσματα—γραφέντα] Κατηγορηθέντα explicat σχ. Recte. atque id eo libentius annoto, quoniam mox v. 12. sequitur γράφοντα τὰ ψηφίσματα in sensu paulo alieniore. Et potius οὐ γραφέντα, uti Harl. et s. Taylor.

ξέ. Ὑπερίδην] Cf. Ruhnken. ad Rutil. p. 64. et LXIX. Harl.

Ἔφυγον κακὸν κ. τ. λ.] Verba solennia in isto ritu ab iis proferenda, qui hujusmodi sacris nomen dederunt. Confer Porphyr. de Abstin. statim in princip. οὔτε, κατὰ τὴν παροιμίαν, φυγῇ κακοῦ τὸ ἄμεινον εὑρόντι: Ubi fortasse Παροιμία non *Proverbium* denotat, sed *Verbum solenne*. Apostolius IX. 37. Ἔφυγον κακὸν, εὗρον ἄμεινον] Ἐπὶ τῶν μεταβολὴν κρείττονα εἰσποιζομένων. ὅτε τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν ἔφυγον, εὗρον δὲ τὴν ἥμερον τροφὴν, τοῦτο ἔλεγον. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα, κακὸν ἔλεγον. Νόμος δὲ ἦν Ἀθήνησι, ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν, λίκνον βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν, αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. Eadem fere habet Suidas in v. Ἔφυγον κ. τ. λ. Nisi quod addat, Ritum fuisse *nuptialem*. Quod ego vehementer dubito. Adde eundem Apostol. XVIII. 52. Huc respexisse putatur Cicero II. de Legg. 24. *Nam mihi cum multa eximia, divinaque videntur Athenæ tuæ peperisse, atque in vita hominum attulisse, tum nihil melius illis mysteriis, quibus ex agresti immanique vita exculti ad humanitatem, et mitigati sumus; initiaque, ut appellantur, ita re vera principia vitæ cognovimus; neque solum cum lætitia vivendi rationem accepimus, sed etiam cum spe meliore moriendi.* Et Isocrates quoque Panegyric.—δούσης δωρεὰς διττὰς, αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρποὺς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετὴν, ἧς οἱ μετέχοντες περί τε τῆς βίου τελευτῆς, καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν. Add. Vossius 1. de origine Idololatriæ 30. Idem.

Ἔφυγον κακὸν] Solennis hicce versi-

τηλικοῦτον ὀλολύξαι σεμνυνόμενος,—καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον—, ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν τοὺς ἐστεφανωμένους τῷ μαράθρῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν εὐοῖ σαβοῖ, καὶ ἐπορχούμενος

culus, a Mystis proferendus, eximiam eam victus mutationem innuebat, et innumera quæ in vitam mortalium commoda invexit Ceres, frumento reperto, cum antea glande vescerentur. Stock.

Ἔφυγον κακὸν, εὗρον ἄμεινον] Æschini objicit, quod noctu ministrans initiandis, absterso luto jussit eos dicere, ἔφυγον κακὸν, εὗρον ἄμεινον, id est, evasi mala, sum nactus meliora. Significat autem ab iis dici solere, qui initiabantur, cum peractis injuriis, quibus agitabantur ante mysteria, jam ad honorem initiationis admitterentur. Eras. Ex edit. Hervag.

Τοὺς καλοὺς θιάσους ἄγων] Barbarica ista Sacra a Cadmo, Inacho et Orpheo ex Ægypto in Græciam esse translata docet Epiphanius de Sectis lib. 1. fol. Gr. II. Wolf.

Θιάσους] Ὀδηγῶν τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ τῶν θεῶν, ὑπερχορευόμενος. Ita negligenter Ulpianus. Aliquid tamen ejusmodi habet Harpocratio, qui adducit hunc Textum Auctoris nostri. Conferri merentur verba Demosthenis in Orat. π. Παραπρεσβ. §. ϟθ'. in fin. Οὐκ ἴσασιν οὗτοι, τὸ μὲν ἐξ ἀρχῆς τὰς βίβλους ἀναγινώσκοντά σε τῇ μητρὶ τελούσῃ; καὶ παῖδα ὄντα ἐν θιάσοις, καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον; Euripid. Bacch. 55.

Ἀλλ', ὦ λιποῦσαι Τμῶλον, ἔρυμα Λυδίας,
Θίασος ἐμὸς, γυναῖκες, ἃς ἐκ βαρβάρων
Ἐκόμισα παρέδρους, καὶ ξυνεμπόρους ἐμοί.

Iterumque 113.

— ἀμφὶ δὲ νάρθηκας ὑβριστὰς
Ὁσιοῦσθ'· αὐτίκα γᾶ πᾶσα χορεύσει·
Βρόμιος ὅστις ἄγει θιάσους
Εἰς ὄρος, εἰς ὄρος, ἔνθα μένει
Θηλυγενὴς ὄχλος
Ἀφ' ἱστῶν, παρὰ κερκίδων
Τ' οἰστρηθεὶς Διονύσῳ.

Adde eundem in Phœniss. v. 802. et in Ione 552. Athenæus V. 7. Ἱερεῖς καὶ ἱέρειαι, καὶ Ὀρφεοτελεσταὶ, καὶ θίασοι παντοδαποὶ, καὶ αἱ τὰ λίκνα φεροῦσαι. Adde eundem, et Casaub. VIII. 16. Taylor. Ritum in mysteriis Eleusiniis explicat uberrime Spanhem. in comment. ad Callim. H. in Cerer. e. g. p. 738. ed. Ernesti et sæpius. Harl.

Θιάσους] Choros Bacchantium; tracto nomine ἀπὸ τοῦ Θεοῦ· καὶ γὰρ αὐτοὺς τοὺς Θεοὺς οἱ Λάκωνες Σιούς φασι. Athenæus, l. 8. Stock.

Μαράθρῳ] Μαράθῳ Harl. Utroque modo scribi solet. Harpocratio v. Λεύκη. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· Ἐστεφανωμένους τῷ μαράθῳ, καὶ τῇ λεύκῃ. οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ στέφονται, αὐτοχθόνιον μὲν εἶναι τὸ φυτόν. Χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. Τὴν δὲ λεύκην πεφυκέναι φασὶ πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ Ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ·

Ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ Ἀχερωΐς,
Ἠὲ πίτυς βλωθρή.

Quæ sequuntur, verba sunt Philetæ apud Etym. M. v. Νῆ,

Καὶ μαράθου δὲ νήχυτος ὄρπηξ.

Vide viros doctos ad Ovid. de Medicam. faciei, v. 91. Herba est, quam *Fennel* vocamus. Taylor.

Ὄφεις τοὺς παρείας] Hujusce loci meminere σχ. Plut. Aristoph. 690. Hermogenes pag. 317. et Harpocr. in v. Παρείας ὄφεις. Vide Etym. in Παρείας, et Ammonium v. Παρειαί.

———— κᾆτα συρίξας ἐγὼ
Ὀδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις.
Aristoph. Plut. l. c.

Bacchanalia etiam prætermittamus immania, quibus nomen Omophagiis Græcum est: in quibus furore mentito, et sequestrata pectoris sanitate, circumplicatis vos anguibus, *atque ut vos plenos Dei numine ac majestate doceatis, caprorum reclamantium viscera cruentatis oribus dissipatis.* Arnob. adv. Gent. l. 5. Add. Panelius de Cistophoris. Idem.

Ὄφεις τοὺς παρείας] Serpens inflatis *genis*, innocuo morsu. Schol. Aristoph. Plut. 690. Stock.

Καὶ Εὐοῖ Σαβοῖ] Ita Tayl. V. Var. Lect.

Εὐοῖ Σαβοῖ] Τῶν μὲν Βενδιδίων Πλάτων μέμνηται, τῶν δὲ Φρυγίων Δημοσθένης, διαβάλλων τὴν Αἰσχίνου μητέρα, καὶ αὐτὸν, ὡς τελούσῃ τῇ μητρὶ συνόντα, καὶ συνθιασεύοντα πολλάκις, καὶ ἐπιφθεγγόμενον Εὐοῖ, Σαβοῖ, Ὕης, Ἄττης. Strabo l. 10. p. m. 471. Διόνυσον μαινόλην ὀργιάζουσι Βάκχοι, ὠμοφαγίᾳ τὴν ἱερομανίαν ἄγοντες, καὶ τελίσκουσι τὰς κρεανομίας τῶν φόνων (ἐρίφων legit Heraldus ad Arnobium) ἀνεστεμμένοι τοῖς

ὕης ἄττης ἄττης ὕης, ἔξαρχος καὶ προηγεμὼν καὶ
κιστοφόρος καὶ λικνοφόρος καὶ τὰ τοιαῦτα ὑπὸ τῶν γρα-
ιδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα 314
καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ᾽ οἷς [1] τίς οὐκ ἂν ὡς ἀληθῶς
αὐτὸν εὐδαιμονίσειε καὶ τὴν [2] αὑτου τύχην; ἐπειδὴ δ᾽ εἰς
τοὺς δημότας ἐνεγράφης ὁπωσδήποτε—ἐῶ γὰρ τοῦτό γε—,

[1] † τις [2] † αὐτοῦ

δφεσιν, ἐπολολύζοντες Εὐαν. Clemens Alexandr. Protrept. cap. 2. Vide Matth. Ægypt. Explicationem S. C. Marciani pag. 33. seq. Harpocr. et Suid. in Εὐοῖ et Σαβοῖ. Hadriani Junii IV. Animadv. 1. H. Steph. Thes. I. 1298. 1299. Taylor.

Ὕης etc.] Τὸ Ὕης Hesychius interpretatur Ζεὺς Ὄμβριος, qui et Ὑέτιος dicitur. Ἄττης, Puer Phrygius, a Rhea adamatus fuisse traditur. Ἀτθὶς ἀντὶ τῆς Ἀττικῆς. Ὁ δὲ Ἐπιφάνιος τὴν Ἰὼ, τὴν Ἶσιν ὑπ᾽ Αἰγυπτίων καλουμένην, καὶ Ἀτθίδα ἐπονομασθῆναι. Wolf. Matth. Ægyptius l. c. Etym. M. v. Ὕης. Harpocrat. et Suid. v. Ἄττης. Vales. IV. Emend. 6. atque ad Harpocr. p. 251. Mendosa est Glossa Suidæ. Ἄττις—Δημοσθένης· κατάρχεις τοῖς Σαβοῖς. Ἄττις Ὕις, Ὕις Ἄττις. Præferunt tamen MSS. Ald. et Felician. Ὕις Ἄττις, Ἄττις Ὕις. Confer, quæ habet Ulpianus. Taylor.

Ἔξαρχος] Totum hunc locum Demosthenis erudite explicat Maussacus in Dissertatione Critica Harpocrationi subjuncta. Idem.

Κιττοφόρος καὶ λικνοφόρος] Κίττα est *Pica*: Κισσὸς *Hedera*. Λίκνος *Vannus*. Λύχνος *Lucerna*. Wolf.

Κιττοφόρος] [Ita Tayl.] Ita Codd. constanter. Utrum vero κιττοφόρος, an κισσοφόρος scribi debeat, disputat idem Maussac. l. c. et de Pisce quodam intelligit. Plane legendum κισσοφόρος. Harpocratio. Κιττοφόρος, ἔνιοι διὰ δύο ΣΣ γράφουσι. MSS. διὰ ΣΤ. Ita MS. Reg. Cantab. Κιττοφόρος. Ἔνιοι γράφουσι κιστοφόρον. Videatur Kuster. ad Suid. v. Κιστοφόρος, Panelius de Cistophoris. Taylor.

Καὶ κιττοφόρος] Κιττοφόρον, id est, *Piciferum*, dicit Æschinem ab aniculis compellatum, quemadmodum et λικνοφόρον, quod picas et vannos capite bajularet. Nam his in mysteriis Bacchanalibus utebantur, quod ea avis sacra sit Baccho, et Vannus in omnibus mysteriis adhibebatur. Unde Virgil. *Et mystica Vannus Iacchi*. quadrat in hominem infimum, et despicatissimæ sortis. Eras. *Ex edit.* Hervag.

Λιχνοφόρος] [Ita Tayl.] Λικνοφόρος restius Ald. Ven. et Codd. Regii α. ϛ. ε. κ. Vide Athenæum modo a me laudatum, ad vers. 3. p. ult. Τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐστιν. ὁ τοῦτο οὖν φερόμενος λικνοφόρος λέγοιτ᾽ ἄν. Λίκνον, τὸ πτύον. Harpocr. Suidas. Addatur Servius ad Virgil. I. Georg. 166. Quid Ulpianus noster interea? Λιχνοφόρος] Παρὰ φύλαξι τιμώμενος. Quis hæc explicabit, aut emendabit? Taylor.

Λικνοφόρος] *Vannifer*. Auger.

Ἔνθρυπτα, καὶ στρεπτοὺς, καὶ νεήλατα] Placentarum sunt species, quas habet etiam Athenæus Dipnosophist. l. 14. et hunc locum citat. Palm. Ἔνθρυπτα, frusta panis in scaphula pinsita, et vino macerata, inspersis lentibus. Ulpian. Νεήλατα, quasi *νεωστὶ ἀληλεσμένα*, *recens molita*, fiebant, juxta Harpocr. ex farina, melle, uvis passis, ac viridibus ciceribus. Stock.

Ἔνθρυπτα] Harpocr. in v. meminit hujus loci Demosthenici. Erudite de his agit Cl. Valesius ad eam glossam Harpocrationis. Ἔνθρυπτα] ψωμοὶ ἦσαν, οἴνῳ βεβρεγμένοι, οὓς ἐποίουν εἰς σκάφην ἄρτους διαθρύψαντες, καὶ φακὴν ἐπισκεδάσαντες. Ulpian. Taylor.

Στρεπτοὺς] Πλακοῦντος εἶδος. Harpocr. qui excitat hanc vocem ex hoc loco Demosthenis. Στρεπτούς. Δημοσθένης ὑπὲρ Κτησιφῶντος. πλακοῦντος εἶδός ἐστιν οἱ Στρεπτοὶ, ὡς καὶ παρ᾽ ἑτέροις. Adde Athenæum XIV. 13. qui locum hunc respicit, et Suid. v. Στρεπτούς. Idem.

Νεήλατα] Νεήλατα. Δημοσθένης ὑπὲρ Κτησιφῶντος κατ᾽ ἔλλειψιν, ἀντὶ τοῦ, νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὲ μέλιτι ἀναδεύοντες, ἀσταφίδας τε καὶ χλωροὺς ἐρεβίνθους ἐπεμβαλόντες, τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον, ἐκάλουν δὲ αὐτὰ, οἱ μὲν ἀμβροσίαν, οἱ δὲ μακαρίαν. Harpocr. in v. Idem.

Τίς] Ex conject. Vulgo τις. Cf. §. λθ΄. ubi item mutavi. Wunderl.

Αὐτὸν εὐδαιμονίσειε] Per ι in antepenultima. Wolf.

Εὐδαιμονίσειε] Non εὐδαιμονήσειε, ut Aldus, et Parisini Editores. Id etiam non neglectum a Lambino. Taylor.

Αὑτοῦ] Αὐτοῦ. Markland.

Εἰς τοὺς δημότας ἐνεγράφης] Viginti annos natus. Stock. Deest γε in ed. Tayl.

Ὁπωσδήποτε] Hoc est, καθ᾽ οἷον δή τινα

[1] ἐπειδὴ δ' οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, ὑπογραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις· ὡς δ' ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ' ἃ τῶν ἄλλων κατηγορεῖς αὐτὸς ποιήσας, οὐ κατῄσχυνας μὰ Δί' οὐδὲν τῶν προϋπηργμένων τῷ [2] μετὰ ταῦτα βίῳ, ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύλῳ καὶ Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων, ὥσπερ [3] ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων τραύματα ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος [4] ὑμῖν ὁ πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ' ὧν πολλὰ τραύματ' εἰληφὼς εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων κινδύνων ὡς δειλοὺς σκώπτεις. Ἀλλὰ γὰρ παρεὶς ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. Τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι, δι' ἣν εὐτυχούσης μὲν τῆς πατρίδος λαγὼ βίον ἔζης, δεδιὼς καὶ

[1] [ἐπειδὴ δ' οὖν ἐνεγράφης] [2] μεταταῦτα [3] ὀπωρώνης ἐκεῖνος ἐκ [4] † ὑμῖν

τρόπον, *quovis modo, quomodocunque.* Dicitur et ὁπωσποτε, et ὁπωσδηποτοῦν, et ὁπωσοῦν, et ὁπωστιοῦν, et ὁπωδήποτε, et ὁπητιοῦν, et ὅπη ἂν, ὅπη οὖν, &c. De quib. omnibus et aliis copiose in Comment. Bud. *Ex edit.* HERVAG.

Τοῖς ἀρχιδίοις] Τοῖς ἐλάττοσι τῶν ἀρχόντων. WOLF. Pro τοῖς ἀρχιδίοις in antiquo ἀρχείοις scriptum reperi, quæ χαρτοφυλάκια vocant. OBSOPŒUS. Ulpianus ita: Ἀρχιδίοις] Ἤγουν τοῖς χαρτοφυλακείοις, τοῖς δημοσίοις οἴκοις, ἔνθα οἱ δημόσιοι χάρται ἔκειντο. Vide Not. ad Jul. Pollucem VIII. 83. Ὑπηρετεῖν χαρτοφυλακίοις (ita mendosa) καὶ ἀρχιδίοις MSS. Ald. TAYLOR. Vid. Var. Lect.

Οὐ κατῄσχυνας μὰ Δί' οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ] Id est, *nihil dedecorasti eorum quæ tibi antea contigerant,* quæ anterior fortuna tua tulerat. hoc est, τῶν προϋπαρξάντων σοι, vel, πρότερον ὑπαρξάντων σοι. *Ex edit.* HERVAG.

Σιμμύκκᾳ καὶ Σωκράτει] [Ita Tayl.] Notatur [in Editt. antiquioribus] asterisco vox Σιμύκκα, et jure. Nam Harpocratio hunc locum citans legit Σιμύλῳ καὶ Σωκράτει. Eum vide in Σίμυλος, et testatur Editio Benenati in margine, sic legi in aliis Codd. PALMER. Legendum plane Σίμυλῳ. Vide vitam Æschinis ab Incerto conscriptam. Σίμυλος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντός φησι· Ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις ὑποκριταῖς, Σιμύλῳ καὶ Σωκράτει. Harpocr. in voce, et Suidas etiam, et Photius MS. Maussacus ad Harpocrat. plura et disertiora ad hunc locum Auctoris mei commentatur. Adde eruditissimum, et de Græcis literis optime meritum, Albert. ad Hesychium v. Βαρύστονος. TAYLOR. Vid. Var. Lect.

Ὀπωρώνης] Ὀπωροπώλης. τοῦθ' οἱ ἀγοραῖοι λέγουσι, οἱ δὲ πεπαιδευμένοι, ὀπωρώνης, ὡς καὶ Δημοσθένης. Phrynichus. IDEM. ἐλαίας Tayl.

Οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε] Lucianus ἁλιεῖ· Οἱ ἀθλοθέται μαστιγοῦν εἰώθασιν, ἤν τις ὑποκριτὴς Ἀθηνᾶν, ἢ Ποσειδῶνα, ἢ τὸν Δία ὑποδεδυκὼς, μὴ καλῶς ὑποκρίνηται, μηδὲ κατ' ἀξίαν τῶν θεῶν. WOLF. v. 12. ὧν τὰ πολλὰ, et v. 14. ἐξ ὧν, et v. ult. λαγὼ Tayl.

Ἀλλὰ γὰρ παρεὶς ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα] *Verum enimvero, cum hæc mihi prætermittenda esse censeam, quorum paupertas tua deprecari crimen quorundam opinione posset, ad propria jam crimina mentis tuæ, morumque tuorum veniam.* Hic ἀλλὰ γὰρ simpliciter pro *sed enim* ponitur. *Ex edit.* HERVAG.

Λαγὼ βίον κ. τ. λ.] Id est, *leporis vivebas vitam, timens ac tremens, ac semper ex-*

τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν ἐφ᾽ οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι, ἐν οἷς δ᾽ ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ἂν ὑφ᾽ ἁπάντων ὤφθαι. καίτοι ὅστις χιλίων πολιτῶν ἀποθανόντων [1]ἐθάρσησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστι; Πολλὰ τοίνυν ἕτερ᾽ εἰπεῖν ἔχων περὶ αὐτοῦ [2]παραλείπω· οὐ γὰρ ὅσ᾽ ἂν δείξαιμι προσόντ᾽ αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ᾽ οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ᾽ ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί. 315

π΄. [3]Ἐξέτασον τοίνυν παράλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα, πρᾴως καὶ μὴ πικρῶς, Αἰσχίνη· εἶτ᾽ [4]ἐρώτησον τουτουσί, τὴν [5]ποτέρου τύχην ἂν ἕλοιθ᾽ ἕκαστος [6]αὐτῶν. Ἐδίδασκες γράμματα, ἐγὼ δ᾽ ἐφοίτων. ἐτέλεις, ἐγὼ δ᾽ ἐτελούμην. ἐχόρευες, ἐγὼ δ᾽ ἐχορήγουν. ἐγραμμάτευες, ἐγὼ δ᾽ ἐκκλησίαζον. ἐτριταγωνίστεις, ἐγὼ δ᾽ ἐθεώρουν. ἐξέπιπτες, ἐγὼ δ᾽ ἐσύριττον. ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δ᾽ ὑπὲρ τῆς πατρίδος. ἐῶ τἆλλα· ἀλλὰ νυνὶ τήμερον ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδ᾽ ὁτιοῦν ἀδικεῖν ἀνωμολόγημαι· σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει, κινδυνεύεις δ᾽ εἴτ᾽ ἔτι δεῖ σε τοῦτο ποιεῖν, εἴτ᾽ ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. Ἀγαθῇ γε, οὐχ ὁρᾷς; τύχῃ συμβεβιωκὼς τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς. Φέρε δὴ καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ πάσας. Παραναγνῶθι δ᾽ ἡμῖν καὶ σὺ τὰς ῥήσεις, ἃς

[1] † ἐθάῤῥησε [2] † παραλείψω [3] * ἐξετάσωμεν [4] * ἐρωτήσωμεν
[5] † ὁποτέρου † [6] αὐτῶν

pectans ut vapulares. Proverbium est, de quo Eras. IDEM.

Ἐφ᾽ οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι] Ob conscientiam scelerum. Dicunt enim *σύνοιδα ἐμαυτῷ ἀπαιδεύτῳ ὄντι.* quod Fab. imitatus est in tertio de instit. or. " sed non sustineo esse conscius mihi dissimulanti." IDEM.

Ἠτύχησαν] F. *εὐτύχησαν οἱ ἄλλοι*, Philippus scil. vel alii Reip. inimici. Nam hoc opponi videtur istis *εὐτυχούσης τῆς πατρίδος.* Eodem modo, §. ς΄. in *fin.* *ἀτυχησάντων τῶν Ἑλλήνων, εὐτύχησεν ἕτερος.* MARKLAND.

π΄. Ἐξέτασον — ἐρώτησον] Reiske ex conj. *ἐξετάσωμεν — ἐρωτήσωμεν*, quod vel adverbia *πρᾴως καὶ μὴ πικρῶς* non patiuntur. WUNDERL.

Ἐδίδασκες κ. τ. λ.] Laudant Demetrius Phalereus §. 262. Hermog. cap. περὶ Ἀντιθέτου, pag. Edit. Crispin. 420. et Harpocrat. v. Ἀντίθεσις. TAYLOR.

Ἐξέπιπτες] *Explodebaris.* ἐξέπιπτε ἀντὶ τοῦ ἐκβάλλομαι, *ejicior, expellor.* Idem alibi, *ἀντὶ δὲ τῶν ἔργων τούτων ὑπὸ τῶν Λακεδαιμονίων ἐξέπεσον, ejecti sunt. Ex edit.* HERVAG. v. 19. δεῖ σε ἔτι, et v. 21. ἀγ. δὲ Tayl.

Εἴτ᾽ ἤδη πεπαῦσθαι] S. *τοῦ συκοφαντεῖν.* Mulctam fuisse 500 drachmarum (etsi alibi 1000 fere scribuntur) cum diminutione capitis, apparet, si accusator quintam suffragiorum partem non tulisset. Unde et Cicero Æschinem propter ignominiam judicii cessisse Athenis tradit. Nam cum se quinque talentis prædium Rhodi emisse scribat, tantillam pecuniam facile solvisset. WOLF.

Παραναγνῶθι] Vide notata ad §. ς΄. TAYL.

ἐλυμήνω, ἥκω λιπὼν κευθμῶνα καὶ σκότου πύλας καὶ κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με, καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοί, ἔπειτα δ' οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα πολίτην καὶ προδότην καὶ τριταγωνιστήν. Λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

πα'. Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν [1] τοιοῦτος· ἐν δὲ
316 τοῖς ἰδίοις εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος [2] καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμι οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισι [3] θυγατέρας συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν. Καὶ γὰρ οὕτω πως ὑπείληφα. ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δ' εὖ ποιήσαντα εὐθὺς [4] ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ [5] σμικροψύχου ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν [6] σμικροῦ δεῖν ὅμοιόν ἐστι

[1] τοιοῦτος * ἐγώ· [2] καὶ πᾶσι τοῖς [3] θυγατέρας ἀπορούσι συνεξέδωκα [4] ἐπιλελῆσθαι αὐτῶν, εἰ [5] † μικροψύχου [6] † μικροῦ

Ἐλυμαίνου] [Ita Tayl.] Ἐλυμήνω Chorus ille MStorum tam pulcre concinentium, Guelph. Aug. Vindob. et Reg. a. Ita infra, §. 95. πάντα ταῦτα ἅμα ἐλυμήνατε. Et §. 97. fin. ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον. IDEM. v. 2. κάκ' ἀγγελεῖν Tayl.

Ἥκω κ. τ. λ.] In principio Hecub. Euripid.

Ἥκω νεκρῶν κευθμῶνα, καὶ σκότου πύλας
Λιπών.

Cod. Harl. Ἥκων ἱερὸν κευθμῶνα. Et λιπὼν habet in margine. Senarius, qui sequitur, Tragici est cujusdam, cujus locus mihi festinanti non occurrit. TAYLOR.

Κακὸν κακῶς] Hunc versum abrumpit, et de suo attexit σὲ μάλιστα μὲν etc. ut apud Aristophanem uno dicente: Ὁ Τιμοθέου τε πυργός, alter interrumpens ait: ἐμπέσοι γέ σοι. WOLF. Initium est Versus ex aliqua Tragœdia quam Æschines agere solebat. Sed eum abrumpit Demosthenes, et παρὰ προσδοκίαν in execrationem ipsius Æschinis transfert et convertit. MARKL.

Καὶ τριταγωνιστὴν] Notandum δευτεραγωνιστὰς, scenicos, sive histriones dictos, qui secundas partes agebant, τριταγωνιστὰς vero, qui tertias et ultimas. id quod probrose Demosth. Æschini objicit. Utraque vero hac voce, et verbo etiam τριταγωνιστεῖν, καὶ δευτεραγωνιστεῖν alibi utitur, ut in Oratione περὶ παραπρεσβ. Et in hac περὶ στεφ. ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν. Ex edit. HERVAG.

πα'. Κοινὸς] Conf. Fischer. indic. ad Theophr. h. v. et ad Corn. Nep. I. 8. 4. HARL.

Ἐγὼ] L. καὶ γὰρ οὕτω πως ὑπείληφα ἐγώ. Νομίζω κ. τ. λ. MARKLAND.

Τὸν δὲ ποιήσαντα] [Ita Tayl.] In antiquo τὸν δὲ εὖ ποιήσαντα: ut totum sic legatur: ἐγὼ νομίζω, τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον· τὸν δὲ εὖ ποιήσαντα, εὐθὺς ἐπιλελῆσθαι. OBSOPŒUS. Tota hæc periodus ita citatur in aureolo libello Hermogenis π. μεθόδ. δεινότ. pag. 411. Ἐν δὲ τοῖς ἰδίοις εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς, καὶ φιλάνθρωπος, πᾶσι τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ, καὶ οὐδὲν ἂν εἴποιμι, οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτε εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτε εἴ τισι θυγατέρας ἀπορούσι συνεξέδωκα—ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι παρὰ πάντα τὸν χρόνον, τὸν δὲ εὖ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν, χρηστοῦ, τὸν δὲ, μὴ μικροψύχου, ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ἀναμιμνήσκειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. TAYL. Vid. Var. Lect.

Ὅμοιόν ἐστι τῷ ὀνειδίζειν] Quisquamne

τῷ ὀνειδίζειν. Οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαχθήσομαι, ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.

πβ'. Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι [1] σμικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. Εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων ὅςτις ἀθῷος τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ σοι τὴν ἐμὴν εἴτε τύχην εἴτε δυςτυχίαν ὀνομάζειν βούλει πάντων αἰτίαν γεγενῆσθαι. εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμὲ μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρα ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει τούτων αἰτίαν [2] ἡγεῖσθαι; Σὺ τοίνυν [3] ταῦτ' ἀφεὶς ἐμὲ τὸν παρὰ τουτοισὶ πεπολιτευμένον αἰτιᾷ, καὶ ταῦτ' εἰδὼς ὅτι, καὶ [4] εἰ μὴ τὸ 317
ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλαςφημίας ἅπασι καὶ [5] μάλιστα σοί. εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ ὢν περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτιᾶσθαι· εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ἀεί, ἐν κοινῷ δὲ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ' ἐδόκει τότ' ἄριστα εἶναι καὶ

[1] † μικρὰ [2] ἡγεῖσθαι· [3] ταὐτ' [4] εἰ μὴ καὶ [5] † μάλιστά σοι

est, cui non statim in mentem subit simile Effatum Terentianum? Vide Victor. II. Var. Lect. 8. Taylor. Andria, Act. i. Sc. 1. ver. 16.

———*Istæc commemoratio*
Quasi exprobratio est immemoris beneficii.
Stock.

πβ'. Εἰπεῖν] Postquam satis exagitavit privatam Æschinis fortunam, suum peccatum in prœlio commissum pæne reticens, convincere studet Athenienses, fatum quoddam, omnibus tunc gentibus invisum, acerbum et perniciosum, res Philippi et Alexandri temperasse, et, ut his omnia ex votis fluerent, effecisse. Tum e naturæ et civitatum legibus, quænam culpa cuidam possit imputari, prosse et artificiose docet. Hic videbis orationis colorem et umbram. Harl.

Ἀθῷος τῆς Φιλίππου—δυναστείας] Ἀντὶ τοῦ, μὴ βλαβεὶς ὑπὸ ταύτης. Wolf.

Ἀλλὰ καὶ πόλεις] Malim, ἀλλὰ καὶ κατὰ πόλεις ὅλας καὶ ἔθνη. Quantum intersit inter πόλεις et ἔθνη, docebit Valesius ad Harpocrat. pag. 51. Taylor.

Πολιτευόμενον] [Ita Tayl.] Πεπολιτευμένον rectius, uti Guelph. Ital. et Regii α. ζ. ι. κ. Accedunt, et vel inhonesta scriptura ostendunt, idem olim obtinuisse in membranis, unde describebantur, MSti Ven. et Vindob. Ille enim πολιτεύμενον: Hic πεπολιτευόμενον. Vide supra, ad §. 78. et 99. Idem.

Καὶ ταῦτα εἰδὼς ὅτι, καὶ εἰ μὴ ὅλον, μέρος γε ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ μάλιστα σοί] *Præsertim cum scias hujus tuæ maledicentiæ, si non summam, saltem partem quandam ad universos pertinere, ad te quoque in primis.* Quod dixit μέρος γε, Cicero diceret, *partem certe quandam. Ex edit.* Hervag.

[1]μάλιστα σοί,—οὐ γὰρ ἐπ᾽ εὐνοίᾳ γ᾽ ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ ζήλου καὶ τιμῶν, ἃ πάντα προςῆν τοῖς τότε πραττομένοις ὑπ᾽ ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον—, πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς τούτοις νῦν ἐγκαλῶν, ὧν τότ᾽ οὐκ εἶχες λέγειν βελτίω;

πγ´. Παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ᾽ ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα [2]πως τὰ τοιαῦτα. ἀδικεῖ τις ἑκών; ὀργὴ καὶ τιμωρία κατ᾽ αὐτοῦ. ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτ᾽ ἀδικῶν τις οὔτ᾽ ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δούς, οὐ κατώρθωσε μεθ᾽ ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι. φανήσεται τοίνυν ταῦτα πάντα οὕτως οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι [3]διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥςτε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ᾽ ἐμοῦ κατηγορεῖ.

πδ´. Καὶ πρὸς τοῖς ἄλλοις, ὥςπερ αὐτὸς ἁπλῶς καὶ μετ᾽ εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ
318 τηρεῖν ἐκέλευεν, ὅπως μὴ [4]παρακρούσομαι μηδ᾽ ἐξαπατήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ᾽ ὀνο-

[1] † μάλιστά σοι [2] * οὕτω πως [3] * διωρικέναι [4] † παρακρούσωμαι

Πῶς οὐκ ἀδικεῖς, καὶ δεινὰ ποιεῖς, &c.] Id est, *Nonne tu improbus es?* Ita enim Græci per hanc particulam quibusdam interrogationibus utuntur, quæ non perinde Latinis usitatæ sunt. Idem, πῶς οὐκ αἰσχρὸν ὦ ἄνδρες Ἀθηναῖοι. Et rursus, πῶς καὶ οὔ; *quis enim inficias ire potest?* Plinius in epistolis: *Constanter inquis, et fortiter, quid ni?* εὐσταθμῶς φαίης ἂν σύγε καὶ ἀνδρείως, πῶς γὰρ οὔ: Horat. *Qui nescit versus, tamen audet fingere, quid ni?* Idem Demosthen. supra in hac eadem, οὐκ ἀπορῶν. πῶς γάρ; *qui enim fieri posset?* Idem.

πγ´. Ὀργὴ κ. τ. λ.] Ὀργὴν—τιμωρίαν—συγγνώμην in quarto casu, (sc. ὁρῶ διωρισμένα καὶ τεταγμένα ταῦτα) MSS. Guelph. Aug. Vindob. Taylor.

Νομίμοις] [Ita Tayl.] νόμοις Obsop. Ital. Lind. Altemps. Ven. et Reg. s. V. annotata ad Dem. π. Παραπρεσβ. §. ξζ´. Idem.

Ἀγράφοις νομίμοις] Eodem etiam nomine *Leges Naturales*, non scriptas eas quidem, sed cordibus hominum insculptas, appellavit Sophocles, nobilissima ea, quam Antigonæ suæ tribuit, sententia: v. 453.

Οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
Κηρύγμαθ᾽, ὥστ᾽ ἄγραπτα κἀσφαλῆ θεῶν
Νόμιμα δύνασθαι θνητὸν ὄνθ᾽ ὑπερδραμεῖν.
Stock.

πδ´. Παρακρούσομαι] Ex conj. ita mutavi, legem secutus illam, cui etiam Wolfius ad Lept. §. 34. subscripsit. Infra §. ρ´. in fin. ὅπως—διαμενεῖ—τηρεῖν, et §. ϛδ´. in fin. Codd. auctoritas idem postulabat. V. παρακρούσωμαι. Wunderl.

Δεινὸν καὶ γόητα] Exclusa Conjunctione, H. Steph. Thes. I. col. 859. legere mavult δεινὸν γόητα. Idque confirmat ex Platonis Symposio, ubi scribitur δεινὸς γόης, καὶ φαρμακεὺς, καὶ σοφιστής. Taylor. Timæus: Γόητες, οἱ ἀπατεῶνες, ubi vide pag. 53. Ruhnken; quo etiam ob-

μάζων· ὡς ἐὰν πρότερός τις [1] εἴπῃ τὰ προςόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προςεῖναι. Κἀκεῖνο δ' εὖ οἶδ' ὅτι τὴν ἐμὴν δεινότητα—ἔστω γάρ. καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον μέρος κυρίους ὄντας· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν. εἰ δ' οὖν ἔστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν οὐδ' ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον, οὐ [2] μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον ἢ [3] παρέκρουσέ που, κατὰ τούτων. οὐ γὰρ [4] αὕτῃ δικαίως οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει χρῆται. οὔτε γὰρ τὴν ὀργὴν οὔτε τὴν ἔχθραν οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰςεληλυθότας δικαστὰς ἀξιοῦν [5] αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰςιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πρᾴως καὶ μετρίως διακείμενα ἔχειν.

πέ. Ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; Ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστί [6] τι τῷ δήμῳ, ἐν τού-

1 † εἴποι   2 μόνον * ἐν τῷ   3 † προσέκρουσέ   4 † αὐτῇ   5 † αὐτῷ   6 [τι]

servante, locus Platonis exstat pag. 328. B. Idem ablegat lectores ad I. A. Fabricium ad Dion. Cass. libr. LII. pag. 688. Harl.

Εἴπῃ] Ex Codd. pro vulg. εἴποι, ne ἐὰν cum optativo junctum reperiretur, scribendum curavi, flagitante illud et Hermanno ad Viger. p. 516. et 787.—At in Homeri Odyss. N. 415. nuperrime ἦν που ἔτ' εἴῃς pro vulgari εἴπου, præcedente præterito, edidit Wolfius. Wunderl.

Ἀλλὰ καὶ εἴ τις κ. τ. λ.] Hic lego et distinguo: ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον, ἢ προσέκρουσέ που, κατὰ τοῦτον: *sed etiam si quis vir ipsi in aliqua re molestus fuit, et cum eo alicubi offendit, contra eum virum ipsius eloquentia usurpatur.* Auger.

Προσέκρουσε κατὰ τούτων] Τῶν ἐχθρῶν τῆς πόλεως. Wolf.

Ἀνάγκη] L. μάλιστα μὲν μὴ ἔχειν—εἰ δ' ἄρα ἂν ἔχῃ. Markland.

Διακείμενα] Pro vulg. διακείμενον [ita Tayl.] reposui. Præcepta autem dat aurea orator, quibus animum suum ingenuum, ab omnique ira alienum auditoribus commendare, et, quæ antea acerbe dixisse videretur, scite lenire, adversarii e contrario auctoritatem callide minuere studuit. Neque tamen in hoc argumento nugax est, satis aculeorum in animis auditorum relicturum se arbitratus. conf. Longin. π. ὕ. sect. 12. p. 127. ed. Heinecken. Harl.

πέ. Ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει] *Cum ab aliquo periculum impendet, quæ ad summam rerum pertinent.* Ita enim κινδυνεύομαι dicitur, ut κινδυνεύω, non eadem tamen significatione. Idem, [π. Παραπρεσβ. §. ᵹ. in fin.] δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. *Ex edit.* Hervag.

Ἐν οἷς κ. τ. λ.] Constructio, opinor,

τοις· ταῦτα γάρ ἐστι γενναίου καὶ ἀγαθοῦ πολίτου. μηδενὸς
319 δ' ἀδικήματος πώποτε δημοσίου, προςθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ, μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὑτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν νῦν ἥκειν συνεσκευασμένον καὶ τοσουτουσὶ λόγους [1]ἀναλωκέναι, ἰδίας [2]ἔχθρας καὶ φθόνου καὶ σμικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμαυτὸν ἀγῶνας ἐάσαντα νῦν ἐπὶ τόνδ' ἥκειν καὶ πᾶσαν ἔχει κακίαν.

πς'. Καὶ ἔμοιγε δοκεῖς Αἰσχίνη [3]ἐκ τούτων τῶν λόγων, ἐπίδειξίν τινα φωνασκίας βουλόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιος οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς καὶ τὸ τοὺς αὐτοὺς καὶ μισεῖν καὶ φιλεῖν, οὕςπερ ἂν ἡ πατρίς. ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ· ὁ δ' ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προςδοκίαν. ἀλλ', ὁρᾷς; ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ' εἱλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι. Ἆρ' οὖν οὐδὲ σύ; Καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεςβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθεν χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασι.

πζ'. Καίτοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ

[1] † ἀνηλωκέναι [2] ἔχθρας * ἕνεκα, φθόνου καὶ † μικροψυχίας [3] † ἐκ τούτων Αἰσχίνη

est: Καὶ ἐν οἷς ἐστί τι πρὸς τοὺς ἐναντίους τῷ δήμῳ, cumque aliquid habet adversus inimicos Status Popularis. Hujusmodi Συγχύσεις in Demosthene sæpe occurrunt. Markl.

Ἐστί τι] Particulam τὶ, quæ abesse nequit, cum tres Codd. eum omittant, seclusit Reiske. Wunderl.

Τόνδ'] Hunc Ctesiphontem aggredi. Harl.

Πᾶσαν] Reiske ex uno Codd. καὶ πᾶσαν. Sed particula καὶ, quidquid ille disserit, hoc loco sensu caret. Wunderl.

πς'. Φωνασκίας] Φωνῆς ἀσκήσεως Cod. Obsop. Glossa est procul dubio. Id quod confirmat Ulpianus. Taylor.

Τοὺς αὐτοὺς] De eo proverbio consule Apostol. XV. 28. qui hunc locum citat. Similiter Harpocratio et Suidas, v. Οὐκ ἐπὶ τῆς κ. τ. λ. Subintelligitur, aiunt, ἀγκύρας. Idem. Vid. Var. Lect.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς] Id est, *non eadem ancora nititur qua vulgus hominum.* significans illum novis, minimeque vulgaribus præsidiis niti. Suid. admonet esse proverbium, et subaudiendum *ancoram*. Eras. Vide Proverbium, *Duabus ancoris fultus.* Item, *Non vulgari ancora.* Ex *edit.* Hervag. v. 1. deest ἐστὶ, et. v. 8. ἐμὲ αὐτὸν et ἐπὶ. πᾶσαν, et v. 19. εὐνοῶν in ed. Tayl.

λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κῆρυξ [1]καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' 320
ἀνδρὸς ῥήτορος ἢ εἰ μὴ ταὐτὰ καὶ φρονεῖ καὶ λέγει; Σὺ τοίνυν οὗτος εὑρέθης. Εἶτα σὺ [2]φθέγγει καὶ βλέπειν εἰς τὰ τουτωνὶ πρόσωπα τολμᾷς; πότερ' οὐχ [3]ἡγεῖ γιγνώσκειν αὐτοὺς ὅστις εἶ, ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν, ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους, οὓς ἐδημηγόρεις ἐν τῷ [4]πολέμῳ καταρώμενος καὶ διομνύμενος, μηδὲν [5]εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ' ἔχθρας, οὐκ οὖσαν ἀληθῆ. ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα· ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας ξένος ἢ φίλος ἢ γνώριμος ἦν Φίλιππος; Ἐγὼ μὲν οὐχ ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. Ἀλλ' ὅμως οὕτω φανερῶς [6]αὐτοῖς εἰλημμένος προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι γεγονώς, ἐμοὶ [7]λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις ἢ ἐμέ.

ϖή. Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις Αἰσχίνη

[1] καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν δικαίως [2] † φθέγγῃ [3] † ἡγῇ γινώσκειν
[4] † πολέμῳ] δήμῳ [5] † εἶναί σοι [6] * αὐτὸς σαυτοῦ εἰλημμένος [7] † λοιδορῇ

Ἢ μὴ τ. κ. φρονεῖν κ. λέγειν] [Ita Tayl.] Εἰ (vel ἢ εἰ) μὴ ταὐτὰ καὶ φρονεῖ καὶ λέγει Editio Benen. Ven. Harl. ταῦτα ἃ Cod. Regius primus: Tandem præstantissimus Vindob. εἰ μὴ ταῦτα, ἃ φρονεῖ καὶ λέγει. Taylor. v. 1. τῳ Tayl.

Τοιοῦτος] [Ita Tayl.] Reposui. Reiske οὗτος intulit, quod pro τοιοῦτος dictum esse, non facile mihi persuadebit. Wunderl.

Τουτωνὶ] Δεικτικῶς, ut sæpius per totam hanc Orationem: sc. *hos*, qui adsunt, qui de hac causa sunt judicaturi, τοὺς δικαστάς. Infra §. 93. Erravit Ulpianus, sive potius, qui Ulpianum descripsit; τουτωνὶ] τῶν δυναστῶν. Repone δικαστῶν. Taylor.

Ἐν τῷ δήμῳ] Ἐν τῷ πολέμῳ. Consentiunt, qui consentire solent, Guelph. Aug. Vindob. et Reg. α. in ea lectione. Quæ, tametsi non placuerit Simoni Fabricio, est tamen observanda. *durante bello.* Credo sane esse amplectendam. Idem.

Μηδὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα] Id est, nihil te Philippi gratia dicere, cum quo nihil esset negotii, a quo nihil sperares. dicitur et οὐδέν ἐστί μοι πρᾶγμα πρός σε, *nihil est mihi tecum negotii.* Idem, ὥστε πρὸς οὓς μηδέν ἐστί σοι πρᾶγμα λυπεῖσθαι, &c. *Ex edit.* Hervag.

Μισθαρνίᾳ—μετατιθέμενος] Τὴν μισθαρνίαν, φιλίαν, καὶ ξενίαν, ψευδωνύμως καλῶν. Wolf.

Οὕτω φανερῶς αὐτοῖς εἰλημμένος] Ὑπὸ τῶν Ἀθηναίων ἐξελεγχθεὶς, ὅτι προδότης εἶ. Idem.

Αὐτοῖς] Αὐτός. Markl. Vid. Var. Lect.

Συμβᾶσι] Haud scio an præfer. sit scriptura Aug. quart. συμβεβηκόσι; agitur de rebus, quæ peractæ exstant. Ita §. 44. quam diligenter Dem. discrimen aoristi et perfecti servet, et alia complura loca docent et Mid. §. 17. οὗτος ἀστρατείας ἑάλω, καὶ κεχρῆται συμφορᾷ. Wunderl.

καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε. Σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα οὐ σὲ ἐχειροτόνησε [1]προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν
321 οὐδένα, ἀλλ' ἐμέ. καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί! [2]καὶ κατηγορούντων ἐμοῦ ταὐτὰ ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησεν ἐμέ. Τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι κἀγώ. Ἀμφότερ' ᾔδεσαν οὗτοι, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ γὰρ [3]εὐθηνούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις ὡμολογήσατε. τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσαντο [4]αὐτοῖς γεγενῆσθαι. Εἶτα καὶ προσήκειν ὑπελάμβανον τὸν ἐροῦντα [5]τότ' ἐπὶ τοῖς τετελευτηκόσι καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα μήθ' ὁμωρόφιον μήθ' ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιανίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρ' ὑμῖν δ' οὔ. [6]Διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, καὶ

[1] προβληθέντα, οὐ σὲ, καίπερ [2] [καὶ] [3] εὐθενούντων
[4] † αὐτοῖς [5] Deest τότ'. [6] διαταῦτ'

πή. Ἡγήμονα] Ἡγήμων. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Εἷς δὲ ἦν τῶν Μακεδονιζόντων, καὶ τῶν ἐπὶ δωροδοκίᾳ διαβεβλημένων. Harpocrat. Adde Suidam in v. Etymol. M. TAYLOR. v. 8. ταῦτα Tayl.

Ἔτι ἄμεινον] F. ἔτι μᾶλλον. WOLF. μᾶλλον, vel ἀσμενέστερον. MARKL.

Εὐθηνούντων] Meliores cum Wolfio. Edebatur semper εὐθενούντων. Supra §. ξς'. *post med.* TAYLOR.

Ὁμωρόφιον] Proprie *eum, qui sub eodem tecto habitat.* Hesych. tom. II. col. 759. ὁμωρόφιος καὶ ὁμότροφος· ὁ ὑπὸ τῇ αὐτῇ στέγῃ ὑπάρχων. vide etiam Alberti ad Hesychium voc. ὁμόροφος. HARL.

Γεγενημένον εἶναι] i. e. γεγενῆσθαι. Sed noluit ea voce uti, quia paulo ante dixerat γεγενῆσθαι. MARKLAND.

Παραταξαμένοις] Τάξις, τάσσομαι, et ita quoque compositum παρατάσσομαι, proprie usurpantur de re militari, de acie, et militibus in aciem productis suoque collocatis ordine. vide Krebs. Obss. in. N. T. e Josepho pag. 222. Hinc παρατάττομαι, *ex adverso aciem instruo, me oppono, resisto.* Isocrates Paneg. cap. 26. pag. 68. ἐπειδὴ γὰρ οὐχ οἷοί τ' ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις. ubi v. Morum. Ælian. V. H. IV. 8. 11. παρατάξασθαι ὀλίγαις τριήρεσι πρὸς πολλὰς, *resistere paucis triremibus adversus multas.* HARL.

Ἐλθόντας τιμ. καὶ μηδὲ τ. φ. δ. ὑποκρινομένους] Ita Tayl. et v. ult. δ' ὑμῖν οὔ. V. Var. Lect.

οὐχ ὑμᾶς. Καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετε-
λευτηκότων πατέρες καὶ ἀδελφοί, ὑπὸ τοῦ δήμου [1] τόθ'
αἱρεθέντες ἐπὶ τὰς ταφάς, ἄλλως πως, ἀλλὰ δέον ποιεῖν
αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετε-
λευτηκότων, ὥσπερ τἄλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίη-
σαν παρ' ἐμοί· Εἰκότως. γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ
μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω· ᾧ
γὰρ τὸ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέ- 322
φερεν, οὗτος καὶ παθόντων, ἃ μή ποτ' ὤφελον, τῆς ὑπὲρ
ἁπάντων λύπης πλεῖστον μετεῖχε. Λέγε δ' αὐτῷ τουτὶ
τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλετο ἡ πόλις αὐτοῖς ἐπι-
γράψαι· ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν
ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. Λέγε.

πθ'. ## ΕΠΙΓΡΑΜΜΑ.

Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
 Ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
Μαρνάμενοι δ' ἀρετῆς καὶ [2] δείματος οὐκ ἐσάωσαν
 Ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βράβην,

[1] Deest τόθ'.

[2] λήματος

Δέον ποιεῖν αὐτοὺς] Addit Cod. Vindob. post αὐτοὺς hæc verba, scil. τὸ ἐπὶ τοῖς ἀποθανοῦσι ἑστίας γινόμενον περίδειπνον. Doctissimo Domin. Bricherio Colombo, qui eas membranas contulit, genuina non videntur esse Demosthenis, verum eleganter adjecta. Simile fere adjectum in Guelph. et in Regiorum nonnullis, ut liquet ex margine Benenati. Nemo dubitat, hæc fuisse quondam scholiolum τοῦ, περίδειπνον. Immo confirmo id necessario fuisse, licet inemendate repræsententur Verba: Etym. M. 699. 43. Περίδειπνον] ἡ ἐπὶ τοῖς ἀποθανοῦσι γενομένη ἑστίασις. Taylor.

Τἄλλ'] Vel ταῦτ'. Markland.

Ἐμοῦ] *Quam mihi* Wolfius. Inscite. Melius multo Etruscus: *Percioche di sangue l' uno all' altro atteneva* ben piu di me. Taylor. v. 10. τοῦτο Tayl.

Διέφερεν] A scholiaste redditur κέρδος ἦν. Conf. Koppiers. Observata philolog. Lugd. Bat. 1771. 8. p. 11. Harl.

πθ'. Δῆριν] Μάχην. Wolf.

Ἀπεσκέδασαν] Ὅσον ἐγένετο ἐπ' αὐτοῖς. προυθυμήθησαν μὲν γὰρ τοῦτό γε, οὐχὶ δὲ καὶ ἠδυνήθησαν. Idem.

Μαρνάμενοι—δείματος] S. ἕνεκα. Διὰ τό, τὴν μὲν ἰδίαν ἀρετὴν διαφυλάξαι, δεῖμα δὲ τοῖς πολεμίοις ἐμποιῆσαι. Sed, quid si ἀρετῇ καὶ δείματι legas? Aut subintelligas, μετ' ἀρετῆς καὶ δείματος? M. Æmilio Lepido Cos. apud Sallustium potior visa est periculosa libertas quieto servitio. Idem.

Μαρνάμενοι] Ad verbum,

Virtutis atque timoris ergo decertantes,
 non servarunt
Animas, sed Orcum communem fecerunt
 arbitrum certaminis, vel potius,
 commune præmium certaminis:

nam τὸ βράβην ἀντὶ τοῦ βραβεῖον, non βραβευτὴν, sumi monet Scholiastes. Stock.

Δείματος] F. δείγματος. Markland.

Δείματος] Φόβου, οὐ εἶχον ὑπὲρ τῆς πατρίδος. σχ. Eruditissimus longe Valckenaerius ad Ammonium II. Animadv. 15. legit:

Μαρνάμενοι δ' ἀρετῆς καὶ λήματος.— Taylor.

Δείματος] Valckenaerii et Reiskii judicio subscripsi, et λήματος pro vulg. δείματος dedi. Sed haud alienum erit, Wunderlichii notam h. l. repetere. Ille autem, "nemo, ait, dixit nec dicere potuit μάρνασθαι ἀρετῆς. Nec supplemento præp. ἕνεκα quidquam proficitur, in quo interpretes nimis diu acquieverunt. Vide, an scribendum sit ἀρετῇ καὶ λήματι. Si quem dativus tertiæ declinationis, hiatum faciens, male habet, adeat Hermannum ad

Οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
Δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
Γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
Σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν
Ἐν βιοτῇ, μοῖραν δ' οὔτι φυγεῖν [1] ἔπορεν.

Ἀκούεις, Αἰσχίνη, [2] καὶ ἐν αὐτῷ τούτῳ, ὡς τὸ μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν. οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. τί οὖν, ὦ κατάρατε, ἐμοὶ περὶ τούτων [3] λοιδορεῖ καὶ λέγεις, ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν.

ζ'. Πολλὰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, ἓν μάλιστ' ἐθαύμασα ἁπάντων, ὅτι τῶν συμβεβηκότων τότε τῇ πόλει μνησθεὶς οὐχ ὡς ἂν εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν οὐδ' ἔπαθε τοιοῦτον οὐδὲν τῇ ψυχῇ, ἀλλ'

[1] * ἔπορον [2] [καὶ ἐν αὐτῷ τούτῳ] [3] † λοιδορῇ

Orph. p. 730." Hactenus ille. Harl. Vide, ne vitium lateat in μαρνάμενοι. An legendum ἀρνύμενοι? quod de conatu oporteret intelligi. *cum strenuis facinoribus vitam servare cuperent.* Facinora illa pro pretio sunt, quo vita tanquam redimitur: unde genitivi ἀρετῆς καὶ λήματος. Conf. Homer. Od. I. v. 5. seq. et Mnasalc. Epigr. XVI. v. 3. Schaefer.

Οὐκ ἐσάωσαν ψυχὰς] Τὴν ζωήν, τὸ αἴτιον ἀντὶ τοῦ αἰτιατοῦ. Wolf.

Βράβην] Ἀντὶ τοῦ, βραβευτήν. Idem.

Ζυγὸν] Adscribere juvat, quæ Kypke in Obss. in N. T. tom. II. pag. 285. ad Galat. V. 1. scripsit, quoniam idem hunc Demosthenis locum emendaturus est. "Jugum conditionis servilis signum esse, vulgare est. Integræ gentes *jugum subire* dicebantur, quum bello victæ, alienis vivere legibus cogebantur. In epigrammate, monimento eorum, qui ad Chæroneam occubuerant, inscripto, apud Demosthenem de corona pag. 353. ed. Wolfii hi periisse dicuntur οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες, δουλοσύνης στυγερὰν ἄφις (leg. αὖθις, ut puto), ἔχωσιν ὕβριν, *propter Græcos, ne illi, jugo cervici imposito, triste servitutis subeant dedecus.*" ubi tamen ἄφις vitium arbitror esse typographicum. Harl.

Μηδὲν ἁμαρτεῖν] Οὐχὶ τοσοῦτον τὸ πλημμελεῖν, ὅσον τὸ ἀτυχεῖν σημαίνει τὸ ῥῆμα, καίτοι ἄμφω ταῦτα συγγενῆ ὄντα τῇ φύσει ἡμῶν. Τὸν αὐτὸν τρόπον καὶ τὸ κατορθοῦν τῆς τε ψυχῆς ἐστι καὶ τῆς τύχης. Wolf.

Μηδὲν ἁμαρτεῖν κ. τ. λ.] Confer Epist. Libanii MDLIV. et quæ Vir doctissimus, I. Christ. Wolfius, ad eum locum adduxit. Taylor.

Μοῖραν δ' κ. τ. λ.] Significat, vel fatalem fuisse calamitatem, humano consilio et virtute superiorem. Unde illud:

Τύχη, τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.

Vel, cum etiam ignavis moriendum sit, recte hos mortem pro patria oppetiisse. Pindarus [Olymp. A. 129.]

Ὁ μέγας δὲ κίνδυ-
νος ἄναλκιν οὐ φῶ-
τα λαμβάνει. Θανεῖν δ' οἷσιν ἀνάγκα,
Τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
Καθήμενος ἕψοι μάταν, ἁπάντων
Καλῶν ἄμμορος; Wolf.

Ibid. Ita hunc locum distingue, et emenda:

Μηδὲν ἁμαρτεῖν ἐστι θεῶν, καὶ πάντα κατορθοῦν·
Ἐν βιοτῇ μοῖραν δ' οὔτι φυγεῖν ἔπορον.

sc. οἱ θεοί. Vide sequentia. Markland.

Ἔπορεν] Impersonaliter sumitur, *non datur via, non licet.* Auger.

Ἔπορον] Ex Aug. quart. invexi, quod acutissimum Marklandum divinasse, et Iacobsium in Anthol. IV. p. 249. edidisse video. Reiskii conjectura, recepta, ἔπορεν omnia perturbat. Wunderl.

ζ'. Ἀναμνησθεὶς] Ita Tayl. et mox οὐδ. οὐδὲ δίκ., et v. ult. οὐδὲν τοιοῦτ. V. Var. Lect.

ἐπάρας τὴν φωνὴν καὶ γεγηθὼς καὶ λαρυγγίζων ᾤετο μὲν 323
ἐμοῦ κατηγορεῖν δηλονότι, δεῖγμα δ' ἐξέφερε καθ' ἑαυτοῦ,
ὅτι ἐπὶ τοῖς γεγενημένοις ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς
ἄλλοις. Καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φά-
σκοντα φροντίζειν, ὥςπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο
τοῦτό γ' ἔχειν δεῖ, τὸ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαί-
ρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ
τῶν ἐναντίων μέρει τετάχθαι· ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φα-
νερός, ἐμὲ πάντων αἴτιον καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων
ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ
προαιρέσεως ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι βοηθεῖν. ἐπεὶ
ἔμοιγ' εἰ τοῦτο δοθείη [1] παρ' ὑμῶν, τοσαῦτα δι' ἐμὲ ὑμᾶς
ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ,
μείζων ἂν δοθείη δωρεὰ συμπασῶν, ὧν τοῖς ἄλλοις δεδώ-
κατε. ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι· ἀδικοίην γὰρ ἂν
[2] ὑμᾶς· οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγχωρήσαιτε. οὗτος δ'
[3] εἰ δίκαια ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας τὰ
μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν.

λά. Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα
ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; Ὃς
γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί! κατηγορεῖ, τί οὐ-
τος οὐκ ἂν εἴποι; Καίτοι, νὴ τὸν Ἡρακλέα καὶ πάντας
τοὺς θεούς! εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ κατα-
ψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου,
τίνες ὡς ἀληθῶς εἰσὶν οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν
γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες,
τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων εὕροι τις ἄν, 324

[1] [παρ' ὑμῶν] [2] † ὑμᾶς [3] εἰ τὰ δίκαια

Λαρυγγίζων] Λαρυγκίζων Reg. a. Meminit in ea voce hujus loci Harpocratio. Confer Suidam, qui eadem pariter habet, et T. Magistrum, qui huc etiam spectat. Aristoph. Equit. 357.

Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.

Adde etiam σχ. nostrum, et Plin. IV. Ep. 7. Taylor. v. 3. deest ἐπὶ in ed. Tayl.

Τῶν κοινῶν] Quære, an poni debeant post τῶν νόμων supra v. 4. Markland.

Δοθείη] Δωρεὰ addit Reg. a. Proxime deest τοσαῦτα in multis, sc. Guelph. Aug. Harl. Vind. et Reg. a. s. Recte quidem, et pulcre: ἔμοιγ' εἰ τοῦτο δοθείη παρ' ὑμῶν, sc. τὸ δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι—F. δωρεὰ τοιαύτη. Tayl. v. 16. αὐτός τ' Tayl.

Ἐπεὶ ἔμοιγ' κ. τ. λ.] *Quod si mihi a vobis hoc daretur, ut vos mea caussa usque adeo restitissetis imperio, in Græcorum perniciem crescenti.* vel, *quippe si mihi hoc tribueretur.* Ita enim hic verti potest τὸ ἐπεί. Sic Cicero in tertio Tuscul. *Quod si tales nos natura genuisset, ut eam ipsam intueri et perspicere:* et reliqua. ἐπεὶ εἰ οὕτως ὑμᾶς ἡ φύσις ἔφυε. *Ex edit.* Hervag.

λά. Εὕροι τις ἂν] Εὕροιτ' ἂν plurimi: Aug. Vind. Lind. Obsop. Reg. a. s. Similiter legit Dionys. Halic. de Thucyd. judic. §. 54. qui totam fere hanc periodum

οὐχὶ τοὺς ἐμοί· οἳ ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῆ [1]σμικρά, πολλάκις προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαιος· Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, [2]Εὐκαμπίδας· Ἀργείους Μύρτις, [3]Τελέδαμος, Μνασέας· Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος· Μεσσηνίους οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες, Νέων καὶ Θρασύλοχος· Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης· Κορινθίους Δείναρχος, Δημάρατος· Μεγαρέας Πτοιόδωρος, Ἕλιξος, Περίλαος· Θηβαίους Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας· [4]Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος· — ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς [5]αὑτῶν πατρίσιν, ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον

[1] † μικρὰ [2] † Εὐκαλπίδας [3] † Τηλέδαμος [4] † εὐβοίας [5] αὐτῶν

laudat, minima cum discrepantia. Taylor.

Εὕροιτ' ἂν] Pro vulg. εὕροι τις ἂν ex Codd. optimis et plurimis recepi, constructione postulante. Ad audientes convertitur oratio, ut ex verbis εἶγε—δέοι (ὑμᾶς) σκοπεῖσθαι—ἀπελθόντας satis apparet. Wunderl.

Δάοχος] Non necesse est, ut hic ingeminarem horum nominum varietatem, quæ est in MStis. Atque etiam satis est semel monere, unumquodque fere citari in Lexico Rhetorico Harpocrationis. Conjunge Vales. Excerpt. Polyb. p. 90. eundem ad Harpocrat. pagg. 37. 57. 108. et Meurs. VI. Attic. Lect. 30. Vir præstantissimus, Obsopœus, ad locum animadvertit, quanquam hæc *propria* sint nomina, præstare tamen et in his habere lectionem certam et emendatam. Eam itaque curam Variis Lectionibus ad calcem totius Operis assignavi. Taylor.

Εὐκαλπίδας] Pro Εὐκαλπίδας Pausanias in Arcadicis habet Εὐκαμπίδας. Harpocratio vero hunc locum citat in Μύρτις, et legit Μύρτις, Τελέδαμος, Μνασίας, et ait, Theopompum in LI. libro pro Μύρτις et Μνασίας habere Ἀμυρταῖος et Πασίας. Sed forte apud Theopompum male legebatur; nam Ἀμυρταῖος nomen est Ægyptum, Πασίας raro occurrit. Ideo puto legendum cum Harpocratione, una literula immutata, Μύρτις, Τηλέδαμος, Μνασίας. Palmer. Μύρτης Tayl.

Ἄνθρωποι μιαροὶ κ. τ. λ.] Vide Longinum §. 32. Tollium atque eruditissimum Langbænium ad loc. Plin. IX. Epist. 26. Harpocr. v. Ἀλάστωρ, Ἠκρωτηριασμένοι et Προπεπωκότες. Maussac. ad Harpocr. pag. 250. Suid. et Phot. MS. v. Προπίνει. Etym. M. 54. 8. Taylor. Thomas M. v. πίνει. ubi vid. VV. DD. Reisk.

Ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, &c.] De proditoribus patriæ loquens, ἀλάστορες vocat, hoc est, *depopulatores, pestes, et interneciones.* Sic enim dicitur ἀλάστωρ, ut ἀλιτήριος. Athen. lib. 12. Διονύσιος δὲ ὁ Διονυσίου, ἁπάσης γενόμενος Σικελίας ἀλάστωρ, hoc est, *pernicies, pestis, internecio, populator totius Siciliæ.* Sequitur autem, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, id est, *imperii et finium patriæ circumcisores, qui laceram patriam et mutilam flagitiosa proditione reddiderunt.* ἀντὶ τοῦ ἠκρωτηριακότες. Est enim ἀκρωτηριάζειν ἢ ἀκρωτηριάζεσθαι, τὰ ἄκρα τέμνειν. *Ex edit.* Hervag.

Προπεπωκότες] Hoc est, χαριζόμενοι, *gratis concedentes.* Metaphora ex antiquâ

μὲν Φιλίππῳ, νῦν δ' Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὑτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, [1] ἀνατετραφότες.

ϞΒʹ. Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες Ἀθηναῖοι, 325
προδοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων καὶ ἐγὼ παρ' ὑμῖν. Εἶτά μ' ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; Ἐγὼ δή σοι λέγω. ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλπὶς οὔτε φόβος οὔτε χάρις οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν οὐδὲ προηγάγετο, ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι, οὐδ', ὅσα συμβεβούλευκα πώποτε [2] τουτοισί, ὁμοίως ὑμῖν [3] ὥσπερ ἐν τρυτάνῃ ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς τὰ πάντα μοι πέπρακται, καὶ μεγίστων δὴ πραγμάτων τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς πάντα ταῦτα ὑγιῶς καὶ δικαίως καὶ ἁπλῶς πεπολίτευμαι· διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι.

ϞΓʹ. Τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόῤῥω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις

[1] † ἀνατετροφότες [2] † τουτοισὶν [3] ὥσπερ ἂν εἰ ἐν

more translata, quo reges in festis vinum prælibantes, ipsum etiam poculum, cui visum est, porrigentes dono dabant. Suid. Langbæn. ad Longinum, c. 32. qui totum hunc locum laudat. Stock.

ναῖοι, τῶν καιρῶν, ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ, χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν, δέδοικα μή τινα λήθην, ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν [1] ἐμπεποιήκει. ὡς δή μοι [2] δοκοῖτ᾽ ἂν ὅμως ἐκ τούτων καὶ γνῶναι τὰ δίκαια καὶ δικάσαι νυνὶ, [3] τοῦθ᾽ ὑμῖν λέξω. εἰ σκέψαισθε παρ᾽ ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταὶ, καὶ λογίσαισθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. πρῶτον μὲν τοίνυν, ὧν ἀπήγγειλε· δεύτερον δὲ, ὧν ἔπεισε· τρίτον δὲ, ὧν προσετάξατε αὐτῷ· μετὰ ταῦτα δὲ, τῶν χρόνων· ἐφ᾽ ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως ἢ μὴ πάντα [4] ταῦτα πέπρακται. τί δή ποτε [5] τούτων; ὅτι ἐκ μὲν τῶν ἀπαγγελιῶν, τὸ βουλεύσασθαι περὶ τῶν πραγμάτων ὀρθῶς, ὑμῖν ἐστίν· ἂν μὲν οὖν ὦσιν ἀληθεῖς, τὰ δέοντα ἔγνωτε, ἂν δὲ μὴ τοιαῦται, τἀναντία. τὰς δὲ συμβουλίας πιστοτέρας ὑπολαμβάνετ᾽ εἶναι τὰς τῶν πρέσβεων· ὡς γὰρ εἰδότων περὶ ὧν [6] ἐπέμφθησαν, ἀκούετε. οὐδὲν οὖν ἐξελέγχεσθαι δίκαιός ἐστιν ὁ πρεσβευτὴς φαῦλον οὐδὲ ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. καὶ μὴν, περὶ ὧν γε προσετάξατε εἰπεῖν, ἢ πρᾶξαι, καὶ διαῤῥήδην ἐψηφίσασθε ποιῆσαι, προσήκει διῳκηκέναι. εἶεν. τῶν δὲ δὴ χρόνων διατί; ὅτι
πολλάκις, ὦ ἄνδρες Ἀθηναῖοι, συμβαίνει πολλῶν πραγμά- 343
των καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίγνεσθαι· ὃν ἐὰν τις ἑκὼν καθυφῇ τοῖς ἐναντίοις, καὶ προδῷ, οὐδ᾽ ἂν

[1] ἐμπεποιήκῃ [2] δοκεῖτ᾽ [3] ταῦθ᾽ [4] ταῦτα πάντα
[5] τούτων ἑκάστου; [6] ἐξεπέμφθησαν

Ἐμπεποιήκει] F. ἐμπεποίηκεν. MARKLAND. Et Lambinus quoque. TAYLOR.

Ἐκ τούτων] *Rebus ita se habentibus, quamvis res ita se habent.* AUGER.

Σκέψαισθε] Vid. Var. Lect.

Τὰς δὲ *συμβουλίας* κ. τ. λ.] Secundum jam hoc caput, et respondet superioribus, δεύτερον, ὧν ἔπεισε, v. 8. Quod non animadvertens Wolfius inficete perquam vertit: *legatorum* enim *consilia veriora esse putatis.* TAYLOR.

Προσήκει διῳκηκέναι] Post hæc verba Ratio tertiæ hujus Propositionis reddi debuit, quemadmodum in cæteris quatuor factum est. Sed hæc incuria Scribæ excidit. MARKLAND. Neque quinque ista membra, (Vid. v. 8. et sqq.) in quæ dividitur Criminatio Demosthenis, satis recte aut accurate recensentur a Quintiliano IV. 4. his verbis: *Singula ex pluribus colliguntur: ut cum Legatio male gesta objicitur Æschini, quod mentitus sit, quod nihil ex mandatis fecerit, quod moratus sit, quod munera acceperit.* TAYLOR.

Εἶεν. τῶν δὲ δὴ χρόνων] Age illa concessa sint, age jam veniamus ad temporum rationem, quæramusque cur reddenda sit eorum ratio, si præteriit rerum in tempore gerendarum occasio legatorum culpa. Ubi observandum δὲ cum δὴ junctum, *μεταβατικὸν* esse, ut Latinis, *quod si etiam*, pro quo Cicero *Porro autem* dicere solet, quomodo et Terentius, [Phorm. 1. 1. 13.] *Porro autem Geta Ferietur alio munere, ubi hera pepererit, Porro autem alio, ubi erit puer natus.* Ex edit. HERVAG.

Οὐδ᾽ ἂν ὁτιοῦν ποιῇ πάλιν, οἷός τ᾽ ἔσται σῶσαι] *Quicquid postea fecerit, servare denuo non poterit*, vel *nullo pacto denuo servare poterit.* Sic dicitur etiam, οὐδ᾽ ἂν ὁτιοῦν γένηται, *quicquid evenerit*, 'οὐδ᾽ ἂν

ὁτιοῦν ποιῇ, πάλιν οἷός τε ἔσται σῶσαι. ἀλλὰ μὴν, ὑπέρ γε τοῦ προῖκα ἢ μὴ, τὸ μὲν ἐκ τούτων λαμβάνειν ἐξ ὧν ἡ πόλις βλάπτεται, πάντες εὖ οἶδ' ὅτι φήσαιτ' ἂν εἶναι δεινὸν, καὶ πολλῆς ὀργῆς ἄξιον. ὁ μέν τοι τὸν νόμον τιθεὶς, οὐ διώρισε τοῦτο, ἀλλ' ἁπλῶς εἶπε, μηδαμῶς δῶρα λαμβάνειν· ἡγούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸν ἅπαξ λαβόντα καὶ διαφθαρέντα ὑπὸ χρημάτων, οὐδὲ κριτὴν ἔτι τῶν συμφερόντων ἀσφαλῆ μένειν τῇ πόλει.

δ'. Ἂν μὲν τοίνυν ἐξελέγξω καὶ δείξω σαφῶς Αἰσχίνην τουτονὶ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα, καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ πάντα τἀναντία τῶν συμφερόντων ὑμῖν συμβεβουλευκότα, καὶ μηδὲν ὧν προσετάξατε, ἐν τῇ πρεσβείᾳ πεποιηκότα, καὶ ἀνηλωκότα τοὺς χρόνους, ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμάτων καιροὶ πρόειντο τῇ πόλει, καὶ πάντων τούτων δῶρα καὶ μισθοὺς εἰληφότα μετὰ Φιλοκράτους, καταψηφίσασθε αὐτοῦ, καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λάβετε· ἂν δὲ μὴ δείξω ταῦτα, [1] ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τουτονὶ δὲ ἄφετε. πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς τούτοις ἕτερα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν οὐκ ἔσθ' ὅς τις ἂν οὐκ εἰκότως μισήσειεν αὐτὸν, βούλομαι πρὸ πάντων, ὧν μέλλω λέγειν, μνημονεύοντας ὑμῶν εὖ οἶδ' [2] ὅτι τοὺς πολλοὺς ὑπομνῆσαι, εἰς τίνα τάξιν ἔταξεν ἑαυτὸν Αἰσχίνης ἐν τῇ πολιτείᾳ [3] τοπρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ
344 Φιλίππου δημηγορεῖν ᾤετο δεῖν· ἵν' εἰδῆτε, ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ, τούτοις μάλιστα πάντων ἐξελεγχθήσεται δῶρα ἔχων.

[1] [ἢ μὴ] [2] ὅτι πολλοὺς [3] τὸ πρῶτον

ὁτιοῦν γένοιτο, *quicquid accidisset.* Idem.

Ἢ μὴ] Melius Interrogative, ἀλλὰ μὴν ὑπέρ γε τοῦ προῖκα, ἢ μή; Ita modo antecedens caput adduxit similiter, τῶν δὲ τῶν χρόνων διατί; Interpres interrogative quasi dedit, sed non satis accurate. Taylor. Ita Brooke, et in vers. Lat. Wolfius ed. Fr. 1604.

Τὸ μὲν] F. ὅτι τὸ μέν. Markland.

Τῇ πόλει] Codd. duo, s. et n. μένειν ἐν τῇ πόλει. Quod facile excidere poterat, Versio Etrusca: *non puo piu esser sicuro giudice di quel che giovi alla citta.* Tayl.

Τῇ πόλει] Cohæret cum τῶν συμφερόντων. Auger.

δ'. Τοὺς πολλοὺς] Rescribe εὖ οἶδ', ὅτι πολλοὺς, sine articulo: ut sæpe alibi loquitur. Verbi gratia, infra §. ζ'. *post med.* in simili sensu scripsit, ταυτὶ πολλὰ συνίσασιν, ἃ μέλλω λέγειν, non οἱ πολλοί. Quod alia res est. Et deesse video articulum in optimis fere exemplaribus, Reg. a. et Harl. Taylor.

Εἰς τίνα τάξιν ἔταξεν ἑαυτὸν Αἰσχίνης] *Quod institutum secutus sit, quem locum reip. gerendæ capessierit.* τάξις enim præter cætera, *officium et munus* significat. Ex edit. Hervag.

έ. Ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὥς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησι, καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων· καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν, προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς [1] πανταχοῦ πρέσβεις πέμπειν, τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου· [2] καὶ ἀπαγγέλλων, μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας, τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους, οὓς ἐν τοῖς μυρίοις ἐν Μεγάλῃ πόλει, πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγοντα, ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι· καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας

[1] πανταχῇ

[2] [καὶ]

έ. Ἴσχανδρον] Ambigue, ni distinguatur post Ἴσχανδρον, h. m. ἔχων Ἴσχανδρον. τὸν Νεοπτολέμου δευτεραγωνιστὴν, etc. MARKLAND.

Ibid. Harpocr. v. Ἴσχανδρος, Maussacus, aliique de Ischandro multa; qui tamen omnes locum hunc non expediunt. Credo quidem, Ischandrum fuisse histrionem, Neoptolemi, non filium, sed ministrum, τὸν Νεοπτολέμου, Æschinis vero δευτεραγωνιστὴν, sc. qui Æschini succenturiabatur, et in hac quasi Fabula secundas partes agebat: allusorie scil. ad Æschinis artificium et quæstum, ut Demosthenes frequenter hominem exagitat, et Ulpianus diserte affirmat hic eum exagitasse. Punge igitur, si hæc vera sint, ἔχων Ἴσχανδρον, τὸν Νεοπτολέμου, δευτεραγωνιστὴν, etc. Neque interea sum nescius, Æschinem ab Harpocratione dici Ischandri succenturiatorem, non Ischandrum Æschinis. Sit ita sane. Sit Æschines secundarum vel etiam tertiarum partium Actor in Fabula, sub Ischandro. At constat ex §. πδ'. *a med.* Æschinem hunc hominem ex Arcadia duxisse, quem Civitati amantissimum venditabat, eique secundas partes in Rep. detulit, nimirum quas in Scena agebat ipse. Neoptolemus Histrio erat ea ætate celeberrimus. Vid. Argumentum Ulpiani huic Orationi præmissum, Demosth. de Pace, rursus c. Eubulid. p. 1304. 8. Ed. Reisk. TAYLOR.

Δευτεραγωνιστὴν, προσιὼν μὲν τῇ βουλῇ] Δευτεραγωνιστὴν metaphorice dixit, quasi optionem et secundas partes negotii suscepti tractantem, quasi secundarium proditorem. Siquidem δευτεραγωνισταὶ sunt *scenici, qui secundas partes fabulæ agunt,* ut τριταγωνισταὶ, *qui tertias.* Quod autem dixit, προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, hoc significat, *ad concilium et curiam referens, cum populo agens.* Idem περὶ Στεφ. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν. Ex *edit.* HERVAG.

Τοὺς βουλευσομένους] Videtur deesse Ἕλληνας inter has voces, ut §. ϛ'. in *fin.* et passim in Orat. c. Ctesiph. MARKLAND.

Ἀπαγγέλλων] Notabilis est lectio, non tamen verissima, quam repræsentavit, hujus loci, Dionys. Halic. exscribens in Arte Rhetor. VIII. 6. per binas fere paginas Editionis nostræ: scil. πείσας ὑμᾶς —καὶ ἀπαγγέλλων. Μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας, τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους ἐν [sine οὓς] τοῖς μυρίοις κ. τ. λ. Concoquere ista potuerunt homines parum sagaces. Sed tum, quid de Megalopoli statuendum est, cum *jam* res Athenis agi videtur? Nimirum ista ἐν Μεγάλῃ πόλει dissimularunt hoc pacto, sc. ἐν τῇ μεγάλῃ βουλῇ. Istud est sapere! TAYL.

Ibid. Ita distingue: καὶ ἀπαγγέλλων μετὰ ταῦθ', ἥκων ἐξ Ἀρκαδίας, τοὺς καλοὺς κ. τ. λ. MARKLAND.

Μυρίοις] Harpocratio in v. Μύριοι, iterumque in Ἱερώνυμος locum hunc illustrabit. Hieronymus iste Arcas erat, a Philippo corruptus, et, uti ex Ulpiano hic discimus, e Schola Isocratis. Μύριοι erat Concilium Arcadicum, sub quo Resp. gerebatur. Constitutum autem erat, ut ex Diodoro Sic. discimus, Olymp. CII. 3. Plura Valesius ad Harpocr. et Kuster. ad Suid. TAYLOR.

ἀδικοῦσι μόνον πατρίδας οἱ δωροδοκοῦντες, καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου.

ς′. Ἐπειδὴ τοίνυν ταῦτα πολιτευομένου τούτου τότε, καὶ τοῦτο τὸ δεῖγμα ἐξενηνοχότος περὶ ἑαυτοῦ, τοὺς περὶ τῆς εἰρήνης πρέσβεις πέμπειν ὡς Φίλιππον ἐπείσθητε ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος, καὶ τῶν ἄλλων, τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ᾽ ὁτιοῦν ὑγιὲς, γίγνεται τῶν πρέσβεων τούτων εἷς καὶ οὗτος· οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ᾽ ὡς τῶν πεπιστευκότων [1] τῷ Φιλίππῳ, ἀλλ᾽ ὡς τῶν φυλαξόντων τοὺς ἄλλους. διὰ γὰρ τοὺς προειρημένους λόγους καὶ τὴν πρὸς Φίλιππον ἀπέχθειαν, ταύτην εἰκότως περὶ αὐτοῦ πάντες εἴχετε τὴν δόξαν. προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα, συνετάττετο
345 κοινῇ πρεσβεύειν, καὶ ὅπως τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξωμεν ἀμφότεροι [2] τὸν Φιλοκράτην, πολλὰ παρεκελεύσατο. καὶ μέχρι τοῦ δεῦρο ἐπανελθεῖν ἀπὸ τῆς πρώτης πρεσβείας, ἐμὲ γοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ἐλάνθανε. χωρὶς γὰρ τῶν ἄλλων, ὧν, ὅπερ εἶπον, εἰρήκει πρότερον, ἀναστὰς τῇ [3] προτεραίᾳ τῶν ἐκκλησιῶν, ἐν αἷς περὶ τῆς εἰρήνης ἐβουλεύεσθε, ἤρξατο ἀρχὴν, ἣν ἐγὼ καὶ τοῖς ῥήμασιν [4] οἶμαι τοῖς αὐτοῖς, οἷς περ οὗτος εἶπεν, ἐν ὑμῖν ἀπομνημονεύσειν· Εἰ πάνυ πολὺν, ἔφη, χρόνον ἐσκόπει Φιλοκράτης, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως ἂν ἄριστα ἐναν-

[1] Deest articulus. [2] Deest articulus. [3] προτέρᾳ [4] οἴομαι

ς′. Κτησιφῶντος] Forte Κηφισοφῶντος. Anonymus quidam in Argumento scribit, Ctesiphontem Phrynoni legatum adjunctum fuisse. Utcunque sit, videtur alius ab eo fuisse, cujus decretum defendit Demosthenes. WOLF. Ctesipho quidem nomen erat huic homini, et quidem alius ab isto Ctesiphonte, in quem postea insurgebat Æschines. Hæc Wolfium docere poterat Harpocratio in v. qui consuli debuit. Hic cum Aristodemo et Neoptolemo conjunctus, non tamen Histrio fuit, ut Ulpianus recte præcaveri voluit. TAYLOR.

Πεπιστευκότων] Ἐμπολησόντων Lambinus. οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ᾽ ὡς τῶν ἐμπολησόντων τῷ Φιλίππῳ. Quem non recte intelligo. Scholiastes quidem noster in glossis: Ἀποδωσομένων] ἤγουν ἐμπολησόντων. Atque id credo voluisse Lambinum. IDEM.

Τῇ προτεραίᾳ τῶν ἐκκλησιῶν] Sub. ἡμέρᾳ. *Pridie Concionum: eo die, qui Pop. conventum antecessit.* Sed, quia additur ἀναστὰς, et non fit mentio Curiæ, aut alterius publici loci, videtur legendum τῇ προτέρᾳ, ut sit τῇ προτέρᾳ ἐκκλησίᾳ, *priore concione*; in qua fuit assertor Æschines publicæ dignitatis, quam eandem posteriore oppugnavit. WOLF. προτέρᾳ ἐκκλησίᾳ. Cod. Reg. α. ut voluit Wolfius. Et similiter in aliis credo obtinuisse, in quibus mox pro ἐν αἷς, ἐν ᾗ scriptum deprehendi: sc. Lind. et Ven. In sequentibus v. 6. p. seq. pro προτεραίᾳ, Aug. προτέρᾳ. TAYLOR.

Ἐν ὑμῖν] Ita distinguendum: ῥήμασι—τοῖς αὐτοῖς, οἷσπερ οὗτος εἶπεν ἐν ὑμῖν, ἀπομνημονεύσειν, *verbis—iisdem, quæ ille dixit apud vos, commemorabo.* MARKLAND.

Εἰ πάνυ] Initium cujusdam δημηγορίας Æschinis. *Ald. Ex edit.* BROOK.

τιωθείη τῇ εἰρήνῃ, οὐκ ἂν αὐτὸν ἄμεινον εὑρεῖν [1] οἶμαι, ἢ τοιαῦτα γράφοντα. ἐγὼ δὲ ταύτην μὲν τὴν εἰρήνην, ἕως ἂν εἷς Ἀθηναίων λείπηται, οὐδέποτ᾽ ἂν συμβουλεύσαιμι ποιήσασθαι τῇ πόλει· εἰρήνην μέν τοι φημὶ δεῖν ποιεῖσθαι. καὶ τοιούτους τινὰς εἶπε βραχεῖς, καὶ μετρίους λόγους. ὁ δὲ ταῦτ᾽ εἰπὼν τῇ προτεραίᾳ, πάντων ἀκουόντων ὑμῶν, εἰς τὴν ὑστεραίαν, ἐν ᾗ τὴν εἰρήνην ἔδει κυροῦσθαι, ἐμοῦ τῷ τῶν συμμάχων συνηγοροῦντος δόγματι, καὶ τὴν εἰρήνην ὅπως ἴση, καὶ δικαία γενήσεται, πράττοντος, καὶ ὑμῶν βουλομένων [2] ταῦτα, καὶ οὐδὲ φωνὴν ἐθελόντων [3] ἀκούειν τοῦ καταπτύστου Φιλοκράτους, ἀναστὰς ἐδημηγόρει, καὶ συνηγόρει ἐκείνῳ πολλῶν ἀξίους, ὦ Ζεῦ, καὶ πάντες θεοὶ, θανάτων λόγους· ὡς οὔτε τῶν προγόνων ὑμᾶς μεμνῆσθαι δέοι, οὔτε τῶν τὰ τρόπαια, καὶ τὰς ναυμαχίας λεγόντων ἀνέχεσθαι, νόμον τε θήσειν, καὶ γράψειν, μηδενὶ τῶν Ἑλλήνων ὑμᾶς βοηθεῖν, ὃς ἂν μὴ πρότερος βεβοηθηκὼς [4] ὑμῖν ᾖ. καὶ ταῦτα ὁ σχέτλιος, καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν, 346
[5] ἐφεστηκότων πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων μετεπέμψασθε, ὑπὸ τούτου τότε πεισθέντες, ὅτ᾽ οὔπω πεπρακὼς ἑαυτὸν ἦν.

ζ. Ὃν μὲν οὖν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, χειροτονησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν τούς τε χρόνους κατέτριψε, καὶ τὰ πράγματα πάντα ἐλυμήνατο τὰ τῆς πόλεως, καὶ ὅσαι περὶ τούτων ἐμοὶ πρὸς τοῦτον ἀπέχθειαι συνέβησαν, βουλομένῳ κωλύειν, αὐτίκα· ἀκούσεσθε. ἀλλ᾽ ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς

[1] οἴομαι [2] ταὐτὰ [3] ἀκούειν ἐθελόντων [4] ὑμῖν βεβοηθηκὼς
[5] ἐφεστηκότων ἔτι τῶν πρέσβεων

Τῇ εἰρήνῃ] Forte τῇ πόλει. Nam pacem suasisse et Philocratem apparet, sed parum honestam. Wolf. Excidit forte vox: ἐναντιωθείη τῇ πόλει εἰρήνη; par noceret *Reip.* Markland. Wolfius, *reipublicæ*. Immo, *paci*. Nimirum, cum Philocrates pacem iniquissimis conditionibus ineundam suaderet, eo ipso paci adversari censendus erat. Jurin.

Εἰς τὴν ὑστεραίαν] S. τῶν ἐκκλησιῶν. Sequitur longa ἐμβολὴ, ἐν ᾗ—ἀναστὰς ἐδημηγόρει. etc. Malim et hic, εἰς τὴν ὑστέραν, pro ἐν τῇ ὑστέρᾳ ἐκκλησίᾳ, potius quam εἰς τὴν ὑστεραίαν ἡμέραν, *in posteriore Concione.* Wolf.

Πράττοντος] Hoc est, *hoc agente me et laborante*, ἀγωνιζομένου. est enim πράττειν *contendere et laborare ut aliquid fiat*, quod etiam *agere* Latine dicitur. *Ex edit.* Hervag.

Ἐφεστηκότων πρέσβεων] Repete articulum, ἐφεστηκότων τῶν πρέσβεων. Et ita *Æschines* in π. παραπρεσβ. pag. 236. 4. Ed. Reisk. τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων, οὓς μετεπέμψαντο πρὸς ὑμᾶς οἱ Ἕλληνες. Ex hoc loco. Markland. V. Var. Lect.

ζ. Αὐτίκα] Non est *statim*, ut vulgo; sed, *primo quoque tempore, postea*, ut aliquando. Auger.

ὅρκους, ἧς περ εἰσὶν αἱ νῦν εὐθῦναι, οὔτε μικρὸν, οὔτε μέγα οὐδοτιοῦν εὑρημένοι τῶν, ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, λεχθέντων, καὶ προσδοκηθέντων, ἀλλὰ πάντα ἐξηπατημένοι, καὶ τούτων ἕτερ' αὖθις αὖ πεπραχότων, καὶ [1]παρὰ τὸ ψήφισμα πεπρεσβευκότων, [2]προσῆμεν τῇ βουλῇ· καὶ ταυτὶ πολλοὶ συνίσασιν ἃ μέλλω λέγειν, τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν. παρελθὼν δ' ἐγὼ πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπήγγειλα, καὶ κατηγόρησα τούτων, καὶ [3]ἀπηριθμησάμην ἀπὸ τῶν πρώτων ἐλπίδων ἐκείνων, ὧν ὁ Κτησιφῶν καὶ ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς, καὶ μετὰ ταῦτα ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, ἃ οὗτος ἐδημηγόρησε, καὶ εἰς ἃ προήχασι τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοίπων — ταῦτα δ' ἦν Φωκεῖς, καὶ Πύλαι — μὴ προέσθαι συνεβούλευον, μηδὲ ταῦτα παθεῖν, μηδ' ἀναρτωμένους ἐλπίσιν ἐξ ἐλπίδων, καὶ ὑποσχέσεσιν, εἰς τοὔσχατον ἐλθεῖν τὰ πράγματα ἐᾶσαι. καὶ ἔπεισα ταῦτα τὴν βουλήν.

347 η΄. Ἐπειδὴ δὲ ἧκεν ἡ ἐκκλησία, καὶ πρὸς ὑμᾶς ἔδει λέγειν, παρελθὼν Αἰσχίνης οὑτοσὶ πρῶτος ἡμῶν ἁπάντων — καὶ πρὸς Διὸς, καὶ θεῶν, πειρᾶσθε συνδιαμνημονεύειν, ἂν ἀληθῆ λέγω, [4]τὰ γὰρ πράγματα πάντα λυμηνάμενα ὑμῶν, καὶ διαφθείραντα ὅλως, ταῦτ' ἔστιν ἤδη — τοῦ μὲν ἀπαγγέλλειν τι τῶν πεπρεσβευμένων, ἢ περὶ τῶν ἐν τῇ

[1] παρ' αὐτὸ τὸ [2] προσῄειμεν [3] ἀνηριθμησάμην
[4] τὰ γὰρ πάντα τὰ πράγματα

Καὶ τούτων ἕτερ' αὖθις αὖ πεπρακότων] A πιπράσκω, non a πράττω. Mox, pro παρὰ τὸ alii habent παρ' αὐτὸ τὸ ψήφισμα. Et [v. 9.] καὶ ἀπηριθμησάμην. Wolf. *Vendidissent*. Immo *fecissent*, πεπραχότων. *Vendidissent* esset πεπρακότων. Markland. Wolfius, *cumque isti rursus alia vendidissent*: Immo, *cumque isti rursus alia omnia fecissent*, alia nempe, quam quæ plebiscito imperata fuerant. Jurin. Πεπρακότων Manutius quoque et Felicianus. Utraque sane lectio tolerabilis: licet aliquanto potior sit ea, quam rejecit Wolfius. *Havendo costoro altre cose in contrario fatte*. Ita Ferro. Taylor.

Ἀπηριθμησάμην] Hic grassatur Wolfius contra Codd. universos. Nam in omnibus ἀνηριθμησάμην. Idem.

Προήχασι] A προάγω. Dicunt etiam Attici προαγηόχασι. Wolf. MS. ζ. προήγαγον. Vid. præstantissimum Iac. Phil. D'Orvillium ad Charit. Aphrodis. V. 8. Not. ad Demosth. c. Aristog. I. pag. 772. 5. Ed. Reisk. Taylor.

Μηδὲ ταῦτα παθεῖν] Lego, ταὐτὰ, ut Olynth. I. (III.) Wolf. Correcte etiam legunt Codd. ε. ζ. Taylor.

Μηδ' ἀναρτωμένους κ. τ. λ.] Consulatur Cl. D'Orvillius ad Chariton. Aphrodis. III. 9. Idem.

Ὑποσχέσεσιν] Exspectassem καὶ ὑποσχέσεσιν ἐξ ὑποσχέσεων. Vid. §. ι. ante med. Markland.

η΄. Πειρᾶσθε συνδιαμνημονεύειν] *Date operam, ut una mecum memoriæ infigatis*. Wolfius. Potius, *date operam, ut una mecum memoria repetatis*. Agitur enim de verbis olim factis in Concione. Jurin.

Ὑμῶν] Ὑμᾶς MSS. α. et δ. Quasi hic locus ita esset intelligendus, sc. πάντα ταῦτα τὰ πράγματα λυμηνάμενά ἐστιν ὑμᾶς. Taylor.

Περὶ] Facessere jubet Lambinus utam quam minus necessarium. Idem.

βουλῇ ῥηθέντων, εἰ ἄρα ἠμφισβήτει μὴ [1] ἀληθῆ λέγειν ἐμὲ, μνησθῆναι πάμπληθες ἀπέσχεν, εἶπε δὲ τοιούτους λόγους, καὶ τηλικαῦτα καὶ τοσαῦτα ἔχοντας ἀγαθὰ, ὥσθ' ἅπαντας ὑμᾶς λαβὼν ᾤχετο. ἔφη γὰρ ἥκειν πεπεικὼς Φίλιππον, πάνθ' ὅσα συμφέρει τῇ πόλει, καὶ περὶ τῶν [2] ἐν Ἀμφικτυόσι, καὶ περὶ τῶν ἄλλων ἁπάντων, καὶ διεξῆλθε λόγον μακρὸν ὑμῖν, ὃν κατὰ Θηβαίων εἰπεῖν πρὸς Φίλιππον ἔφη, καὶ τὰ κεφάλαια ἀπήγγειλε πρὸς ὑμᾶς, καὶ ἀπελογίζετο ἐκ τῶν αὐτῷ πεπρεσβευμένων, [3] δυοῖν, ἢ τριῶν ἡμερῶν, ὑμᾶς, μένοντας οἴκοι, καὶ οὐ στρατευομένους, οὐδ' ἐνοχλουμένους, Θήβας μὲν πολιορκουμένας αὐτὰς καθ' αὑτὰς, χωρὶς τῆς ἄλλης Βοιωτίας, ἀκούσεσθαι, Θεσπιὰς δὲ, καὶ Πλαταιὰς οἰκιζομένας, τῷ θεῷ δὲ τὰ χρήματα εἰσπραττόμενα, οὐ παρὰ Φωκέων, ἀλλὰ παρὰ Θηβαίων, τῶν βουλευσάντων τὴν κατάληψιν τοῦ ἱεροῦ. διδάσκειν γὰρ αὐτὸς ἔφη τὸν Φίλιππον, ὅτι οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βε-

[1] τἀληθῆ [2] [ἐν] [3] δυεῖν

Εἰ ἄρα ἠμφισβήτει κ. τ. λ.] Sententia est: Æschini imprimis et acta legationis renuncianda, et orationem Demosthenis in senatu habitam refutandam fuisse. Verum ille pollicitationibus illis majorem iniit a populo gratiam. Wolf.

Ὥσθ' ἅπαντας ὑ. λ. ᾤ.] Ἀντὶ τοῦ, ἔπεισε ταῦθ' οὕτως ἔχειν. Idem.

Ibid. Similiter scripsit infra, §. ιζ. in fin. Πρὸς τοὺς παρὰ τούτου λόγους ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φιλοκράτης — Nonnulli Codd. hic λαθών. Sunt autem ex Regg. α. et δ. non sane contemnendi. "Nescio, cui incidit λαχὼν," ait Vir doctissimus ad Chariton. III. 7. "non adeo necessarium. Alioqui obvia permutatio horum vocabulorum." Taylor.

Ἀπελογίζετο] Utrum ἀπελογίζετο ἐκ, an ἐκ τῶν πεπρεσβευμένων ἀκούσεσθαι δυεῖν ἢ τριῶν ἡμερῶν? Wolf. F. ὑπελογίζετο. Markland. Recte. Auctoribus et fidejussoribus etiam Harl. (ita tamen ut ἀπελογ.—sic illic a manu secunda) Bodl. et Reg. ε. Supputabat, computabat, *intra triduum vos audituros ea, quæ maxime velletis fieri: Adeo strenue se munere suo esse defunctum.* Tametsi et hunc sensum non invite admittat Vox altera: Et, nescio sane, annon hic sit locus, quem respexit Suidas v. Ἀπολογίζομαι. Taylor.

Μένοντας οἴκοι κ. τ. λ.] Dubito, an ea mente scripserit Demosthenes, ut ea, quæ hic sequuntur, Conditio esset ab Atheniensibus præstanda. Scil. *Hæc omnia vobis promitto, ea tamen lege, ut domi maneatis,* etc. Ita quidem Wolfius: ita alii quoque interpretantur. Et est sententia satis proba. Ego tamen semper aliter accepi: Nempe, *curavi sedulo, ut omnia, quæ velletis, efficerentur, sine vestro labore, sumtu aut sollicitudine,* μένοντας οἴκοι, καὶ οὐ στρατευομένους. Idem.

Τῶν βουλευσάντων τὴν κατάληψιν] Ex Historia non constat: ac potius absurdum est, Thebanos id consilii dedisse Phocensibus hostibus, ut templum occuparent: sed cum ipsi pecunia egerent, Phocensibus antevertere voluisse, cum fuerint posteriores. Wolf. Consule Ulpianum. Taylor.

Διδάσκειν] Putarem διδάξαι, quod (non διδάσκειν) est *docuisse.* Alia ratio est τοῦ ἀκούειν, quod mox sequitur. Markl.

Διδάσκειν γὰρ αὐτὸς ἔφη] *Docuisse se dixit.* præsens pro præterito, Attico more. Idem alibi, ἀκούειν γὰρ ἔφη, καὶ τῶν Εὐβοέων ἐνίων. ἀντὶ τοῦ, ἀκηκοέναι. cui simile est illud Ciceronis in Oratore: "Sed ego idem qui in illo sermone nostro, qui est expositus in Bruto, multum tribuerim Latinis, vel ut hortarer alios, vel quod amarem meos, recordor longe omnibus unum anteferri Demosthenem." Et in pri. de Orat. "Memini dici mihi ludorum Romanorum diebus L. Crassum, quasi colligendi sui causa se in Tusculanum contulisse." *Ex edit.* Hervag.

βουλευκότες, τῶν ταῖς χερσὶ πραξάντων· καὶ διὰ ταῦτα
χρήματα αὐτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. ἀκούειν δὲ
καὶ τῶν Εὐβοέων ἐνίων ἔφη πεφοβημένων καὶ [1] τεταραγμέ-
νων τὴν πρὸς τὴν πόλιν οἰκειότητα Φιλίππῳ γεγενημένην,
348 καὶ λεγόντων, ὅτι οὐ λελήθατε ἡμᾶς, ὦ ἄνδρες πρέσβεις,
ἐφ' οἷς πεποίησθε τὴν εἰρήνην πρὸς Φίλιππον, οὐδ' ἀγνοοῦ-
μεν, ὅτι ὑμεῖς μὲν Ἀμφίπολιν δεδώκατε ἐκείνῳ, Φίλιππος
δ' ὑμῖν Εὔβοιαν ὡμολόγηκε παραδώσειν. εἶναι [2] μέν τοι καὶ
διῳκημένον τί αὐτῷ, οὐ μήν πω τοῦτο βούλεσθαι λέγειν,
καὶ γὰρ νῦν φθονεῖν [3] τινὰς αὐτῷ τῶν συμπρέσβεων. ὑπηνίτ-
τετο δ' οὕτω που, καὶ παρεδήλου τὸν Ὠρωπόν.

θ'. Εὐδοκιμῶν δ' ἐπὶ τούτοις εἰκότως, καὶ δοκῶν καὶ
ῥήτωρ ἄριστος εἶναι, καὶ ἀνὴρ θαυμαστὸς, κατέβη μάλα
σεμνῶς. ἀναστὰς [4] δ' ἐγὼ ταῦτά τε οὐκ ἔφην εἰδέναι, [5] καὶ
ἐπειρώμην τι λέγειν τούτων, ὧν εἰς τὴν βουλὴν ἀπήγγει-
λα. καὶ παραστὰς ὁ μὲν, ἔνθεν, ὁ δὲ, ἔνθεν, οὑτοσὶ καὶ

[1] * τεταραγμένων καὶ πεφοβημένων [2] μέντοι τι καὶ ἄλλο διῳκημένον αὐτῷ [3] τινὰς αὐτ. φθ. [4] δ' εὐθὺς ἐγὼ [5] καὶ ἅμα ἐπειρώμην

Καὶ διὰ ταῦτα χρήματα αὐτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι] *Et ea propter Thebanos pecuniæ quandam summam edicto pronunciasse, ei dandam qui eum interfecisset.* In quo sermone subintelligimus ἐπὶ, ut sit, ἐπ' αὐτοῦ φόνῳ ἐπικηρύξαι. quod autem Græci dicunt ἐπικηρύττειν χρήματά τινι, Curtius significare voluit, cum "licitari hostium capita" dixit. Vide Comment. Bud. Idem.

Χρήματα—ἐπικεκηρυχέναι] Proclamare pecuniam contra aliquem proprie significat, sive is vivus adducatur ad supplicium, sive interficiatur. Q. Curtius, lib. 3. *Darius mille talenta interfectori Alexandri daturum se pronunciari jusserat*, id est, ἐπικεκήρυχει τῷ Ἀλεξάνδρῳ χίλια τάλαντα. Wolf.

Ibid. Moneo, ut conferantur, quæ habet Harpocratio v. Ἐπικεκηρυχέναι, cum σχ. ad hæc verba Demosthenis. Quod sane Scholium scitissime et solerter emendatur a viro doctissimo, Animadv. ad Æschyl. I. 19. Interea de more isto et ritu proscribendi nonnulla habet non inscita aut injucunda doctissimus H. Valesius ad Harpocrationem in voce, iterumque ad pag. 179. Notar. Maussaci. Hominem tamen miror, qui in utroque loco existimare potuit, Thebanos hic caput Philippi pretio devovisse. Non enim istius, sed Æschinis, licitatum; si quid Ego videre possim. Taylor.

Ἐπικεκηρυχέναι] Ἐπικηρύσσειν χρήματά τινι, *proclamare pecunias contra aliquem*, i. e. caput alicujus proscribere. Auger.

Αὐτῷ] Αὑτῷ. Vid. §. κε'. in *fin.* ubi est, χρήμαθ' ἑαυτῷ. Markland. χρήμαθ' ἑαυτῷ Cod. Ital. nostrique Ven. et Lind. Taylor.

Τὴν πρὸς τ. π.] F. διὰ τὴν πρὸς τὴν πόλιν. Markland. Aliter sane insolentior videri posset Structura. Interea tamen vide, quæ mox annotamus ad κη'. *post med.* Not. κ. τ. Θηβ. Taylor.

Εἶναι μέντοι καὶ διῳκημένον αὐτῷ] S. τὴν τῆς Εὐβοίας παράδοσιν. Sed puto legendum μέν τι, *esse quidem aliquid a se jam instructum et confectum.* Wolf. Vid. Var. Lect.

Καὶ γὰρ etc.] Καὶ γὰρ νῦν τινὰς αὐτῷ φθονεῖν τῶν συμπρέσβεων. Ita verba ordinat Cod. Harl. Quod vix esset monitu dignum, nisi ut inde intelligeretur auctoritas quædam accedere conjecturis Lambini, qui locum juxta Cod. nostrum complanavit, cum in Edit. Paris. pessime repræsentaretur. Taylor.

Που] Restitue mecum, ὑπηνίττετο δ' οὕτω μου, καὶ παρεδήλου τὸν Ὠρωπόν. Dixerat enim immediate Æschines, quosdam e Collegis sibi invidere, *alludens* procul dubio, sed tecte et tacite, ad Demosthenem. Idem.

θ'. Ταῦτά τε] Ταῦτά με οὐκ ἔφην εἰδέναι. Markland.

Φιλοκράτης, ἐβόων, ἐξέκρουόν με, τελευτῶντες ἐχλεύαζον· ὑμεῖς δ' ἐγελᾶτε, καὶ [1] οὔτ' ἀκούειν ἠθέλετε, οὔτε πιστεύειν ἠβούλεσθε ἄλλα, πλὴν ἃ οὗτος ἀπηγγέλκει. καὶ, νὴ τοὺς θεοὺς, εἰκός τι παθεῖν [2] ἔμοιγ' ἐδοκεῖτε. τίς γὰρ ἂν ἠνέσχετο, τηλικαῦτα καὶ τοσαῦτα ἔσεσθαι προσδοκῶν ἀγαθὰ, ἢ ταῦθ' ὡς οὐκ ἔσται λέγοντός τινος, ἢ κατηγοροῦντος τῶν πεπραγμένων τούτοις; πάντα [3] γὰρ τἄλλ', οἶμαι, τότε καὶ δεύτερα ἦν τῶν ὑποκειμένων προσδοκιῶν, καὶ τῶν ἐλπίδων· οἱ δ' ἀντιλέγοντες, ὄχλος ἄλλως, καὶ βασκανία κατεφαίνετο, ταῦτα δὲ θαυμάσια ἡλίκα καὶ συμφέροντα ἐδόκει πεπρᾶχθαι [4] τῇ πόλει.

ι'. Τοῦ χάριν δὴ ταῦθ' ὑπέμνησα πρῶτα νῦν ὑμᾶς, καὶ διεξῆλθον τούτους τοὺς λόγους; ἑνὸς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν [5] τι λέγοντος ἀκούῃ μου, καὶ κατηγοροῦντος τῶν πεπραγμένων, [6] ἀπιστῇ, καὶ δοκῇ δεινὸν αὐτῷ, καὶ ὑπερβάλλον εἶναι, εἶτα 349 τότε οὐκ ἔλεγες παραχρῆμα [7] ταῦτα, οὐδ' ἐδίδασκες [8] ἡμᾶς, θαυμάζῃ· ἀλλὰ μεμνημένοι τὰς ὑποσχέσεις τὰς τούτων, ἃς ἐφ' [9] ἑκάστων ποιούμενοι τῶν καιρῶν, ἐξέκλειον

[1] οὐδ' [2] ἔμοιγε δοκεῖτε [3] γὰρ, οἶμαι, τἄλλα τότε δεύτερα [4] τῇ πόλει πεπρᾶχθαι [5] τι λέγοντος] [5] ἀντιλέγοντος [6] Deest ἀπιστῇ. [7] ταῦτα; [8] ἡμᾶς; θαυμάζῃ, [9] ἑκάστῳ

Εἰκός τι παθεῖν] Plane effert Æschines π. παραπρεσβ. pag. 193. 1. Ed. Reisk. εἰκός τι πρᾶγμα πάσχειν δόξω. Idem.

Ὑποκειμένων] Notatur legi et ὑποκρινομένων. Malim προκειμένων. Wolf.

Οἱ δ' ἀντιλέγοντες ὄχλος — κατεφαίνετο] Ἑτέρωσις ἀριθμοῦ, ἀντὶ τοῦ, κατεφαίνοντο ὀχληροὶ μάτην καὶ βάσκανοι. Wolf. Vid. Cl. D'Orvillium ad Charit. pag. 596. Taylor.

Ὄχλος ἄλλως] Inutile istud ἄλλως valde mihi displicet: nec tamen præ manibus habeo, quod reponam melius. Nisi Tu mavis ὅλως. Codd. Harl. et Reg. α. ἄλλος. Idem.

Ὄχλος] *Turba, perturbatio.* ἄλλως, *frustra, incassum, temere.* Auger.

ι'. Τῶν πεπραγμένων] Τῶν πεπραγμένων, ἀπιστῇ, καὶ δοκῇ lege. Wolf. Nam edebatur δοκεῖ. Quod cum Wolfio restituunt MSS. Felician. et Bodl. Vox autem ἀπιστῇ, quæ ab omnibus abest, ex Wolfiano penu est ad sententiam suffarcinandam. Vide, ut belle procedat Oratio in Versione Etrusca, sine isto adjumento: *Prima e principalmente, accioche a niun di voi, posciache m' hara udito parlato, paja grave et esorbitante cosa, ch' io habbia accusate le amministrationi passate, e se ne maravigli, dicendo: e perche alhora incontanente non ci dicevi tu, e ci mostravi queste cose?* Redonabit lector meus Wolfio praeclarissimum suum inventum, τὸ, ἀπιστῇ. Taylor.

Αὐτῷ] An αὐτό? Markland.

Εἶτα τότε οὐκ ἔλεγες] Μιμητικῶς. Hoc in Orat. περὶ Στεφάνου Æschini ipse objicit, quod non refragatus sibi fuerit, societates, leges et bella suadenti. Wolf.

Εἶτα τότε] F. εἶτα τὸ, τί οὐκ, etc. Markland. Vel, εἶτα, τί τότε οὐκ ἔλεγες —θαυμάζῃ. Taylor.

Ἑκάστων] Melius fortasse cum Regg. α. δ. η. ἐφ' ἑκάστῳ ποιούμενοι τῶν καιρῶν. Idem.

Ἐξέκλειον] Nescio, an Variæ sint Lectiones, an Glossæ potius, quas ex MSS. proferimus. ἐξέκρουον Reg. β. ἐξέβαλλον ζ. ἐξέλαβον (vitiose, pro ἐξέβαλον) ἢ ἐξέκρουον Ven. Hæc certe postrema glossam sapiunt et interpretationem. Idem.

λόγου τυγχάνειν τοὺς ἄλλους, καὶ τὴν [1] ἐπαγγελίαν τὴν τούτου ταύτην τὴν καλὴν, εἰδῆτε ὅτι πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτ᾽ ἠδίκησθε ὑπ᾽ αὐτοῦ, ὅτι τἀληθῆ παραχρῆμα, καὶ ἡνίκα ἔδει πυνθάνεσθαι, διεκωλύθητε, ἐλπίσι, καὶ φενακισμοῖς, καὶ ὑποσχέσεσιν ἐξαπατώμενοι. πρώτου [2] μὲν τούτου, καὶ μάλισθ᾽ οὗπερ εἵπον ἕνεκα, ταῦτα διεξῆλθον. δευτέρου [3] δέ τινος, καὶ οὐδὲν ἐλάττονος, ἢ τούτου· ἵνα τὴν, ὅτ᾽ ἀδωροδόκητος ὑπῆρχε, προαίρεσιν αὐτοῦ τῆς πολιτείας ἀναμνησθέντες, ὡς προβεβλημένη, καὶ ἄπιστος ἦν πρὸς τὸν Φίλιππον, τὴν μετὰ ταῦτα ἐξαίφνης γεγονυῖαν πίστιν, καὶ φιλίαν σκέψησθε. εἶτα, εἰ μὲν ἐκβέβηκεν ὅσα ἀπήγγειλε πρὸς ὑμᾶς οὗτος, καὶ καλῶς [4] εἶχε τὰ πεπραγμένα, διὰ τὴν ἀλήθειαν, καὶ τὸ συμφέρον τῇ πόλει γεγενῆσθαι νομίσητε· εἰ δὲ πάντα τἀναντία ὧν οὗτος εἶπε πέπρακται, καὶ πολλὴν αἰσχύνην, καὶ μεγάλους κινδύνους ταῦτ᾽ ἔχει τῇ πόλει, διὰ τὴν αἰσχροκέρδειαν τὴν τούτου, καὶ τὸ χρημάτων ἀποδόσθαι τἀληθῆ, μεταβεβλημένον αὐτὸν εἰδῆτε.

ιά. Βούλομαι δὲ, ἐπειδή περ εἰς τούτους προήχθην τοὺς λόγους, ὃν τρόπον τὰ περὶ τοὺς Φωκέας πράγματα ὑμῶν

[1] ἀπαγγελίαν [2] μὲν οὖν τούτου [3] δὲ τίνος; [4] * ἔχειν

'Επαγγελίαν] F. ἀπαγγελίαν. Vid. §. ιθ'. et passim. Infra ὅσα ἀπήγγειλε πρὸς ὑμᾶς. MARKLAND. Nollem sane: et istam conjecturam, quæ mihi cum viro eruditissimo communis erat, etiam nonnullis Codd. commendatam, (sunt autem Bodl. marg. Benenati, cum Editt. Manut. et Felician.) nunc penitus rejicio. Voces, ὑποσχέσεις, v. pen. p. præc. et ἐπαγγελίαν recte conjunguntur. Dixi nuper; neque eam sententiam muto. Licet nescius non sim, aliquando stare bene posse ἀπαγγελίαν, etiam ubi vox ὑπόσχεσις simul sequatur, ut §. ιθ'. et §. κε'. Iterumque §. ζ'. *in fin.* Supra ad Arg. post. *in fin.* TAYLOR.

Πυνθάνεσθαι]| Anne distinguendum cum Wolfio Interprete, ἡνίκα ἔδει, πυνθάνεσθαι διεκωλύθητε? Sed non magni refert. IDEM.

Οὗπερ] Forte legendum ὅπερ, ut annotavit, qui Cod. Italicum in Wolfii gratiam contulit. IDEM.

"Η τούτου] Forte delendum ἤ. MARKLAND.

Προβεβλημένη] Πεφυλαγμένη καὶ ὠχυρωμένη. ὥσπερ πρόβλημα καὶ ἀσφάλειαν ἔχουσα τὴν ἀπιστίαν. WOLF. Wolfius, *quam munitum.* Potius, *quam projectum: quanto ante cæteros omnes præcipitatum.* JURIN. Mallem sane cum Wolfio interpretari, pace Viri doctissimi: et credo, metaphoram a munitionibus esse deductam. Cum autem, ne id prætermittam, Ulpianus vocabulum προβεβλημένη exponat εὐλαβῶς ἔχουσα, etc. id sane malim, quam Suidæ et Harpocrationis interpretamentum amplecti, qui habent ἐλαφρῶς. Quod certe vitiosum est. Adducitur hoc Comma ab iis in v. Προβαλλομένους. Adducitur etiam ter a Prisciano, et bis quidem in ead. pag. sc. col. 1175. 1176. sed in priore loco, errore membranarum. TAYLOR.

Προβεβλημένη] *Munita, vallata,* nempe adversus omnes fraudes et largitiones. AUGER.

"Απιστος] Sensu activo *diffidens.* IDEM.

Εἶτα εἰ μὲν] Ita lege. WOLF. Debetur etiam Particula εἰ sinceritati boni Cod. Reg. *a.* TAYLOR.

"Εχει] F. εἶχε, ut πέπρακται. Sic in Androt. pag. 616. 9. Ed. Reisk. ἃ ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν τῇ πόλει. MARKLAND. Vid. Var. Lect.

παρείλοντο, πρῶτον εἰπεῖν ἁπάντων. δεῖ δὲ μηδένα ὑμῶν, ὦ ἄνδρες δικασταὶ, εἰς τὸ τῶν πραγμάτων μέγεθος ἀπο- 350
βλέψαντα, μείζους τὰς κατηγορίας, καὶ τὰς αἰτίας, τῆς τούτου δόξης νομίσαι· ἀλλ᾽ ἐκεῖνο ὁρᾶν, ὅτι εἰ καὶ [1] ὁντιναοῦν ὑμεῖς εἰς ταύτην τὴν τάξιν κατεστήσατε, καὶ τῶν συμβάντων καιρῶν ἐποιήσατε κύριον, εἶθ᾽ οὗτος, εἴπερ ὥσπερ οὗτος, ἐβουλήθη, μισθώσας ἑαυτὸν τοῖς ἐχθροῖς, ἐξαπατᾶν ὑμᾶς, καὶ φενακίζειν, τῶν ἴσων ἂν αἴτιος ἦν κακῶν, ὅσων περ καὶ οὗτος. οὐ γὰρ εἰ φαύλοις χρῆσθε [2] ὑμεῖς εἰς τὰ κοινὰ πολλάκις ἀνθρώποις, καὶ τὰ πράγματά ἐστι φαῦλα, ὧν ἡ πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις· οὐδὲ πολλοῦ δεῖ. εἶτα [3] καὶ Φωκέας ἀπολώλεκε μὲν, οἶμαι, Φίλιππος, συνηγωνίσαντο δὲ οὗτοι. τοῦτο δὴ δεῖ σκοπεῖν, καὶ ὁρᾶν, εἰ ὅσα τῆς τῶν Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, ταῦτα πάντα ἀπώλεσαν οὗτοι, καὶ διέφθειραν ἑκόντες· οὐχ ὡς ὅδε Φωκέας ἀπώλεσεν ἂν καθ᾽ ἑαυτόν. πόθεν; δὸς δέ μοι τὸ προβούλευμα, ὃ πρὸς τὴν ἐμὴν ἀπαγγελίαν

[1] ὁντινοῦν [2] ὑμεῖς χρῆσθ᾽ [3] καί, [4] εἰ φωκέας

ιά. Εἶθ᾽ οὗτος, εἴπερ ὥσπερ οὗτος] Delendum videtur τὸ εἴπερ, cum supervacaneum sit, præcedente εἰ vers. 4. et insuper conturbet sententiam. Jurin. Recte sane, et in ea mente semper fui. Contra tamen stat Ulpianus, neque quidquam in MSS. præsidii. Aliquam tamen asperitatem tollunt probi MSS. Harl. Aug. et Reg. *a.* qui ita legunt, ἐποιήσατε κύριον, οὗτος δὲ, εἴπερ, ὥσπερ οὗτος κ. τ. λ. Taylor.

Οὐ γὰρ κ. τ. λ.] Lubens consentio Ulpiano, qui palam profitetur, *τοῦτο τὸ χωρίον τῶν ἀσαφῶν εἶναι*, atque illud etiam adjungo, posteaquam ejus scholium pertractavi, esse *τῶν ἀσαφεστάτων*. Nam, consulto eo oraculo, ut verbis utar Terentianis,

Incertior sum multo, quam dudum fui.
Idem.

Οὐ γὰρ εἰ φαύλοις χρῆσθε ὑμεῖς] *Neque enim quod vos sæpe hominum despicabilium opera soletis uti in rebus vestris publice administrandis, idcirco quoque despicabilia sunt ea quæ nobis committenda exteri credendaque duxerunt, multumque abest, ut ita res se habeant.* Idem in eadem, οὐ γὰρ ταῦτα ἀντ᾽ ἐκείνων γέγονεν, οὐδὲ πολλοῦ δεῖ. *Neque enim illorum loco hæc nobis obtigerunt, multumque abest ut ita sit.* Idem in eadem, pro οὐδὲ πολλοῦ δεῖ, οὐδ᾽ ὀλίγου δεῖ dixit. *Ex edit.* Hervag.

Οὐδὲ πολλοῦ δεῖ] Sub. λόγου. Alii ἀντὶ τοῦ, πολλοῦ γε καὶ δεῖ, *multum abest, ut res ita se habeat.* Wolf. Sic §. λά. *in fin.* et §. ξ. *post med.* quod §. νέ. *post med.* exprimitur per οὐδ᾽ ὀλίγου γε δεῖ, *multum abest*: usitatissime πολλοῦ γε καὶ δεῖ. Sed mirum est, unde οὐδὲ πολλοῦ δεῖ, Leontio, uti videtur, Negativa, tantundem valeret, ac Affirmativa, πολλοῦ γε καὶ δεῖ. Non possum solvere hunc nodum, nisi aliter distinguendo, οὐ δέ. πολλοῦ δεῖ. *minime vero: multum abest.* Notandum enim est, in omnibus iis locis, ubi hæc phrasis invenitur, semper præire negativam οὐ, unde repetitio ejusdem vehementius *negat.* Sic §. λά. *in fin.* οὐ γὰρ ταῦτ᾽ ἀντ᾽ ἐκείνων γέγονεν. Οὐ δέ. πολλοῦ δεῖ. Quod eodem recidit, quo istud in Midian. pag. 524. 12. ed. Reisk. ἔχει δ᾽ οὐχ οὕτω ταῦτα. οὐδ᾽ ἐγγύς. Markland. Rescribendum videtur, οὔ. πολλοῦ γε δεῖ. Jurin.

Πόθεν;] *Unde?* est particula vehementer negantis. Auger.

Πρὸς τὴν ἐμὴν ἀπαγγελίαν ἐψηφίσατο ἡ βουλὴ] Ita lege. Wolf. Recte, et ut Criticum decuit, noster Wolfius ἀπαγγελίαν pro ἐπαγγελίαν revocavit, quod erat ex prelo Aldino et Luteciano. Cum Wolfio, Bodl. Reg. *a.* et Harl. Attamen Ulpianum video aliter sentire. Interea Wolfius non eo acumine reddidit, quo re-

ἐψηφίσατο ἡ βουλὴ, καὶ τὴν μαρτυρίαν τὴν τοῦ γράψαντος αὐτὸ τότε, ἵν' εἰδῆθ' ὅτι ἐγὼ μὲν [1] οὐδὲ τότε σιγήσας, οὐδὲ νῦν ἀφίσταμαι τῶν πεπραγμένων, ἀλλ' εὐθὺς κατηγόρουν, καὶ [2] προεώρων τὰ μέλλοντα· ἡ βουλὴ δὲ ἡ μὴ κωλυθεῖσα ἀκοῦσαι τἀληθῆ παρ' ἐμοῦ, οὔτ' ἐπῄνεσε τούτους, οὔτ' εἰς τὸ πρυτανεῖον ἠξίωσε καλέσαι. καίτοι τοῦτο ἀφ' οὗ γέγονεν ἡ πόλις, οὐδεὶς πώποτέ [3] φησι παθεῖν οὐδένας πρέσβεις. οὐδὲ Τιμαγόραν, οὗ θάνατον κατεχειροτόνησεν ὁ δῆμος. ἀλλ' οὗτοι πεπόνθασι. λέγε δ' αὐτοῖς πρῶτον μὲν τὴν μαρτυρίαν, εἶτα τὸ προβούλευμα.

351 ## ΜΑΡΤΥΡΙΑ. ΠΡΟΒΟΥΛΕΥΜΑ.

Ἐνταῦθ' οὔτ' ἔπαινος, οὔτε κλῆσις εἰς τὸ πρυτανεῖόν ἐστι τῶν πρέσβεων ὑπὸ τῆς βουλῆς. εἰ δέ φησιν οὗτος, δειξάτω καὶ παρασχέσθω, κἀγὼ καταβαίνω. ἀλλ' οὐκ ἔστιν.

ιβ'. Εἰ μὲν τοίνυν ταὐτὰ πάντες ἐπρεσβεύομεν, δικαίως οὐδένα ἐπῄνεσεν ἡ βουλή· δεινὰ γὰρ ὡς ἀληθῶς τὰ πεπραγμένα πᾶσιν· εἰ δ' οἱ μὲν, τὰ δίκαια ἔπραττον ἡμῶν, οἱ δὲ, τἀναντία, διὰ τοὺς πεπονηρευμένους, ὡς ἔοικε, τοῖς ἐπιεικέσι συμβεβηκὸς ἂν εἴη, ταύτης τῆς ἀτιμίας μετεσχηκέναι. πῶς οὖν ῥᾳδίως ἅπαντες εἴσεσθε, τίς ποτ' ἐσθ' ὁ πονηρός; ἀναμνήσθητε παρ' ὑμῖν αὐτοῖς, τίς ἐσθ' ὁ κατηγορῶν τῶν πεπραγμένων ἐξαρχῆς. δῆλον γὰρ ὅτι τῷ μὲν ἠδικηκότι σιγᾷν ἐξήρκει, καὶ διακρουσαμένῳ τὸν παρόντα χρόνον, μηκέτ' εἰς λόγον περὶ τῶν πεπραγμένων ἑαυτὸν

[1] οὐ, τότε σιγήσας, νῦν [2] προωρώμην [3] φήσει

stituit: *quod me* referente *factum est*. Nequaquam. Hoc enim erat istius hominis, cujus testimonio jam est usurus, *τοῦ γράψαντος* scil. Istius enim erat *referre* ad Senatum, qui Decretum apud se habebat scriptum, paratumque, quod eorum suffragiis confirmari voluit—*et in acta referri*. Quod dicit hic Demosthenes, est hujusmodi: *Profer S. Ctum, quod factum est eo tempore, ubi Ego* legationem renunciavi, *atque etiam hominis istius testimonium*, quo referente, factum est id S. Ctum. TAYLOR.

Ἵν' εἰδῆθ' κ. τ. λ.] Verba sic ordina: *ἵνα εἰδῆτε, ὅτι ἐγὼ νῦν ἀφίσταμαι τῶν πεπραγμένων*, sc. *τοῖς συμπρέσβεσι, σιγήσας οὐδὲ τότε*. WOLF. Delendum ultimum istud οὐδὲ. Unde, et quare adderetur, obvium est. Præcessit nempe οὐδὲ τότε: putabant igitur οὐδὲ νῦν sequi oportere. MARKLAND. Postulare videtur sententia, ut rescribamus, οὐδὲ τότ' ἐσίγησα. JURIN. Vid. Var. Lect.

Κατηγόρουν] Verbum augetur, non Præpositio: quamvis ἀγορεύω, non ἀγορέω, dicatur, unde fit κατηγορέω. WOLF.

Οὐδὲ Τιμαγόραν] Hic legatus, Artaxerxe adorato, multis muneribus donatus est. Vide Suidam. WOLF. De hoc Timagora vide Plutarch. in Pelopida, et in Artaxerxe. PALMER.

Αὐτοῖς] *Ipsis* nempe, ut millies alias, vel Atheniensibus, vel auditoribus, vel judicibus. AUGER.

ιβ'. Ταύτης τῆς ἀτιμίας] F. τῆς αὐτῆς ἀτιμίας. MARKLAND.

καθιστάναι· τῷ δὲ μηδὲν αὑτῷ συνειδότι δεινὸν, εἰ [1] σιγῴη, πονηρῶν καὶ δεινῶν ἔργων [2] δόξα κοινωνεῖν τῷ σιωπῆσαι. εἰμὶ τοίνυν ὁ κατηγορῶν ἐξ ἀρχῆς ἐγὼ τούτων. τούτων δ' οὐδεὶς ἐμοῦ.

ιγ'. Ἡ μὲν τοίνυν βουλὴ ταῦτα προβεβουλεύκει, τῆς δ' ἐκκλησίας [3] γιγνομένης, καὶ τοῦ Φιλίππου παρόντος ἤδη [4] ἐν Πύλαις· ἦν γὰρ τοῦτο πρῶτον ἁπάντων τῶν ἀδικημάτων, τὸ τὸν Φίλιππον ἐπιστῆσαι τοῖς πράγμασι [5] τούτοις, καὶ δέον ὑμᾶς ἀκοῦσαι περὶ τῶν πραγμάτων, εἶτα βουλεύσασθαι, μετὰ ταῦτα δὲ πράττειν ὅ, τι δόξαι, ἅμα [6] ἀκούειν, κἀκεῖνον παρεῖναι, καὶ μηδ' ὅ, τι χρὴν ποιεῖν, ῥᾴδιον εἰπεῖν εἶναι· πρὸς δὲ τούτοις, τοῦτο μὲν οὐδεὶς ἀνέγνω
τῷ δήμῳ τὸ προβούλευμα, οὐδ' ἤκουσεν ὁ δῆμος, ἀναστὰς 352
δὲ οὗτος ἐδημηγόρει ταῦτα, ἃ διεξῆλθον ἄρτι πρὸς ὑμᾶς ἐγὼ, τὰ πολλὰ, καὶ μεγάλα ἀγαθὰ, ἃ πεπεικὼς ἔφη τὸν Φίλιππον ἥκειν, καὶ διὰ ταῦτα χρήματα [7] αὐτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. ὥσθ' ὑμᾶς, ἐκπεπληγμένους τῇ παρουσίᾳ [8] τὸ πρῶτον τῇ τοῦ Φιλίππου, καὶ τούτοις ὀργιζομένους ἐπὶ τῷ μὴ προηγγελκέναι, πρᾳοτέρους γενέσθαι τινὸς, πάνθ' ὅσα ἐβούλεσθε ὑμῖν ἔσεσθαι προσδοκήσαντας,

[1] * σιγῷη [2] * δόξει [3] γινομένης [4] ἐν Πύλαις ἤδη· (ἦν [5] * τούτους,) δέον [6] ἀκούειν συνέβη, κἀκεῖνον [7] αὐτῷ [8] τοπρῶτον

Τῷ δὲ μηδὲν κ. τ. λ.] Sequitur δόξει κοινωνεῖν. Est Ἀντίπτωσις, ἀντὶ τοῦ, ὁ δὲ μηδὲν αὑτῷ συνειδὼς—δόξει. Ac potius, lapsus memoriæ, ex eo, quod antecessit, τῷ μὲν ἠδικηκότι σιγᾷν ἐξήρκει. Nisi forte sit locus hic mendosus. WOLF. Sana non sunt: sed opinor, Demosthenem scripsisse: τῷ δὲ μηδὲν αὑτῷ συνειδότι δεινὸν, δεινὸν, εἰ σιγῴη, πονηρῶν καὶ δεινῶν ἔργων δόξαι κοινωνεῖν τῷ σιωπῆσαι. Non repugnabo tamen, si velis ejicere prius illud δεινόν. Utcunque sensus erit: *Sonti satis erat tacere, at insonti grave erat tacere, cum ex ipso silentio futurum erat, ut videretur particeps culpæ*. JURIN.

Δεινὸν] Δεινὸν εἰσήει, εἰ σιγῴη—δόξειν (vel δόξαι) κοινωνεῖν. Lambin. Jam autem pro δεινὸν εἰ σιγῴη, Cod. Aug. εἰσήει, εἰ σιγῴη. Forte τῷ δὲ μηδὲν αὑτῷ συνειδότι δεινὸν εἴη, εἰ σιγῴη, πονηρῶν—ἔργων δόξαι κοινωνεῖν, τῷ σιωπῆσαι. Vel fortasse, in hac inconstantia scribendi, voces εἰ σιγῴη irrepsisse poterant ex marginali glossa τοῦ, τῷ σιωπῆσαι. Utcunque verba ordinentur; sensus periodi est satis manifestus. TAYLOR.

Τῷ σιωπῆσαι] F. κοινωνεῖν τὸ σιωπῆσαι. MARKLAND.

ιγ'. Ἦν γὰρ τοῦτο πρῶτον] F. τὸ πρῶτον, ut §. οἰ. καὶ τοῦτ' ἔστι τῶν ἐγκλημάτων τὸ πρῶτον. IDEM.

Τὸ τὸν Φίλιππον ἐπιστῆσαι τοῖς πράγμασι τούτοις] Id est, *hoc egisse, ut Philippus imparatos opprimeret*. ut enim παριστάναι significat *sistere ad judicium*, ita ἐφιστάναι est sistere aliquem, et, ut præsto sit, vel præsens, facere, et ut inter negotium tractandum adveniat, etiam ut interdum importunus adsit, et tractantes, agentesque opprimat. *Ex edit*. HERVAG.

Ἅμα ἀκούειν] Ἅμα ὑμᾶς ἀκούειν. MARKLAND.

Πρὸς δὲ τούτοις] Malim πρὸς δὲ τούτοις. Alioqui erit ἀνανταπόδοτον. WOLF.

Αὐτῷ] Αὐτῷ. Vid. §. κέ. in *fin*. MARKLAND. Vid Var. Lect.

Τινὸς] Alii τέως, πάνθ' ὅσα βούλεσθε. WOLF. Utinam dixisset, quinam illi *alii* essent. REISK. μέχρι τινός? MARKLAND. τινὸς supervacuum est, vel πρᾳοτέρους τινὸς significat *paulo leniores*. AUGER.

καὶ μηδὲ φωνὴν ἐθέλειν [1] ἀκούειν ἐμοῦ, μηδ' ἄλλου μηδενός. καὶ μετὰ ταῦτα ἀνεγινώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ τοῦ Φιλίππου, ἣν οὗτος ἔγραψεν, ἀπολειφθεὶς ἡμῶν, ἄντικρυς οὑτωσὶ, καὶ διαῤῥήδην ἀπολογία γεγραμμένη τῶν τούτοις ἡμαρτημένων. καὶ γὰρ ὡς αὐτὸς κατεκώλυσεν αὐτοὺς, βουλομένους ἐπὶ τὰς πόλεις ἰέναι, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν, ἔνεστι, καὶ ὡς, ἵνα συνδιαλλάττωσιν αὐτῷ τοὺς Ἀλεῖς πρὸς τοὺς Φαρσαλίους, κατέσχεν αὐτοὺς, καὶ πάντα ἀναδεχόμενος, καὶ εἰς ἑαυτὸν ποιούμενος τὰ τούτων ἁμαρτήματά ἐστιν· ὑπὲρ δὲ Φωκέων, ἢ Θεσπιέων, ἢ ὧν οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, ἀλλ' οὐδὲ μικρόν. καὶ τοῦτο οὐκ ἀπὸ ταυτομάτου τοῦτον ἐπράχθη τὸν τρόπον, ἀλλ' ὑπὲρ μὲν ὧν παρὰ τούτων ὑμᾶς ἔδει δίκην λαμβάνειν, οὐ πεποιηκότων, οὐδὲ διῳκηκότων οὐδὲν, ὧν ὑμεῖς προσετάξατε ἐν τῷ ψηφίσματι, ἐκεῖνος [2] ἐνδέχεται τὴν αἰτίαν, καί φησιν αὐτὸς αἴτιος γεγενῆσθαι, ὃν οὐκ ἐμέλλεθ' ὑμεῖς, οἶμαι, δυνήσεσθαι κολάσαι· ἃ δ' ἐκεῖνος ἐξαπατῆσαι, καὶ προλαβεῖν τῆς πόλεως ἐβούλετο, οὗτος ἀπήγγειλεν, ἵνα μηδ' ἐγκαλέσαι,
353 μηδὲ μέμψασθαι μηδὲν ὕστερον ὑμεῖς ἔχητε Φιλίππῳ, μήτ' ἐν ἐπιστολῇ, μήτ' ἄλλοθι μηδαμοῦ [3] τοῖς παρ' ἐκείνου τούτων [4] ὄντων. λέγε δ' αὐτοῖς αὐτὴν τὴν ἐπιστολὴν, ἣν ἔγραψε

1 ἀκούειν ἐθέλειν 2 ἐνδέχεται 3 τῶν 4 ἐνόντων

Ἀλεῖς] Ita Cod. Aug. Alii Ἄλεις, accentu ad penult. retracto: Ἀλέας legit Harpocratio, cum hunc locum laudat. Vide, quæ dixit Maussacus de ea re, atque de hoc populo. Taylor.

Ὑπὲρ] Περὶ Lind. et Ven. Quod rectius. Uti infra §. ιγ'. *in fin.* Ubi similiter περὶ Codd. plurimorum auctoritatem habet, et locum habet in Textu, quem et hic quoque occupare debuit. Idem.

Φωκέων ἢ Θεσπιέων] Post recitatam epistolam Philippi, §. ιγ'. *in fin.* ubi eadem repetuntur, (et repeti solent, quæ præmittebantur: nam in uno loco prædicit, quæ erant ab epistola exspectanda, in altero admonet, ea evenisse, quæ prædixerat) in eo, inquam, loco, nihil reperimus de Thespiensibus, verum verba Oratoris sunt, περὶ Θηβαίων, ἢ Φωκέων, ἢ τῶν ἄλλων, ὧν οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, οὐδὲ γρύ. Plane ut in hoc loco, verbis iisdem. Et recte sane. Nam in tota hac Tragœdia Thespienses secundarum tantum partium erant: primas utique agebant Phocenses et Thebani. Quibus, sat scio, benevolus lector postliminium dabit. Similiter peccatum est infra, §. λϛ'. in init. Ubi vide Lambinum. Idem.

Ἀλλ' οὐδὲ μικρὸν] Τὸ ἀλλ' παρέλκει ἐμφατικῶς. Wolf.

Ἐκεῖνος ἐνδέχεται τὴν αἰτίαν, καί φησιν αὐτὸς αἴτιος γεγενῆσθαι] De infinitivi natura, quod non modo accusativum, sed etiam ante se nominativum poscat apud Græcos, vel in contextu orationis existentem, vel subauditum, vide Comment. Bud. et in Orat. κατὰ Μειδίου. *Ex edit.* Hervag.

Τοῖς] F. Ἐν τοῖς, ut ἐν ἐπιστολῇ. Markland.

Τοῖς παρ' ἐκείνου] Subaudi γράμμασι. τούτων dicitur de his quæ Æschines nuntiaverat. Auger.

Τούτων ὄντων] Forte, ἐνόντων τοῖς παρ' ἐκείνου, sc. λόγοις, ἢ ἔργοις. Alioqui duriuscula fuerit Ellipsis. Wolf. Idem alibi conjecerat, ὡς παρ' ἐκείνου τούτων ὄντων. Taylor. Vid. Var. Lect.

μὲν οὗτος, ἔπεμψε δ᾽ ἐκεῖνος· καὶ σκοπεῖθ᾽ ὅτι τοῦτον ἔχει τὸν τρόπον, ὃν διεξελήλυθα ἐγώ. λέγε.

ΕΠΙΣΤΟΛΗ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ἐπιστολῆς, ὡς καλὴ καὶ φιλάνθρωπος. περὶ δὲ Θηβαίων, ἢ [1] Φωκέων, ἢ τῶν ἄλλων, ὧν οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, οὐδὲ γρύ.

ιδ΄. Ταύτης τοίνυν οὐδοτιοῦν ἐστὶν ὑγιές· καὶ τοῦτο αὐτίκα δὴ μάλα ὑμεῖς ὄψεσθε. οἱ μὲν γὰρ Ἀλεῖς, οὓς ἵνα συνδιαλλάττωσιν, ἐκεῖνος κατασχεῖν φησὶ τούτους, τοιαύτης τετυχήκασι τῆς διαλλαγῆς, ὥστ᾽ ἐξελήλανται, καὶ ἀνάστατος ἡ πόλις αὐτῶν γέγονε· τοὺς δὲ αἰχμαλώτους, ὁ σκόπων τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο, οὐδ᾽ ἐνθυμηθῆναί φησι λύσασθαι. μεμαρτύρηται δὲ δήπουθεν ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ὡς ἐγὼ τάλαντον ἔχων ἐπ᾽ αὐτοὺς ᾠχόμην, καὶ [2] νῦν μαρτυρηθήσεται. διὸ καὶ τὴν ἐμὴν φιλοτιμίαν οὗτος ἀφαιρούμενος, τοῦτ᾽ ἔπεισεν ἐκεῖνον ἐγγράψαι. ὃ τοίνυν μέγιστον ἁπάντων. ὁ γὰρ εἰς τὴν προτέραν γράψας ἐπιστολὴν, ἣν ἠνέγκαμεν ἡμεῖς, ὅτι ἔγραφον [3] μὲν ἂν καὶ διαῤῥήδην ἡλίκα ὑμᾶς εὖ ποιήσω, εἰ εὖ ᾔδειν καὶ τὴν συμμαχίαν μοι γενησομένην, γεγονυίας [4] δὲ τῆς συμμαχίας, οὔ φησιν εἰδέναι τί ἂν ποιῶν χαρίσαιτο, οὐδ᾽ [5] ὃ αὐτὸς

[1] φωκέων, ἢ Θηβαίων [2] νῦν δὲ [3] δ᾽ [4] Deest δέ. [5] ἃ

Καὶ σκοπεῖθ᾽ ὅτι] Num ita se illa habent, ut ego exposui. Malim, καὶ σκοπεῖτε, εἰ τοῦτον. Wolf.

Οὐδὲ γρὺ] Sic et Aristophanes [Plut. v. 17.] ἀντὶ τοῦ, μηδὲ τοὐλάχιστον προσέγραψε. Idem.

ιδ΄. Τούτους] Τοὺς πρεσβευτάς. Idem.

Ἀνάστατος] Ἀνάσπαστος Ven. Ask. marg. Benen. Ital. Obsop. et MSS. Manut. et Felician. sed præter rem. "Ἀνάσπαστος," inquit Vir longe celeberrimus ad Chariton. Aphrodis. III. 7. "ferri posset, si non de Civibus jam præcessisset ἐξελήλαντο. Quare ἀνάστατος, ut in §. ϛά. post med. legitur ἀνάστατος χώρα, prætulerim: ut apud Sophocl. Trachin. 244." A contraria tamen parte omnino stat Valesius, pag. Animadv. ad Maussacum, 212. Ubi contendit, Halum eversam non fuisse, sed traditam Pharsaliis, ejusque Incolas abductos et in servitutem redactos. Tales vocari solere ἀνασπάστους multis et luculentis confirmat testimoniis Vir ille eruditissimus. Optaverim adductum esse vel unicum saltem locum, ubi πόλις, Urbs ipsa, aut χώρα, ἀνάσπαστος dicitur. Taylor.

Ἀφαιρούμενος] Malim, etiam tacitis Exemplaribus, ὑφαιρούμενος: quoniam fraude magis, quam vi, hæc geri video. Idem.

Ὁ γὰρ εἰς] Plane delendum videtur γάρ. Jurin. Ut in Bodl. deprehendi. Taylor.

Γράψας] F. ἐγγράψας, ut §. ιζ΄. in fin. Markland.

Δὲ] Abundat δὲ, ut in Midian. pag. 547. 6. Ed. Reisk. Nisi hic legendum ἤδη, ut §. κζ΄. *ante med.* Quod verius puto. Markland. Vel δὴ cum emphasi bene nota: γεγονυίας δὴ τῆς συμμαχίας—*is, conflata* demum *ea, quam dixi, societate*—Atque ita video in Bodl. et Ital. Desideratur quidem δὲ in Harl. Lind. et Regg. α. ϐ. δ. ε. η. Taylor.

Οὐδ᾽ ὃ αὐτὸς ὑπέσχετο] S. εἰδέναι. Se ne-

ὑπέσχετο· τοῦτο γὰρ ᾔδει δηλονότι, εἴ περ μὴ ἐφενάκιζεν
354 ὑμᾶς. ἀλλὰ μὴν, ὅτι ταῦθ᾽ [1] οὗτος ἔγραψε, λέγε μοι λαβὼν ἐκ τῆς προτέρας ἐπιστολῆς αὐτὸ τοῦτο ἐνθένδε. λέγε.

ΕΞ ΕΠΙΣΤΟΛΗΣ.

Οὐκοῦν, πρὶν μὲν εἰρήνης τυχεῖν, εἰ καὶ συμμαχία προσγένοιτ᾽ αὐτῷ, γράψειν ὡμολόγει ἡλίκα τὴν πόλιν εὖ ποιήσει· ἐπειδὴ δὲ ἀμφότερα αὐτῷ γέγονεν, [2] οὐκ εἰδέναι φησὶ, τί ἂν ποιῶν χαρίσαιτο. ἐὰν δ᾽ ὑμεῖς λέγητε, ποιήσειν ἃ μήτε αἰσχύνην, μήτε ἀδοξίαν αὐτῷ φέρει, εἰς ταύτας τὰς προφάσεις [3] καταφεύγων, κἂν ἄρα εἴπητέ τι, καὶ προαχθῆτε ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν ἑαυτῷ [4] καταλείπει.

[1] οὕτως τότε ἔγραψε [2] οὐ φησὶν εἰδέναι [3] καταφεύγων, ἵνα, κἂν [4] καταλείπῃ

scire, quidnam promiserit. Hoc est, negat, se quicquam esse pollicitum Atheniensibus. Hoc malo, quam, *negat, se scire id, quod vobis promisit.* Videtur enim ad Philippum ὑποθετικῶς, non ad Demosthenem ἀποφαντικῶς referendum. WOLF. Wolfius, *neque quicquam promisisse.* Minime ad mentem Demosthenis, qui hunc in modum intelligendus est: *ait, se nescire, qua in re vobis gratum facere possit, ne illud quidem excipiens, quod ipse promiserat.* JURIN.

Τί ἂν ποιῶν κ. τ. λ.] Distinguendum—τί ἂν ποιῶν χαρίσαιτο. Οὐδ᾽ ὃ αὐτὸς ὑπέσχετο; τοῦτο γὰρ ᾔδει δηλονότι etc. *neque scire se, qua re vobis gratificetur. Quid?* (inquit Orator indignabundus) nescivit, *quod ipse promiserat? Fieri certe non potest, ut hoc nesciret, nisi vobis illuderet.* Par istud, et ejusdem caloris in Leptin. p. 506. 8. Ed. Reisk. μηδ᾽ ἂν τοιοῦτοί τινες γένωνται, Λεπτίνη; MARKLAND.

Οὗτος ἔγραψε] Πότερος, Φίλιππος, ἢ Αἰσχίνης; WOLF. Codd. complures, quasi fere caverent a Wolfii dubitatione, non οὗτος, sed οὕτως, vel οὕτω. TAYLOR. Vid. Var. Lect.

Ἐνθένδε] Potius ita mecum: λέγε μοι—αὐτὸ τοῦτο. Ἐνθένδε λέγε. *Begin at this place.* Non enim totæ literæ Philippi jam perlectæ erant, sed earum particula. Sequitur enim, ΕΞ ΕΠΙΣΤΟΛΗΣ. Simile occurrit in ea Æschinis, quæ c. Ctesiphontem est, pag. 494. 1. Ed. Reisk. cum particulam ex psephismate excerpi et a Scriba legi voluit, ὅτι δ᾽ ἀληθῆ λέγω, ἀφελὼν τὸν νόμον—ἐκ τοῦ ψηφίσματος, ἀνάγνωθι, καὶ τοῦ κλέμματος ἅψαι—*Istud membrum decreti attinge, ubi continetur Fraus et Impostura hominis, cæteris omissis.* E contrario, ubi Scriba non excerperet, sed totum continuo recitaret, ibi dicitur, φέρε—τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς. De Corona, §. κγ΄. in init. Et dixerat paulo superius, περὶ πάντων ἐρῶ καθέκαστον ἐφεξῆς, καὶ οὐδὲν ἑκὼν παραλείψω. Non tantum *juxta ordinem et seriem,* quantum *continuo: perpetuo tenore: ab initio usque ad finem.* TAYLOR.

Ἐὰν δ᾽ ὑμεῖς λέγητε κ. τ. λ.] Totam fere hanc periodum male vertit Interpres. Sensus est: *quod si vos eum certiorem feceritis,* sc. quibus in rebus civitati gratum facere possit, *se ea facturum, quæ sibi nec pudori, nec dedecori, futura sint, ad has excusationes confugiens, ut etiam si vos animum inducatis ad aliquid proferendum et postulandum, hunc receptum sibi relinquat.* JURIN.

Ποιήσειν] Adde vel potius subaudi φήσει. AUGER.

Αὐτῷ] Scr. αὑτῷ, *sibi.* MARKLAND.

Εἰς ταύτας τὰς προφάσεις] S. περὶ τῆς συμμαχίας. Nam τὰ μήτε αἰσχύνην μήτε ἀδοξίαν αὐτῷ φέροντα, nondum etiam sunt συμμαχία. WOLF.

Κἂν ἄρα εἴπη τέ τι] Sub. ὁ Φίλιππος. Sin τὸ εἴπητε una vox numeri pluralis fuerit, pro, *et ipse dixerit,* repone, *et si sane et dixeritis aliquid, et ad pollicendum adducti fueritis.* Sed prior sententia magis mihi probatur. WOLF. F. εἴπῃ τι, καὶ προαχθῇ ὑμῖν ἐπαγγείλασθαι, etc. Etiam si

ιϛ. Ταῦτα τοίνυν, καὶ πολλὰ ἕτερα ἐνῆν παραχρῆμα τότ᾽ εὐθὺς ἐξελέγχειν, καὶ διδάσκειν ὑμᾶς, καὶ μὴ προΐεσθαι τὰ πράγματα ἐᾶν, εἰ μὴ Θεσπιαὶ, καὶ Πλαταιαὶ, καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην ἀφείλετο τὴν ἀλήθειαν. καί τοι ταῦτα, εἰ μὲν ἀκοῦσαι μόνον ἔδει, καὶ φενακισθῆναι τὴν πόλιν, ὀρθῶς ἐλέγετο· εἰ δὲ πραχθῆναι τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν. εἰ μὲν γὰρ ἐνταῦθ᾽ ἦν ἤδη τὰ πράγματα, ὥστε μηδ᾽ αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ γέγονεν; εἰ δὲ παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ἀλλ᾽ οὔτε [1] ἔμελλεν, οὔτ᾽ ἠβουλήθη ταῦτ᾽, οὔτ᾽ ἤλπισεν οὗτος· ὥς τε τοῦ γε ἐκλελαληκέναι μηδ᾽ αἰτίαν ἐχέτω. ἀλλὰ φενακισθῆναι τοῖς λόγοις τούτοις ὑμᾶς ἔδει, καὶ ἐμοῦ τἀληθῆ μὴ ἐθελῆσαι ἀκοῦσαι, καὶ αὐτοὺς οἴκοι καταμεῖναι, καὶ ψήφισμα νικῆσαι τοιοῦτον, δι᾽ οὗ Φωκεῖς ἀπολοῦνται· διὰ ταῦτ᾽ ἐσπαθᾶτο ταῦτα, καὶ διὰ ταῦτ᾽ ἐδη- 355
μηγορεῖτο.

[1] ἤμελλον

aliquid certi dicat, et eo procedat, ut polliceatur vobis, etc. Vulgata est ab Interpolatione. Cum enim facili aberratione scriptum fuisset εἴπητέ τι, pro εἴπῃ τι, jam necesse erat, ut προαχθῇ mutaretur in προαχθῆτε, et ὑμῖν in ὑμεῖς. Markland. Juxta mentem et interpretationem Scholiastæ, quem aliquoties juvabit in consilium adhibere, minima arte, aut fidiculis opus erit ad sanum sensum ex his verbis eliciendum. Ἐπαγγείλασθαι enim, ut pluribus ostendi ad Arg. post. h. Or. *in fin.* aliquando est, *rogare*, aut *postulare*. Atque ita hic exponit Ulpianus: Ἐπαγγείλασθαι] ἀντὶ τοῦ, αἰτῆσαι. Vide ergo: *Philippus ait* (pene cum servulo Terentiano): *Aliquid invenite modo, Athenienses, quod ametis: utilitatem in ea re faciam ut cognoscatis meam. Quod si vos ea oratione deliniti adducamini, ut aliquid ab eo re vera peteretis, protinus sibi perfugium quærit: vobis autem nihil nisi illud relictum — Quo promissa cadunt!* Et profecto cum exemplaribus, quæ sunt præstantiora, totam hanc periodum reformo:—εἰς ταύτας τὰς προφάσεις καταφεύγει, ἵνα, κἂν ἄρα εἴπητέ τι, καὶ προαχθῆτε ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν ἑαυτῷ καταλείπῃ. Taylor.

ιϛ. Παραχρῆμα—εὐθὺς] Hæc nonnullis Glossam forte sapere posse videantur: Mihi quidem emphasin non mediocrem continere. Neque tamen interea significationem habent plane identicam, ut bene exposuit Wolfius in sua interpretatione. Idem.

Εἰ μὴ Θεσπιαὶ—καὶ τὸ Θηβαίους—ἀφείλετο] Ἀντὶ τοῦ, ἀφείλοντο. Retulit καθ᾽ ὑπόζευξιν verbum ad postremam clausulam. Wolf.

Πλέον εἶναι μηδὲν] *Ut nec—quidquam proficerent.* Idem. Inficetissime, quod unquam vidi. Dixi ad Aristocrateam, 642. 25. Ed. Reisk. Taylor.

Παρὰ τὸ προαισθέσθαι] Legendum opinor παρὰ τοῦ, vel διὰ τό. Jurin. Minime. Τὸ παρὰ in hoc loco, ut frequenter, vim habet τοῦ διά. Taylor.

Οὔτε ἔμελλεν] Sc. ὁ Φίλιππος ταῦτα ποιήσειν: Wolf.

Οὔτε ἔμελλεν κ. τ. λ.] Sensus et Lingua, opinor, volunt: ἀλλ᾽ οὔτε ἔμελλεν αὐτὸς, (vel ἐκεῖνος) οὔτ᾽ ἠβουλήθη ταῦτ᾽, οὔτ᾽ ἤλπισεν οὗτος. *Sed neque facturus erat ille* (sc. Philippus), *neque hæc voluit, nec speravit hic*, sc. Æschines: ἔμελλε, nempe ποιήσειν. Markland.

Οὔτ᾽ ἤλπισεν οὗτος] Sc. ὁ Αἰσχίνης. Wolf.

Ἐσπαθᾶτο] Ulpiani glossæ, quæ hic est melioris notæ, conjunge Etym. M. 384. 44. Harpocr. et Suid. in v. Ἐσπαθᾶτο. Confer etiam Cl. Albert. ad 1. Timoth. V. 6. et Illustriss. Ezech. Span-

ιϛʹ. Ἀκούων τοίνυν ἐγὼ τηλικαῦτα καὶ [1] τοιαῦτα ἐπαγγελλομένου τούτου τότε, καὶ ἀκριβῶς εἰδὼς ὅτι ψεύδεται,— καὶ ὅθεν, φράσω πρὸς ὑμᾶς· πρῶτον μὲν, ἐκ τοῦ, ὅτε τοὺς ὅρκους ἤμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόνδους ἀποφανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾶν, καὶ ἐᾶν εἰκὸς ἦν, εἴπερ [2] ἔμελλον σώσεσθαι· ἔπειτα, ἐκ τοῦ, μήτε τοὺς παρὰ Φιλίππου πρέσβεις ταῦτα λέγειν, μήτε τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἀλλὰ τοῦτον —, ἐκ τούτων οὖν τεκμαιρόμενος, ἀναστὰς καὶ παρελθὼν, ἐπειρώμην μὲν ἀντιλέγειν. ὡς δ' ἀκούειν οὐκ ἠθέλετε, ἡσυχίαν ἔσχον, τοσοῦτον μόνον διαμαρτυράμενος,— καὶ πρὸς Διὸς καὶ θεῶν ἀναμιμνήσκεσθε —, ὅτι ταῦτα οὔτε οἶδα, οὔτε κοινωνῶ, προσέθηκα δὲ, ὡς οὐδὲ προσδοκῶ. τραχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσδοκᾶν σχόντων, καὶ ὅπως γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην, ἄν τι τούτων γίγνηται, τούτους μὲν ἐπαινέσετε, καὶ τιμήσετε, καὶ στεφανώσετε, ἐμὲ δὲ, μή· καὶ μέν τοι κἄν τι τῶν ἐναντίων, ὅπως τούτοις ὀργιεῖσθε, ἐγὼ δὲ, ἀφίσταμαι. μὴ νῦν, [3] ὑπολαβὼν ἔφη Αἰσχίνης οὑτοσὶ, μὴ νῦν ἀφίστασο· ἀλλ' ὅπως τότε μὴ προσποιήσῃ. νὴ Δία,

[1] τοιαῦτα καὶ τηλικαῦτα [2] ἤμελλον σώζεσθαι [3] ὑπολ. Αἰσχ. οὑτ., μὴ νῦν ἀφίστασο, ἔφη.

heim. ad Aristoph. Nub. v. 55. Cod. Aug. servavit hocce scholiolum: sc. ἐσπάθᾶτο] ὑφαίνετο, κατισκευάζετο, κατεδαψιλεύετο. l. κατεδαψιλεύετο. Taylor.

ιϛʹ. Εἰδὼς, ὅτι ψεύδεται κ. τ. λ.] Est prolixa Ἐπεμβολὴ, qualem et supra notavi. Ἀπόδοσις prioris membri, sive προτάσεως, quæ est, εἰδὼς, ὅτι ψεύδεται, sequitur his verbis, ἐκ τούτων οὖν τεκμαιρόμενος [v. 9.] mutato participio, et addito οὖν. Huc illud Ciceronis II. de Orat. pertinere puto: *Quum Demosthenis spiritus esset angustior, tantum continenda anima in dicendo est assecutus, ut una continuatione verborum, id quod ejus scripta declarant, binæ ei contentiones vocis et remissiones continerentur.* Sed quis scit, an ita locutus sit, ut scripsit? Wolf.

Ταῦτα οὔτε οἶδα, οὔτε κοινωνῶ] S. τούτων. Verba diversæ Constructionis conjuncta eodem casu. Nam τὸ κοινωνῶ Dativo et Genitivo fere jungitur, ut in Aristogit. μηδένα μηδενὸς τούτῳ κοινωνεῖν. Illud autem, κοινωνίαν κοινωνεῖν, communis Atticismus est, non propria verbi constructio. Mox τραχέως δὲ, et καὶ ὅπως γε, ὦ ἄνδρες. Idem.

Τραχέως] Pro ταχέως, τραχέως MS. Quam ego veram lectionem esse puto. Est enim referendum ad sequens participium σχόντων, *aspere, acerbe ferentibus vobis*, etc. Proclivis autem lapsus librarii fuit ex τραχέως in ταχέως, unica omissa litera ρ. Obsop. Vid. Var. Lect.

Τραχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσδοκᾶν σχόντων] *Cum autem vos ægre, asperequе hoc tulissetis, quod dixissem me ne ea quidem sperare: Et facite, inquam, o viri Athenienses, ut si quid horum fiat quod vobis promittitur, ut istos collaudetis, et honoribus afficiatis, et coronis donetis, in me autem nihil horum conferatis. At vero si quid in contrarium cesserit, videte etiam, ut istis succenseatis, non mihi, qui rem totam ad me nihil pertinere contestatus sum.* Idem, ὅπως τοίνυν τὰ περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς, *Nihil igitur de rebus bellicis dixeris*, quæ minime ad rem quæ agitur attinent. Convenit autem et indicativo et subjunctivo ὅπως. *Ex edit.* Hervag.

Ἐγὼ δὲ ἀφίσταμαι] Ac si diceret, ad me vero harum rerum vel præmii, vel offensionis nihil pertinere volo, idque contestor. Dicunt enim ἀφίσταμαι τῶν πραγμάτων, ἀντὶ τοῦ, μακρὰν εἰμι. Hoc est, *non sum particeps, non communico consilia cum aliis, nolo implicari.* Idem.

ἀδικήσω γ᾽ ἔφην. ἐπαναστὰς δ᾽ ὁ Φιλοκράτης μάλα ὑβριστικῶς, οὐδέν ἐστιν, ἔφη, θαυμαστὸν, ὦ ἄνδρες Ἀθηναῖοι, [1] μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δὲ οἶνον πίνω. καὶ ὑμεῖς ἐγελᾶτε.

ιζ΄. Σκέψασθε δὴ τὸ ψήφισμα, ὃ δίδωσι [2] γράψαι μετὰ ταῦτα ὁ Φιλοκράτης. ἀκοῦσαι μὲν γὰρ οὑτωσὶ, παγκάλως ἔχει· ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις, ἐφ᾽ ὧν ἐγράφη, καὶ τὰς ὑποσχέσεις, ἃς οὗτος ὑπισχνεῖτο πότε, 356 οὐδὲν ἄλλο φανήσονται, πλὴν παραδόντες Φιλίππῳ καὶ Θηβαίοις Φωκέας, μόνον οὐκ ὀπίσω τὼ χεῖρε δήσαντες. λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ψήφισμα, ὅσων ἐπαίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστι· καὶ τὴν εἰρήνην εἶναι τὴν αὐτὴν ἥν περ Φιλίππῳ, καὶ τοῖς [3] ἐκγόνοις, καὶ τὴν συμμαχίαν· καὶ ἐπαινέσαι δὲ Φίλιππον, ὅτι ἐπαγγέλλεται τὰ δίκαια ποιήσειν. ἀλλ᾽ οὐδὲν ἐκεῖνός γε ἐπηγγέλλετο, ἀλλὰ τοσούτου [4] γε ἔδει ἐπαγγέλλεσθαι, ὥστ᾽ οὐδ᾽ εἰδέναι φησὶ, τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο· ἀλλ᾽ οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. πρὸς δὲ τοὺς παρὰ τούτου λόγους ὡρμηκότας ὑμᾶς [5] λαβὼν ὁ Φιλοκράτης, ἐγγράφει τοῦτο εἰς τὸ ψήφισμα· ἐὰν δὲ μὴ ποιῶσι Φωκεῖς ἃ δεῖ, καὶ παραδιδῶσι τοῖς Ἀμφικτυόσι τὸ ἱερὸν, ὅτι βοηθήσει ὁ δῆμος ὁ Ἀθηναίων ἐπὶ τοὺς διακωλύοντας [6] αὐτὰ γίγνεσθαι.

[1] εἰ μὴ——δοκεῖ [2] γράψας [3] ἐγγόνοις [4] [γε] [5] λαβὼν ὑμᾶς [6] ταῦτα

ιζ΄. Ἀκοῦσαι μὲν γὰρ etc.] In tribus Editionibus Conversionis meæ sic legitur: *Hic enim orationis ordo perquam opportunus est.* Quæ verba nescio quomodo irrepserint in eorum locum, quæ sunt in Græco: *nam obiter quidem auditu sane preclarum est; sed si quis etc.* Nisi forte in Veneta Editione Feliciani, quam nunc ad manum non habeo, scriptum fuit: αὕτη γὰρ ἡ τάξις τοῦ λόγου πάνυ καλῶς ἔχει. Sic enim lego pro παγκάλως. Sed Hervagiana vetus magis probatur. Wolf. πάνυ καλῶς plerique e nostris. Tayl.

Συλλογίσηται] Ita recte reposuit Wolfius, et conjecit Lambinus, pro συλλογήσηται Parisiensium. Ulpianus enim modo: ἐκ τῶν χρόνων βούλεται συλλογίσασθαι τὴν ἀπόδειξιν. Idem.

Καὶ τοῖς ἐγγόνοις] M. ἐκγόνοις. Etsi non adeo multum interest. Wolf. ἐγγόνοις Benenatus, et Editi: Codd. tamen α. δ. ε. Ask. Lind. Obsop. Harl. et MSS. Felician. uti maluit Wolfius. Ita exaratur infra §. ιθ΄. a *med.* et *in fin.* §. λ΄. *post med.* §. ϛ΄. *in fin.* Ita etiam in Orat. c. Neær. c. Macartat. Philipp. II. De Corona, et Epist. Philipp. Vide Cl. D'Orvillium ad Chariton. Aphrodis. pag. 209. Taylor.

Αὐτὰ] Forte, αὐτὸ, S. τὸ πρᾶγμα, ἢ αὐτὴν, τὴν παράδοσιν τοῦ ἱεροῦ τοῖς Ἀμφικτύοσι. Wolf.

ιη'. Οὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, μενόντων μὲν ὑμῶν οἴκοι καὶ οὐκ ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν Λακεδαιμονίων καὶ προησθημένων τὴν ἀπάτην, οὐδενὸς δ' ἄλλου παρόντος τῶν Ἀμφικτυόνων πλὴν Θετταλῶν καὶ Θηβαίων, εὐφημότατα ἀνθρώπων, τούτοις παραδοῦναι [1] γέγραφε τὸ ἱερὸν, γράψας τοῖς Ἀμφικτύοσι παραδοῦναι. ποίοις; οὐ γὰρ ἦσαν αὐτόθι, πλὴν Θηβαῖοι, καὶ Θετταλοί. ἀλλ' οὐδὲ [2] συγκαλέσαι τοὺς Ἀμφικτυόνας, οὐδ' ἐπισχεῖν ἕως ἂν συλλεγῶσιν, οὐδὲ βοηθεῖν Πρόξενον εἰς Φωκέας, οὐδ' ἐξιέναι
357 Ἀθηναίους, οὐδὲ τοιοῦτον οὐδέν. καί τοι καὶ ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιππος δύο, καλούσας ὑμᾶς, οὐχ ἵν' ἐξέλθητε. πώμαλα. οὐ γὰρ [3] ἄν ποτε τοὺς χρόνους ἀνελὼν, ἐν οἷς ἠδυνήθητ' ἂν ἐξελθεῖν, τηνικαῦτα ἐκάλει, οὐδ' ἂν ἐμὲ, ἡνίκα δεῦρο ἀποπλεῖν ἐβουλόμην, κατεκώλυεν, οὐδὲ τοιαυτὶ λέγειν τούτῳ προσέταττεν, ἐξ ὧν ὑμεῖς [4] ἥκιστα ἐμέλλετε ἐξιέναι· ἀλλ' ἵν' ἃ [5] ἐβούλεσθε οἰόμενοι πράξειν αὐτὸν, μηδὲν ἐναντίον ψηφίσαισθε αὐτῷ, μηδ' ἀμύνοιντο, μηδ' ἀντέχοιεν οἱ Φωκεῖς, [6] ἐπὶ ταῖς παρ' ὑμῶν ἐπέχοντες ἐλπίσιν, ἀλλ' ἀπογνόντες ἅπαντες, ἑαυτοὺς ἐγχειρίσαιεν. λέγε δ' αὐτοῖς αὐτὰς τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

[1] γέγραφε παραδοῦναι [2] συγκαλέσαι ἔδει ἀμφικτύονας
[3] ἄν, * τότε τοὺς χρόνους * οὐκ ἀνελὼν [4] ἥκιστα ὑμεῖς ἠμέλλετ' [5] ἠβούλεσθε
[6] ἐπὶ * τι ταῖς παρ' ὑμῶν ἐπανέχοντες

ιε'. Οὐδενὸς — πλὴν — Θηβαίων] Paulo post οὐ γὰρ ἦσαν αὐτόθι πλὴν Θηβαῖοι. Sic fere τὸ πλὴν cum antecedente casu consentit. Idem.

Εὐφημότατ' ἀνθρώπων] Ἀντὶ τοῦ, πάντων εὐφημότατα. Idem. Vid. Var. Lect.

Ἀλλ' οὐδὲ κ. τ. λ.] Vide, annon præstet hæc lectio e plurimis MSS. consarcinata? ἀλλ' οὐ συγκαλέσαι δὲ ἔδει τοὺς Ἀμφικτυόνας; *Verum nonne oportuit convocare saltem Amphictyonas?* Deinde οὐδ' ἐπισχεῖν —; οὐδὲ βοηθεῖν Πρόξενον —; οὐδ' ἐξιέναι Ἀθηναίους; οὐδὲ τοιοῦτον οὐδέν. *Ne minimum horum omnium.* Taylor.

Καίτοι] Hoc, et quæ sequuntur verba, sunt verba Adversarii, qui hac ratione se tueri conatur. *Atqui* (dicet sc. Æschines) *literas binas misit Philippus, quæ vocarent vos.* Hucusque ille. Punge igitur ad ista verba. Deinde regerit Demosthenes: Οὐχ ἵνα ἐξέλθοιτε. πώμαλα. In ea fere mente est Ulpianus quoque, quem prætera consulere de voce πώμαλα operæ erit pretium, ut conferantur ea, quæ illic habet, cum iis, quæ protulere de ista voce Suidas, Harpocratio, Magister, etc. ad hunc locum Demosthenis respicientes. Idem.

Ἀλλ' ἵνα ἐβούλεσθε] Ἀλλ' ἵν' ἃ ἐβούλεσθε. Wolf.

Ἐπέχοντες] Judicii plena sunt, quæ habet, sive Budæus sit, sive H. Stephanus, Thes. Gr. Tom. I. col. 1336. Igitur exscribo. "Ἐπανέχοντες habet Interpres Demosthenis, et in MSto sic legimus, licet in vulgatis ἐπέχοντες legatur. Ἐπανέχοντες enim dixit, ἀντὶ τοῦ, θαῤῥοῦντες, ἐμμένοντες, ἐπαναπαυόμενοι, ἰσχυριζόμενοι, στηριζόμενοι, στέργοντες, *incumbentes, acquiescentes.*" ἐπανέχοντες Cant. Bodl. Aug. Ital. cum Lutecianis. Taylor.

Ἅπαντες] F. ἁπάντων. §. ιθ'. *post med.* Markland. Vid. Var. Lect.

ΕΠΙΣΤΟΛΑΙ.

Αἱ μὲν τοίνυν ἐπιστολαὶ, καλοῦσιν αὗται· καὶ νὴ Δία, ἤδη γε· τούτοις δ', εἴπερ ἦν ὑγιές τι τούτων, τί ἄλλο προσῆκεν ἢ συνειπεῖν, ὅπως [1]ἐπεξέλθοιτε ὑμεῖς, καὶ τὸν Πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν εὐθέως βοηθεῖν; πάντα τοίνυν τἀναντία τούτων φαίνονται πεποιηκότες. εἰκότως. οὐ γὰρ οἷς ἐπέστελλε προσεῖχον τὸν νοῦν, ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφε, συνῄδεσαν. τούτοις οὖν συνέπραττον, καὶ τούτοις συνηγωνίζοντο.

ιθ'. Οἱ μὲν τοίνυν Φωκεῖς, ὡς τὰ παρ' ὑμῶν ἐπύθοντο
ἐκ τῆς ἐκκλησίας, καὶ [2]τὸ ψήφισμα τοῦτο ἔλαβον τὸ τοῦ
Φιλοκράτους, καὶ τὴν ἀπαγγελίαν ἐπύθοντο τὴν τούτου,
καὶ τὰς ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώ-
λοντο. σκοπεῖτε γάρ. ἦσαν ἀπιστοῦντές τινες αὐτόθι τῷ
Φιλίππῳ, καὶ νοῦν ἔχοντες. οὗτοι πιστεύειν ὑπήχθησαν.
διὰ τί; ὅτι ἡγοῦντο, οὐδ' εἰ δεκάκις Φίλιππος αὐτοὺς ἐξη- 358
πάτα, οὐδέποτ' ἂν τούς γε Ἀθηναίων πρέσβεις, Ἀθηναί-
ους ἐξαπατᾷν τολμῆσαι· ἀλλ' εἶναι ταῦτ' ἀληθῆ, ἃ οὗ-
τος ἀπήγγειλε πρὸς ὑμᾶς, καὶ τοῖς Θηβαίοις ἥκειν, οὐκ
[3]αὐτοῖς, ὄλεθρον. ἦσαν ἄλλοι τινὲς, οἳ πάσχειν ὁτιοῦν, καὶ
[4]ἀμύνασθαι δεῖν ᾤοντο. ἀλλὰ καὶ τούτους μαλακοὺς
ἐποίησε, τὸ, τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς πεισθῆναι,
καὶ τὸ, ταῦτα εἰ μὴ [5]ποιήσουσιν, ὑμᾶς ἐπ' αὐτοὺς ἥξειν,
οὓς βοηθήσειν αὐτοῖς ἤλπιζον ἐκεῖνοι. ἀλλὰ καὶ μεταμέλειν
ὑμῖν ᾤοντό τινες, πεποιημένοις τὴν πρὸς Φίλιππον εἰρήνην.

[1] ἐξέλθοιτε [2] τό τε ψήφισμα [3] αὐτοῖς [4] ἀμύνεσθαι [5] ποιήσουσι

Τούτοις—προσῆκεν] Sc. Αἰσχίνῃ καὶ Φιλοκράτει. An τούτοις συνειπεῖν? S. τοῖς ὑπὸ Φιλίππου ἐπεσταλμένοις. Mox verba sic ordina: καὶ προσῆκε τούτοις γράφειν, τὸν Πρόξενον βοηθεῖν εὐθέως. S. τοῖς Φωκεῦσι, pro ὅπως ὁ Πρόξενος βοηθῇ. Wolf.

Ἐπεξέλθοιτε] Vid. Var. Lect.

ιθ'. Ἐπύθοντο] Forte ἐπύθοντο a Πυνθάνομαι, ut paulo post. Τὰ παρ' ὑμῶν, id est, τὰ ὑμέτερα ψηφίσματα, τὰ ἐν τῇ ἐκκλησίᾳ ἀνεγνωσμένα. Post τὴν ἀπαγγελίαν. Wolf. ἐπύθοντο omnium fere Codd. est. Alterum solummodo venerat ex incuria Typothetæ. Proxime autem, Obsopœi quidem Cod. cum Wolfio consentit, ἐπαγγελίαν tamen retinent plures. Alibi meam exposui sententiam. Taylor.

Νοῦν ἔχοντες] Hæc interrogative bene legi possunt: ut et ista mox, ἦσαν ἄλλοι — ᾤοντο; et, ἀλλὰ καὶ εἰρήνην; Markl.

Ἀμύνασθαι] F. ἀμύνεσθαι. Markland. Vid. Var. Lect.

Τὸ, τὸν Φ.] Τὸ ὑπάρχειν αὐτοῖς, τουτέστιν, ὅτι δυνατόν ἐστι τὸν Φίλιππον πεισθῆναι, ὅπως ἂν αὐτοὺς σώσῃ. Wolf. Lego ὑπάρξειν αὐτοῖς, suum fore: ut §. λς'. a med. §. μγ'. post med. Alibi plenius dicitur, ὑπάρχειν φίλον τινὶ, §. μβ'. a med. §. μγ'. ante med. Markl. Lego τὸν Φίλιππον, φίλον ὑπάρχειν (vel ὑπάρξειν potius, αὐτοῖς πεισθῆναι. Nam vox ista post Φίλιππον facile excidere potuit, Scriba properante, vel dormitante. Taylor.

τούτοις, ὅτι καὶ τοῖς ἐκγόνοις τὴν αὐτὴν ἐψηφίσασθε, ἐπέδειξαν· ὥστε πανταχῆ τὰ παρ' ὑμῶν ἀπογνωσθῆναι. διόπερ ταῦτα πάντα εἰς ἓν ψήφισμα οὗτοι συνεσκεύασαν, ὃ καὶ μέγιστον ἔμοιγε δοκοῦσιν ἁπάντων ὑμᾶς ἠδικηκέναι. τὸ γὰρ πρὸς ἄνδρα θνητὸν, καὶ διὰ καιρούς τινας ἰσχύοντα, γράφοντας [1] εἰρήνην ἀθάνατον, συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ ἀποστερῆσαι μὴ μόνον [2] τῶν παρὰ τῶν ἄλλων, ἀλλὰ καὶ τῶν παρὰ τῆς τύχης εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ περιουσίᾳ χρήσασθαι πονηρίας, ὥς τε μὴ μόνον τοὺς ὄντας Ἀθηναίους, ἀλλὰ καὶ τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι, πάντας ἠδικηκέναι. πῶς οὐχὶ πάνδεινόν ἐστι; τοῦτο τοίνυν οὐδέποθ' ὑμεῖς ὑπεμείνατ' ἂν ὕστερον προσγράψαι πρὸς τὴν εἰρήνην, τὸ, καὶ τοῖς ἐκγόνοις, εἰ μὴ ταῖς παρ' Αἰσχίνου ῥηθείσαις ὑποσχέσεσι τότε ἐπιστεύσατε· αἷς περ οἱ Φωκεῖς πιστεύσαντες, ἀπώλοντο. καὶ γάρ τοι παραδόντες αὑτοὺς Φιλίππῳ, καὶ
359 ἑκόντες ἐγχειρίσαντες ἐκείνῳ τὰς πόλεις, [3] ἁπάντων ἐναντίων, ὧν πρὸς ὑμᾶς οὗτος ἀπήγγειλεν ἔτυχον.

κ'. Ἵνα δὲ εἰδῆτε σαφῶς, ὅτι ταῦθ' οὕτω καὶ διὰ τούτους ἀπόλωλε, τοὺς χρόνους ὑμῖν λογιοῦμαι, καθ' οὓς ἐγί-

[1] *εἰρήνην, ἀθάνατον* [2] Desunt *τῶν παρά.* [3] *ἀπάντων τῶν ἐναντίων*

Ἀθάνατον] Pessime hæc ad hunc usque diem intelligebantur. Nec tamen laborant, nisi mala interpunctione. Ἀθάνατον oportet non ad vocem *εἰρήνην*, ut vulgo solet fieri, sed ad *αἰσχύνην* accommodari. Lege itaque: *τὸ γὰρ πρὸς ἄνδρα θνητὸν—γράφοντας εἰρήνην, ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην κ. τ. λ.* *Vos, ubi cum viro* mortali *pacem decerneretis*, immortale *civitatis vestræ opprobrium pacisci*—*πῶς οὐχὶ πάνδεινόν ἐστι*; confirmat hoc vis et vehementia totius periodi. Idem.

Ὕστερον] *Posterius, post alia.* Auger.

κ'. Τοὺς χρόνους λογιοῦμαι] Calculus hic lectorem meum non morabitur, si subnectam Calendarii Attici particulam, resque a Demosthene relatas, in ea quasi tabella pictas.

I. Πρώτη Ἱσταμένου.
II. Δευτέρα.
III. Τρίτη.
IV. Τετάρτη.
V. Πέμπτη.
VI. Ἕκτη,
VII. Ἑβδόμη.
VIII. Ὀγδόη.
IX. Ἐνάτη.
X. Δεκάτη.
XI. Πρώτη Μεσοῦντος, vel ἐπὶ Δέκα.
XII. Δευτέρα.
XIII. Τρίτη. Reversi Athenas Legati. Demosth. v. 5. p. seq.
XIV. Τετάρτη.
XV. Πέμπτη.
XVI. Ἕκτη. Senatus habitus. v. 11. Renunciatur Legatio.
XVII. Ἑβδόμη.
XVIII. Ὀγδόη.
XIX. Ἐνάτη.
XX. Εἰκάς. Hoc die ponit Demosthenes decreta Atheniensium renunciari potuisse Phocensibus, v. 16.
XXI. Δεκάτη Φθίνοντος.
XXII. Ἐνάτη.
XXIII. Ὀγδόη. Fœdus. Interitus Phocensium. v. ult.
XXIV. Ἑβδόμη.
XXV. Ἕκτη.
XXVI. Πέμπτη.
XXVII. Τετάρτη. Senatus in Piræeo. Auditur Athenis Clades Phocensium. v. 2. p. 231.

γνεθ' ἕκαστα, περὶ ὧν δ' ἄν τις ἀντιλέγῃ τούτων, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω. ἡ μὲν τοίνυν εἰρήνη Ἐλαφηβολιῶνος ἐνάτῃ ἐπὶ δέκα ἐγένετο, ἀπεδημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους, τρεῖς μῆνας ὅλους· καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ Φωκεῖς σῶοι. ἥκομεν δὲ δεῦρο ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, τρίτῃ ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνός· καὶ παρῆν ἐν Πύλαις ὁ Φίλιππος ἤδη, καὶ τοῖς Φωκεῦσιν ἐπηγγέλλετο ὧν οὐδὲν ἐπίστευον ἐκεῖνοι. σημεῖον δέ. οὐ γὰρ ἂν δεῦρ' ἧκον ὡς ὑμᾶς. ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάντα τὰ πράγματα ἀπώλεσαν οὗτοι, ψευσάμενοι καὶ φενακίσαντες ὑμᾶς, τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος ἐγίγνετο. ἀπὸ τοίνυν ταύτης, πεμπταῖα λογίζομαι [1] καὶ τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι. παρῆσαν γὰρ οἱ τῶν Φωκέων πρέσβεις ἐνθάδε, καὶ ἦν αὐτοῖς, καὶ τί ἀπαγγελοῦσιν οὗτοι, καὶ τί ψηφιεῖσθε ὑμεῖς, ἐπιμελὲς εἰδέναι. οὐκοῦν εἰκάς, ᾗ τίθεμεν πυθέσθαι τοὺς Φωκέας τὰ παρ' ὑμῶν. ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύτην, πέμπτη γίνεται. ὑστέρα τοίνυν δεκάτη. ἐνάτη. ὀγδόη.

[1] Deest *καί*.

XXVIII. Τρίτη.
XXIX. Δευτέρα.
XXX. Ἔνη καὶ Νέα.

Vir doctissimus Vincent. Contarenus huic rei impendit Variar. suarum Lectionum Cap. XVII. quem juvabit consulere, cum ob rationes temporis probe subductas, tum quod historiam hujus Orationis in initio Capitis breviter et luculente describit. Adde eruditissimum Virum, Edoard. Corsinium in Fastis Attic. Dissert. II. n. XV. Taylor.

Τρεῖς μῆνας ὅλους] Ita infra §. μζ'. *ante med.* τρεῖς μῆνας ὅλους ἀποδημήσαντες. Et De Cor. §. ι'. *in init.* οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας. Quod si, ut certissime constat, peregre profecti sint Legati post diem tertium Munychionis, (sit v. g. Martius Mensis. Et ita est præter-propter) redierunt die 13. Scirrhophorionis, (vel Maii) errat Noster in calculo. Sed in his rebus non exspectamus rigorem supputationis: licet Vox ὅλους, *totos*, id exspectare permittat. Sufficit, si fuerit bimestre spatium, *et quod excurrit*. Venia ea facile conceditur, præsertim si amplificandi studio id ab Oratore dicitur. Vid. Contaren. l. c. Idem.

Τρίτῃ ἐπὶ δέκα] Ita edidimus, moti auctoritate Bodl. et Reg. *a*. non δεκάτῃ, ut alii repræsentant. Modo dixerat, eadem ratione, ἐνάτῃ ἐπὶ δέκα: quanquam et ibi obtinet apud vetusta quædam exemplaria, uti *β*. ε. ἐνάτῃ ἐπὶ δεκάτῃ. Sed corrupte, ut arbitror, et contra communem usum scribendi. Et similiter infra v. 11. τῇ ἕκτῃ ἐπὶ δεκάτῃ Codd. *β*. *δ*. *ε*. Idem.

Πεμπταῖα] Τῇ πέμπτῃ ἡμέρᾳ τοῖς Φωκεῦσιν ἀπηγγέλθαι. Post [§. κς'. ante med.] dicet πέντε γεγόνασιν ἡμέραι μόναι, ἐν αἷς οὗτος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ Φωκεῖς ἐπύθοντο, ἐνέδωκαν ἑαυτούς, ἀπώλοντο. Sic autem numerabis 16. 17. 18. 19. 20. Wolf.

Καὶ ἦν αὐτοῖς] Verba sic ordina: καὶ ἦν ἐπιμελὲς αὐτοῖς εἰδέναι, καὶ τί ἀπαγγελοῦσιν οὗτοι, καὶ τί ὑμεῖς ψηφιεῖσθε. Idem.

Ὑστέρα τοίνυν δεκάτη] Non ea, quam εἰκάδα modo dixit, sed a tempore habitæ Concionis. Retro autem numerat Demosthenes, (ut opinor) ut ostendat, brevissimum tempus intercessisse inter pollicitationes Æschinis, et Phocense excidium. Idem. Minime gentium. Progreditur noster in numerando ea, quæ evenerunt post diem vigesimum. Id quod fiebat apud Athenienses ordine retrogrado. Quod quanquam plurimis notum est, non

ταύτῃ ἐγίγνοντο αἱ σπονδαί, καὶ πάντα τἀκεῖ πράγματα ἀπολώλει, καὶ τέλος εἶχε. [1] τῷ τοῦτο δῆλον; τῇ τετράδι [2] φθίνοντος, ἐκκλησιάζετε μὲν ὑμεῖς τότ' ἐν Πειραιεῖ, περὶ
360 τῶν ἐν τοῖς νεωρίοις, ἧκε δὲ Δέρκυλλος ἐκ Χαλκίδος, καὶ ἀπήγγειλεν ὑμῖν, ὅτι πάντα τὰ πράγματα ἐγκεχείρικε Θηβαίοις ὁ Φίλιππος· καὶ πέμπτην ἡμέραν εἶναι ταύτην ἐλογίζετο, ἀφ' οὗ γεγόνασιν αἱ σπονδαί. ὀγδόη τοίνυν. ἑβδόμη. ἕκτη. πέμπτη. τετράς. αὐτὸ συμβαίνει, εἰς ταύτην εἶναι πέμπτην. ἀκοῦν τοῖς χρόνοις οἷς ἀπήγγελλον,

[1] τῷ [2] φθίνοντος. ἐκκλ. μὲν * γὰρ ὑμεῖς

tamen gravabor verba Ulpiani ad hunc locum exscribere. Εἶτα, id est, post diem vigesimum, λοιπὸν ἐκ τῆς πρώτης καὶ εἰκάδος ἐξ ὑποστροφῆς λέγοντες τὴν πρώτην εἰκάδα, (corrige τὴν πρώτην καὶ εἰκάδα), δεκάτην, καὶ τὴν δευτέραν (iterum corrige), ἐνάτην, καὶ τὴν τρίτην εἰκάδα (iterum) ὀγδόην, καὶ ὁμοίως οὕτως ἕως τῆς τριακάδος. Jam ab hoc computo recens ita Demosthenem eris interpretaturus. *Scirrhophorionis dies vigesimus: Postridie vigesimus primus*, (Attico computo, δεκάτῃ sc. μηνὸς φθίνοντος, cursu retrogrado) *deinde vigesimus secundus, tertius: eo die factum est fœdus.* Concordat Interpretatio Etrusca: *A' venti adunque pogniamo — Seguono poi i vent'uno, i ventidue, i ventitre.* Et similiter in sequentibus. Miror, hæc tam protrita non vidisse Wolfium. Et qui hæc non viderit, ne ille de tota hac supputatione et calculo Demosthenis nihil omnino intelliget. Ergo v. 2. τετράδι φθίνοντος Tu interpreteris *die mensis vigesimo septimo:* non decimo quarto. et v. 7. ὀγδόη. ἑβδόμη. ἕκτη. πέμπτη. τετράς, ita exponas: *Dies Scirrhophorionis vigesimus tertius — quartus — quintus — sextus — septimus*, vel, τετρὰς φθίνοντος. Intervallum nimirum dierum quinque, quo sane utrinque contigit, ut et ea, quæ Athenis gesta essent, rescirent Phocenses, et quæ in Phocide, renunciarentur Athenis. Taylor.

Ταύτῃ ἐγίγνοντο αἱ σπονδαί] Sub. τῶν Θηβαίων πρὸς Φίλιππον τῇ ὀγδόῃ ἡμέρᾳ μετὰ τὴν Ἀθήνησιν ἐκκλησίαν, hoc est, 24. Maii, qui est ἡ τετρὰς φθίνοντος, vel, ἡ τετάρτη ἐπὶ εἰκάδι, vel, ἡ ἑβδόμη φθίνοντος. Sin a tempore supputes, quo Phocenses Atheniensem Concionem cognoverunt, decimus inde dies erit 30. Maii, nonus, 29. octavus, 28. Ego dubitationem meam fateor. Wolf. Qui ea legerit, quæ modo annotavi, eum de hoc loco *dubitare* non sinam. Taylor.

Τῷ τοῦτο δῆλον;] Ἀντὶ τοῦ, τίνι σημείῳ &c. Wolf.

Τῇ τετράδι φθίνοντος] Τῇ εἰκοστῇ τετάρτῃ ἡμέρᾳ Σκιῤῥοφοριῶνος. Τετρὰς hic non significat quartam lunam, de qua Proverbium, τῇ τετράδι γεγονέναι, sed simpliciter, τὴν τετάρτην μετὰ τὴν εἰκάδα, nisi forte a trigesimo die mensis sit retro numerandum. Ita cadet ἡ τετρὰς in 27. Maii, nec erit ἡ τετάρτη φθίνοντος. Fuit et ἡ τετρὰς ἱσταμένου, Mercurio sacra, id est, quartus cujusque mensis dies, seu pridie Nonas. Nomina illa Decuriarum Mensis, ἱσταμένου — μεσοῦντος — φθίνοντος, ἀπιόντος, ἢ λήγοντος satis nota sunt. Ulpiani autem hujus loci Enarratio corrupta, et Supputatio hæc obscura est, quod non satis constat, mihi quidem, unde, aut cur, ordiatur ad hunc modum. Qua de ratione etiam in Orat. περὶ Συμμοριῶν sum conquestus. καὶ ἴσως πανούργημά τι ῥητορικὸν τῇ συγχύσει τῶν ἀριθμῶν ἐμβολεύει. Idem.

Ἐν Πειραιεῖ] Alias ἐν Πνὺξ locus Concionum fuit. Nunc in Piræeo portu, a quo utique navalia non longe abfuerunt. Idem.

Ὀγδόη τοίνυν] 8. φθίνοντος. Hoc est, 23. 24. 25. 26. Idem. Aliquando expergiscitur bonus Homo, et ad se redit. Tayl.

Τετρὰς] Si τετάρτη φθίνοντος, est 27. Sin τετρὰς, ἢ τετάρτη ἐπὶ εἰκάδι., 24. Wolf.

Αὐτὸ] Sc. τὸ πρᾶγμα. *Res ipsa convenit.* Plene in Midiana, p. 517. 15. Ed. Reisk. ὡς αὐτὸ τὸ πρᾶγμα μαρτυρεῖ. Vel τοὔργον, ut in Timocratea, p. 705. 4. Ed. Reisk. Markland.

Ibid. Lambinus, deleta præpositione, legit, αὐτὸ συμβαίνει ταύτην εἶναι πέμπτην. Quod non improbo, et confirmat, quod in superioribus admonebam, scil. *Perinde est: utrinque evenit*, τὸ αὐτὸ συμβαίνει, utrum a Phocide Athenas, an ab Athenis Phocida nuncietur. Taylor.

οἷς ἔγραφον, πᾶσιν ἐξελέγχονται συνηγωνισμένοι Φιλίππῳ, καὶ συναίτιοι γεγονότες τοῦ τῶν Φωκέων ὀλέθρου.

κά. Ἔτι τοίνυν τὸ, μηδεμίαν τῶν πόλεων τῶν ἐν Φωκεῦσιν ἁλῶναι πολιορκίᾳ, μηδ' ἐκ προσβολῆς κατὰ κράτος, ἀλλ' ἐκ τοῦ σπείσασθαι πάντας ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον τοῦ διὰ τούτους πεισθέντας αὐτοὺς, ὡς ὑπὸ τοῦ Φιλίππου σωθήσονται, ταῦτα παθεῖν· οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν. φέρε δή μοι καὶ τὴν συμμαχίαν τὴν τῶν Φωκέων, καὶ τὰ δόγματα, ὑφ' ὧν καθεῖλεν αὐτῶν τὰ τείχη, ἵν' εἰδῆτε, οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν, οἵων ἔτυχον διὰ τούτους, τοὺς θεοῖς ἐχθρούς. λέγε.

ΣΥΜΜΑΧΙΑ [1]ΑΘΗΝΑΙΩΝ ΚΑΙ ΦΩΚΕΩΝ.

Ἃ μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστὶ, φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον, τὸν βοηθῆσαι κωλύσαντα ὑμᾶς ἀκούσατε. λέγε.

ΟΜΟΛΟΓΙΑ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΦΩΚΕΩΝ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι. ὁμολογία Φιλίππου καὶ Φωκέων φησὶν, οὐχὶ Θηβαίων καὶ Φωκέων, οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδ' ἄλλου τῶν παρόντων οὐδενός. καὶ πάλιν, παραδοῦναι δὲ τὰς πόλεις [2]φησὶ Φωκέας Φιλίππῳ, οὐχὶ Θηβαίοις, οὐχὶ Θετταλοῖς, οὐδὲ ἄλλῳ οὐδενί. 361
διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου, ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι. τούτῳ δὴ [3]πάντ' ἐπίστευον, καὶ πρὸς τοῦτον [4]πάντ' ἐσκόπουν·

[1] [ἀθηναίων καὶ] [2] (φησὶ) [3] πάντες
[4] [πάντ' ἐσκόπουν, πρὸς τοῦτον] πάντες ἐπιοιοῦντο

κα'. Σπείσασθαι] S. τοὺς Φωκέας. Mox [v. 12.] ΣΥΜΜΑΧΙΑ ΑΘΗΝΑΙΩΝ ΚΑΙ ΦΩΚΕΩΝ. Wolf. Πείσασθαι habent Editi præter Parisienses. Ubi renovari voluit Lambinus. Rectius manuscripti nostri, ut edidimus. Taylor.

Καθεῖλεν] Nempe Φίλιππος. Auger.

ΣΥΜΜΑΧΙΑ κ. τ. λ.] Pro Συμμαχία Θηβαίων καὶ Φωκέων, in nostro Ἀθηναίων καὶ Φωκέων erat. Atque ita legendum esse superiora et antecedentia verba confirmant. Obsop. Θηβαίων quoque Ald. Hervag. aliique. Sed Editiones, quæ rite procurabantur, ut oportebat, et Codd. nonnulli, inter quos Altemps. et Askew. In Codd. a. b. Aug. Harl. desunt verba Ἀθηναίων καὶ, et exaratur solummodo Συμμαχία Φωκέων. Quod est inhonestum. Cæterum multas turbas dederunt propter similitudinem voces Θηβαίων et Ἀθηναίων. Nam prima litera abrasa in hac posteriore voce, non multum abludunt. Notavi et confirmavi pluribus ad Leptineam pag. 489. 10. Ed. Reisk. Et juvabit quoque adjicere, quæ produxit Cl. Valesius ad pag. 155. Harpocrationis. Taylor.

Παρόντων] F. ἁπάντων, ut §. κγ'. ante med. καὶ οὐδενὶ τῶν ἁπάντων ἄλλῳ γεγονώς. Markland. Felicissime. πάντων Cod. Reg. a. Idem.

Πρὸς τοῦτον κ. τ. λ.] Voces istæ πρὸς

πρὸς τοῦτον ἐποιοῦντο τὴν εἰρήνην. λέγε δὴ τἀπίλοιπα, καὶ σκοπεῖτε [1] τί πιστεύσαντες, [1] τί ἔπαθον. ἆρά γε ὅμοια, ἢ παραπλήσια, οἷς οὗτος ἀπήγγειλε; λέγε.

ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα οὐ γέγονεν, οὐδὲ μείζω πράγματα ἐφ' [2] ὑμῶν ἐν τοῖς Ἕλλησιν· οἶμαι δ' οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. τηλικούτων μέντοι, καὶ τοιούτων πραγμάτων εἷς ἀνὴρ [3] κύριος Φίλιππος γέγονε διὰ τούτους, οὔσης τῆς Ἀθηναίων πόλεως, ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον, καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον.

κβ'. Ὃν μὲν τοίνυν τρόπον οἱ ταλαίπωροι Φωκεῖς ἀπολώλασιν, οὐ μόνον ἐκ τῶν δογμάτων τούτων ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἃ πέπρακται. θέαμα δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐλεεινόν. ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφοὺς, ἐξ ἀνάγκης ἦν ὁρᾷν [4] ἡμῖν πάντα ταῦτα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ, καὶ παιδάρια ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς· ὅλως δὲ, οὐδ' ἂν εἷς ἐφικέσθαι δύναιτο [5] τῷ λόγῳ τῶν ἐκεῖ κακῶν νῦν ὄντων. ἀλλὰ μὴν, ὅτι τὴν ἐναντίαν ποτὲ Θηβαίοις ψῆφον ἔθεντο οὗτοι περὶ ὑμῶν ὑπὲρ ἀνδραποδισμοῦ προτεθεῖσαν, ὑμῶν ἔγωγε ἀκούω πάντων.
362 τίνα ἂν οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, ψῆφον ἢ γνώμην θέσθαι περὶ [6] τῶν τοῦ

[1] τί] οἷα [2] ἡμῶν [3] κύριος εἷς ἀνὴρ [4] ἡμῖν ὁρᾷν [5] τῷ λόγῳ δύναιτο [6] τῶν αἰτίων τοῦ τῶν φωκέων ὀλέθρου;

τοῦτον (vel cum nonnullis πρὸς τοῦτο) πάντ' ἐσπένδον, desunt in Codd. Regg. α. ε. et in Harleiano nostro. Et profecto melius absunt. Eas natas esse arbitror a sequentibus, quæ in Veneto exemplari ita leguntur, πρὸς τοῦτον πάντες ἐποιοῦντο. Idem.

Τί ἔπαθον] Excidii Phocensium descriptionem vide apud Diodorum, [lib. 16.] folio Græco 542. Wolf.

Δόγμα] Lege Δόγματα. Supra v. 9. p. 232. et §. κβ'. in init. Markland.

Ὑμῶν] F. ἡμῶν, ut §. κγ'. in init. Markland. Vid. Var. Lect.

Οὐδ' ἐν τῷ πρόσθεν] Χρόνῳ lege. Wolf.

κβ'. Ἐναντίαν—ψῆφον] Thebani, victis ad Ægospotamos Atheniensibus, in Concilio pronunciarunt, Athenas delendas esse, et Atticam pascuis ovium assignandam. Quibus adversatos fuisse Phocenses hic tradit Demosthenes, cum nec Lacedæmonii committendum censerent, τὴν Ἑλλάδα ἑτερόφθαλμον γίνεσθαι. Idem.

Οὗτοι] Nempe Φωκεῖς. Auger.

Προστεθεῖσαν] Lege προτεθεῖσαν. Wolf. Recte. Nam προστεθεῖσαν, quod exibat e prelo Benenati, aliorumque, erat a mala manu. Sinceriorem lectionem agnoscit Cod. Paris. α. item Bodl. et MSS. Felician. Recte etiam Ulpianus noster, dum historiam hujus loci enarrat: Κρατήσαντες—οἱ Λακεδαιμόνιοι—προέθεντο ψῆφον περὶ τῶν Ἀθηναίων. Non potuit melius. Dixi liberius de hoc errore Codicum facillimo, ad Lysiam, Orat. I. pag. 23. Not. 50. et ad Timocrateam pag. 715. 13. Ed. Reisk. Taylor.

Περὶ τοῦ τῶν] [ita Aldus.] M. Περὶ τῶν τοῦ τῶν: ac potius, quia molesta est tot

Φωκέων ὀλέθρου αἰτίων; ἐγὼ μὲν γὰρ [1] οἶμαι, κἂν καταλεύσαντας αὐτοὺς ταῖς ἑαυτῶν χερσὶ καθαροὺς ἔσεσθαι νομίζειν. πῶς γὰρ οὐκ αἰσχρὸν, μᾶλλον [2] δὲ τίς ἐστιν ὑπερβολὴ τούτου, τοὺς σεσωκότας ἡμᾶς τότε, καὶ τὴν σώζουσαν περὶ ἡμῶν ψῆφον θεμένους, τούτους τῶν ἐναντίων τετυχηκέναι διὰ τούτους, καὶ περιεῶφθαι τοιαῦτα πεπονθότας, οἷα οὐδένες ἄλλοι τῶν Ἑλλήνων; τίς οὖν ὁ τούτων αἴτιος; τίς ὁ ταῦτα φενακίσας; οὐκ οὗτος;

κγ΄. Πολλὰ μὲν τοίνυν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον εὐδαιμονίσας τῆς τύχης, εἰκότως [3] τοῦτο μάλιστ᾽ ἂν εὐδαιμονίσειεν ἁπάντων, ὃ, μὰ τοὺς θεοὺς καὶ τὰς θεὰς, οὐκ ἔχω λέγειν ἔγωγε ἄλλον, ὅς τις εὐτύχηκεν ἐφ᾽ ἡμῶν. τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι, καὶ χώραν πολλὴν ὑφ᾽ ἑαυτῷ πεποιῆσθαι, καὶ πάντα τὰ τοιαῦτα, ζηλωτὰ μέν ἐστιν, οἶμαι, καὶ λαμπρά· πῶς γὰρ οὔ; ἔχοι δ᾽ ἄν τις εἰπεῖν πεπραγμένα καὶ ἑτέροις πολλοῖς. ἀλλ᾽ [4] ἐκεῖνο ἴδιον, καὶ οὐδενὶ τῶν ἁπάντων ἄλλῳ γεγονὸς εὐτύχημα. τὸ ποῖον; τὸ, ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ πράγματα αὐτῷ ἐδέησε, πονηροτέρους εὑρεῖν, ἢ ἐβούλετο. πῶς γὰρ οὐχ οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν ἄν, εἴγε ἃ [5] ὑπὲρ ὧν αὐτὸς Φίλιππος, τηλικούτων ὄντων αὐτῷ τῶν διαφόρων, οὐκ ἐτόλμα ψεύσασθαι, [6] οὔτ᾽ εἰς ἐπιστολὴν γράψαι οὐδεμίαν, οὐδὲ πρεσβευτὴς οὐδεὶς εἶπε τῶν παρ᾽ ἐκείνου· ἐπὶ ταῦτα

[1] οἴομαι [2] δ᾽, εἴ τις [3] * τούτου [4] ἐκεῖνό γ᾽ ἴδιον
[5] ὑπὲρ αὐτοῦ Φίλιππος [6] * οὐδ᾽ αὐτὸς εἰς

articulorum repetitio, περὶ τῶν τοῦ Φωκέων ὀλέθρου αἰτίων. Wolf. Satius cum Harl. περὶ τῶν αἰτίων τοῦ (non τῆς, ut MS.) τῶν Φωκέων ὀλέθρου. Taylor.

Ἐγὼ μὲν γὰρ οἶμαι κ. τ. λ.] Dubitatio hic subit; referendumne sit τὸ καθαροὺς ad homicidii crimen, quod quidem nullum futurum videtur in pœna proditorum: an ad crimen perfidiæ et ingratitudinis, quo spectare videntur et præcedentia et subsequentia. Nempe proditionis crimine primum legati, deinde civitas ipsa teneri videbatur, nisi vindicaret. Tu, si ita sentias; rescribe, καθαροὺς οὐκ ἔσεσθαι, vel, si malis, οὐκ ἂν καταλεύσαντας, vel etiam; οὐ κἂν καταλεύσαντας. Jurin.

Τούτου] Nempe τοῦ αἰσχροῦ. Auger.

Τίς ἐστιν ὑπερβολὴ] Editi omnes ante Wolfium, et manuscripti quoque, μᾶλλον δὲ, εἴ τις ἐστὶν ὑπερβολή. Et tum deesse aliquid suspicarer post τοῦτο, hoc pacto: πῶς γὰρ οὐκ αἰσχρὸν, μᾶλλον δὲ, εἴ τις ἐστὶν ὑπερβολὴ τούτου, πῶς οὐκ ἀσεβέστατον; vel aliquid simile. Taylor.

κγ΄. Ἄλλο] Lege ἄλλῳ. Wolf. ἄλλο enim plurimi: et in aliis prorsus deerat. Taylor.

Ἃ ὑπὲρ ὧν] Alterum horum ex margine esse opinor: et ultimum potius, nempe ὑπὲρ ὧν. Ita primitus, εἴγε ἃ αὐτὸς Φίλιππος—οὐκ ἐτόλμα ψεύσασθαι. Aliquis deinde explicavit ἃ ὑπὲρ ὧν. Sequiores utrumque admiserunt. Markland. E nostris, pro εἴγε, οἴγε, et nonnulli, οἴγε ἃ Φίλιππος, cæteris neglectis. Cod. Reg. a. εἴγε ὑπὲρ ὧν, omisso prænomine. In pluribus, εἴγε ἃ ὑπὲρ αὐτοῦ Φίλιππος—οὐκ ἐτόλμα ψεύσασθαι. Taylor.

Γράψαι] Constantius exarari in MSS. video ἔγραψεν. οὔτ᾽ εἰς ἐπιστολὴν, vel, abjecta præpositione, οὔτ᾽ ἐπιστολὴν ἔγραψεν οὐδεμίαν. Ita plurimi. Idem.

οὗτοι μισθώσαντες ἑαυτοὺς, ὑμᾶς ἐξηπάτων; καὶ ὁ μὲν Ἀντίπατρος, καὶ ὁ Παρμενίων, δεσπότῃ διακονοῦντες, καὶ
363 οὐ μέλλοντες μετὰ ταῦθ' ὑμῖν ἐντεύξεσθαι, ὅμως τοῦθ' εὕροντο, τὸ μὴ δι' αὐτῶν ὑμᾶς ἐξαπατηθῆναι· οἱ δὲ Ἀθηναίων, τῆς ἐλευθερωτάτης πόλεως, πρέσβεις ταχθέντες, ὑμᾶς, οἷς ἀπαντῶντας ἐμβλέπειν, οἷς συζῆν ἀνάγκη τὸν λοιπὸν βίον, καὶ ἐν οἷς εὐθύνας ἤμελλον δώσειν τῶν πεπραγμένων, τούτους ἐξαπατᾶν ὑπέστησαν. πῶς ἂν ἄνθρωποι κακίους, ἢ μᾶλλον ἀπονενοημένοι τούτων γένοιντο;

κδ'. Ἵνα τοίνυν εἰδῆτε, ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν, καὶ οὐδ' ὅσιον ὑμῖν οὐδ' εὐσεβές ἐστι τοιαῦτα ἐψευσμένον αὐτὸν ἀφεῖναι, λέγε τὴν ἀρὰν, καὶ ἀνάγνωθι λαβὼν τὴν ἐκ τοῦ νόμου ταυτηνί.

ΑΡΑ.

Ταῦθ' ὑπὲρ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἑκάστην ἐκκλησίαν ὁ κῆρυξ εὔχεται, νόμῳ προστεταγμένα, καὶ ὅταν ἡ βουλὴ κάθηται, παρ' ἐκείνῃ πάλιν. καὶ ταῦτ' οὐκ ἔνεστιν εἰπεῖν τούτῳ, ὡς οὐκ εὖ ᾔδει· ὑπογραμματεύων γὰρ ὑμῖν, καὶ ὑπηρετῶν τῇ βουλῇ, αὐτὸς ἐξηγεῖτο τὸν νόμον τοῦτον τῷ κήρυκι. πῶς οὖν οὐκ ἄτοπον, καὶ ὑπερφυὲς ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ἅρ' ἃ προστάττετε, μᾶλλον δ' ἀξιοῦτε [1] ποιήσειν ὑπὲρ ὑμῶν τοὺς θεοὺς, ταῦτ' αὐτοὶ κύριοι γεγενημένοι τήμερον μὴ ποιήσετε· ἀλλ' ὃν ἐκείνοις εὔχεσθε ἐξώλη ποιεῖν, αὐτὸν, καὶ γένος, καὶ οἰκίαν, τοῦτον ἀφίετε

[1] ποιεῖν

Καὶ ὁ μὲν Ἀντίπατρος κ. τ. λ.] Restituendum est καὶ ἔλεγε ὁ μὲν Ἀ. Aut ea vox saltem subintelligenda est. Uno enim spiritu, uno tenore orationis dixit Demosthenes: πῶς γὰρ—ἔλεγε ἃ αὐτὸς Φίλιππος—καὶ ἔλεγε ὁ μὲν Ἀντίπατρος κ. τ.λ. Quo admisso, Interrogationis nota recte apponetur clausulæ orationis, ad vocem ὑπέστησαν. Idem.

Ἀθηναίων] F. leg. Ἀθηνῶν. Auger. Vid. Var. Lect.

κδ'. Κατάρατος] Refertur ad Æschinem. Idem.

Λέγε] Vid. Var. Lect.

Ὑπογραμματεύων γὰρ ὑμῖν—αὐτὸς ἐξηγεῖτο τὸν νόμον τοῦτον τῷ κήρυκι] Id est, cum enim scribæ officio fungeretur, ipse apud vos (ad judices loquens) recitanti præconi legis hujus verba præibat. Id enim a Latinis præire dicitur, quæ Græcis est ἐξηγεῖσθαι, καὶ προοδοποιεῖν. Plinius in epistolis de pseudochristianis quibusdam loquens. "Cum præeunte me, inquit, deos appellarent, et imagini tuæ, quam propter hoc jusseram cum simulacris numinum afferri, thure ac vino supplicarent." præeunte me dixit, id est, verba præloquente. Livius lib. 8. de Decio devovente se: "Agedum, inquit, pontifex pop. Rom. præi verba quibus me pro legionibus devoveam." Bud. in Pandect. Ex edit. Hervag.

Ἐξηγεῖτο] Demosthenes ἐν τῷ κατ' Αἰσχίνου Αὐτὸς ἐξηγεῖτο τὸν νόμον τῷ κήρυκι, ἀντὶ τοῦ, ὑπηγόρευεν. Priscian. col. 1189. Taylor.

αὐτοί; μηδαμῶς. ὃς γὰρ ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς
θεοῖς κολάζειν· ὃν [1] δ' αὐτοὶ λάβητε, μηκέτ' ἐκείνοις περὶ
τούτου προστάττετε.

κέ. Εἰς τοίνυν [2] τοῦτ' ἀναιδείας, καὶ τόλμης ἥξειν [3] αὐ-
τὸν ἀκούω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν
ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν, ὥσ-
περ ἐν ἄλλοις τισὶ κρινόμενον, καὶ οὐκ ἐν ὑμῖν τοῖς πάντ' 364
εἰδόσι, πρῶτον μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ' Ἡ-
γησίππου κατηγορήσειν. ἔστι δὲ ταῦτα γέλως, μᾶλλον δὲ
ἀναισχυντία δεινή. ὅσα γὰρ νῦν ἐρεῖ περὶ τῶν Φωκέων, ἢ
τῶν Λακεδαιμονίων, ἢ τοῦ Ἡγησίππου, [4] ἢ ὡς Πρόξενον οὐχ
ὑπεδέξαντο, [4] ἢ ὡς ἀσεβεῖς εἰσὶν, [5] ἢ ὅ, τι ἂν δή ποτε αὐ-
τῶν κατηγορῇ, πάντα δήπου ταῦτα πρὸ τοῦ τοὺς πρέσβεις
τούτους δεῦρ' ἥκειν, ἐπέπρακτο· καὶ οὐκ ἦν ἐμποδὼν τῷ
τοὺς Φωκέας σώζεσθαι. ὡς τίς φησιν; Αἰσχίνης αὐτὸς οὑ-
τοσί. οὐ γὰρ ὡς, εἰ μὴ διὰ Λακεδαιμονίους, οὐδ' ὡς, εἰ μὴ
Πρόξενον οὐχ ὑπεδέξαντο, οὐδ' ὡς, εἰ μὴ δι' Ἡγήσιππον,
οὐδ' ὡς, εἰ μὴ διὰ τὸ, καὶ τὸ, ἐσώθησαν ἂν οἱ Φωκεῖς, οὐχ
οὕτω τότε ἀπήγγειλεν· ἀλλὰ πάντα ταῦθ' ὑπερβὰς διαρ-
ῥήδην ἥκειν ἔφη πεπεικὼς Φίλιππον, Φωκέας σώζειν, τὴν
Βοιωτίαν οἰκίζειν, ὑμῖν τὰ πράγματα οἰκεῖα ποιεῖν, ταῦτα
πεπράξεσθαι [6] δυοῖν ἢ τριῶν ἡμερῶν, [7] διὰ ταῦτα χρήμαθ'
ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι.

[1] δ' ἂν αὐτοὶ [2] τοῦτο τοίνυν [3] αὐτὸν ἥξειν [4] Deest ἢ. [5] ὡς [6] δυεῖν [7] καὶ διὰ

κέ. Ἢ ὅ, τι] Cum nonnullos, immo plurimos, Codd. vidi, ut Ven. Lind. Harl. Ital. Obsop. Aug. constanter insinuare ὡς ante ὅ, τι, scil. ἢ ὡς, ὅ, τι (Ask. quidem ὡς ὅτι pro ἢ ὅτι) arbitrabar hoc non temere aut inconsulto factum: et judicabam protinus, aliquid latere, ἢ ὡς ἀσεβεῖς εἰσὶν, ἢ ὡς *** Quid esset interea, quod latebat, hoc eruere desperabam, cum Codd. de ea re prorsus tacuerunt. Ecce mihi præsto fuit ex insperato Ulpianus, cujus scholion adhibere lectorem meum admoneo: nam ad totius hujusce loci illustrationem multum conferet; præcipue autem eam medicinam adferet, quam memoravi. Ecce enim: Φωκέων κατηγορεῖ, διότι—Πρόξενον—οὐ προσεδέξαντο, κατάλυσιν τῶν πόλεων ὑποπτεύσαντες, ἐντεῦθεν πονηροὺς Φωκέας ἐκάλεσεν· ἀσεβεῖς δὲ, ὅτι—τὰς μυστηριώδεις σπονδὰς οὐκ ἐδέξαντο—ὅθεν αὐτοὺς καὶ ἀσεβεῖς ὠνόμασεν. Lege ergo in Textu, ἢ ὡς ἀσεβεῖς εἰσὶν, ἢ ὡς πονηροὶ, ἢ ὅ, τι ἂν δήποτε αὐτῶν κατηγορῇ. TAYLOR.

Ὡς τίς φησιν; Αἰσχίνης αὐτὸς] Est hæc Subjectio. *Quis hoc dicit? Æschines ipse.* οὐχ ὑπεδέξαντο v. 17. lege. S. οἱ Φωκεῖς. WOLF. Legitur in Cod. Vaticano, uti discimus ex marg. Exemplaris Altemps. ὥς που φησὶν Αἰσχίνης οὑτοσί. Plurimi item Codd. ὡς πού φησιν. Tum ista Wolfiana distinctione nihil opus erit. TAYLOR.

Ἂν] Inserui auctoritate Codd. Paris. Obsop. et Ask. ἴσ. ἂν οὕτως ὀρθῶς, sc. οὐ σωθήσονται Φωκεῖς. Ita marg. Altemps. IDEM. Cujus annotationis sententiam haud percipio, REISK. At, si Wolfianum, in quo legitur ἐσώθησαν οἱ Φ. sine ἂν, cum textu Taylori contulisset V. D., umbras illico, ni fallor, facile discussisset.

Πεπράξεσθαι] Verba hæc adducit Priscianus, col. 1185. ordine inverso, δυοῖν ἢ τρι-

κς´. Μὴ τοίνυν ἃ πρὸ τοῦ τοῦτον ἀπαγγεῖλαι ταῦτα
ἐπέπρακτο ἢ Λακεδαιμονίοις, ἢ Φωκεῦσιν, ἀκούετε, μηδὲ
ἀνέχεσθε, μηδὲ κατηγορεῖν ἐᾶτε Φωκέων, ὡς πονηροί. οὐδὲ
γὰρ Λακεδαιμονίους διὰ [1] τὴν ἀρετήν ποτε ἐσώσατε, οὐδὲ
τοὺς καταράτους Εὐβοέας τουτουσὶ, οὐδὲ ἄλλους πολλούς·
ἀλλ' ὅτι συμφέρον ἦν, σῶς εἶναι, τῇ πόλει, ὥσπερ Φωκέας
νυνί. καὶ τί, τῶν Φωκέων, ἢ τῶν Λακεδαιμονίων, ἢ ὑμῶν,
ἢ ἄλλου τινὸς [2] ἀνθρώπου, μετὰ τοὺς παρὰ τούτου λόγους
ἐξαμαρτόντος, οὐκ ἀπέβη τὰ πρὸς ὑμᾶς ὑπὸ τούτου τότε
365 ῥηθέντα· τοῦτ' ἐρωτᾶτε. οὐ γὰρ ἕξει δεῖξαι. πέντε γὰρ
γεγόνασιν ἡμέραι μόναι, ἐν αἷς οὗτος ἀπήγγειλε τὰ ψευδῆ·
ὑμεῖς ἐπιστεύσατε· οἱ Φωκεῖς ἐπύθοντο· ἐνέδωκαν ἑαυτούς·
ἀπώλοντο. ὅθεν, οἶμαι, καὶ δῆλόν ἐστι σαφῶς, ὅτι πᾶσα
[3] ἀπάτη καὶ τέχνη συνεσκευάσθη τοῦ περὶ τοὺς Φωκέας
ὀλέθρου. ὃν μὲν γὰρ χρόνον οὐχ οἷός τ' ἦν ἐλθεῖν ὁ Φίλιππος
[4] διὰ τὴν εἰρήνην, ἀλλ' ἦν ἐν παρασκευῇ, τοὺς Λακεδαιμο-
νίους μετεπέμπετο, πάντα τὰ πράγματα ὑποσχόμενος
πράξειν [5] ἐκείνοις, ἵνα μὴ δι' ὑμῶν αὐτοὺς [6] οἱ Φωκεῖς ὑπο-
ποιήσωνται· ἐπειδὴ δὲ ἧκεν εἰς Πύλας, οἱ Λακεδαιμόνιοι δ'

[1] τὴν αὐτῶν ἀρετήν [2] ἀνθρώπων [3] ἡ ἀπάτη [4] μετὰ
[5] ἐκείνοις ὑποσχόμενος πράξειν [6] οἱ φωκεῖς αὐτοὺς

ὂν ἡμερῶν ταῦτα πεπρᾶξεσθαι. Taylor.

κς´. Ὡς πονηροὶ] Ὡς πονηρῶν legendum. Spectat enim praecedentem genitivum Φωκέων. Obsop. Ita MSS. Felic. et Man. Ita Exemplar D. Askew. Taylor.

Ἀρετὴν] Adde αὐτῶν ex Editt. Ald. et Lutec. et exemplaribus probatissimis Ven. Harl. Aug. Idem.

Εὐβοέας τουτουσὶ] *Eubœenses hos*, vel *istos*. Demonstrative: licet istud, de quo Sermo tunc fit, non *adsit*. Qui Græcis est usus Pronominis οὗτος, de re aliqua omnibus bene *nota*. Sic §. νά. ἤρετο Σάτυρον τουτονὶ, *Satyrum* HUNC *interrogavit*. Satyrus non tunc *aderat*: vide quæ sequuntur. Ita, §. ξί. *post med.* Πυθοκλέα τουτονὶ, et §. ξς´. *ante med.* Φίλιππον τουτονὶ et passim in hac ipsa Oratione. Unde explicandus locus iste in Leptinea, p. 480. 8. Ed. Reisk. de Chabria: εἷλε δὲ τῶν νήσων τούτων τὰς πολλάς: *harum* vel *istarum insularum plerasque*, scil. quas omnes novistis: de quibus Insulis vide Cl. Taylorum ad Marmor Sandvicense. Aliud agebam, cum vocem τούτων ibi delendam putavi, immemor exemplorum hujusce rei plurium, quæ antea dederam ad Max. Tyrium, Dissert. XXIII. p. 694. Ed. Lond. A Græcis mutuati sunt Latini eundem morem loquendi in pronomine *Hic*. Markland.

Ἐπύθοντο] Ἐπείθοντο Lambinus: forte propter §. κά. *ad init.* Sed omnino præter rem. Flagitat locus, ut intelligatur de iis rebus, quæ gestæ erant Athenis, et quas Phocenses *resciverunt*. Confer §. κ´. per totam: Ubi, inter alia dicitur, εἰκὰς, ἣ τίθεμεν πυθέσθαι τοὺς Φωκέας τὰ παρ' ὑμῶν. Sin alium exspectet Lector meus fidejussorem, præstabo. Ecce enim Suidas: πυνθάνεσθαι—ἀντὶ τοῦ ἀκούειν—Δημοσθένης ἐν τῷ περὶ τῆς Παραπρεσβείας. Οὗτος ἀπήγγειλε τὰ ψευδῆ· ὑμεῖς ἐπιστεύσατε· οἱ Φωκεῖς ἐπύθοντο. Taylor.

Πᾶσα ἀπάτη] F. πᾶσ' ἡ ἀπάτη, ut §. πθ´. *ad init.* τὴν ἀπάτην ὅλην. Markland.

Ὀλέθρου] Subaudi ἕνεκα. Auger.

Τοὺς Λακεδαιμονίους μετεπέμπετο] Clam cum Phocensibus conjunctos fuisse Lacedæmonios tradit Diodorus. Wolf.

Ἵνα μὴ δι' ὑμῶν αὐτοὺς οἱ Φωκεῖς ὑποποιήσωνται] Hoc est, οἰκειώσωνται, *sibi concilient*. ὑποποιοῦμαι idem fermo est quod περιποιοῦμαι. *Ex edit.* Hervag.

αἰσθόμενοι τὴν ἔνεδραν ὑπεχώρησαν, τοῦτον αὖ προκαθῆκεν ἐξαπατᾷν ὑμᾶς, ἵνα μὴ πάλιν ὑμῶν αἰσθομένων, ὅτι Θηβαίοις τὰ πράγματα πράττει, εἰς χρόνους, καὶ πόλεμον, καὶ τριβὴν ἐμπέσῃ, τῶν μὲν Φωκέων ἀμυνομένων, ὑμῶν δὲ βοηθούντων, ἀλλ' ἀκονιτὶ πάνθ' ὑφ' ἑαυτῷ ποιήσηται. ὅπερ καὶ γέγονε. μὴ οὖν ὅτι καὶ Λακεδαιμονίους καὶ Φωκέας ἐξηπάτησε Φίλιππος, διὰ ταῦθ' ὧν ὑμᾶς οὗτος ἐξηπάτησε, μὴ δότω δίκην. οὐ γὰρ δίκαιον.

κζ'. Ἂν τοίνυν ἀντὶ Φωκέων, καὶ Πυλῶν, καὶ τῶν ἄλλων τῶν ἀπολωλότων, [1] Χεῤῥόνησος ὡς περίεστι τῇ πόλει λέγῃ, πρὸς Διὸς καὶ θεῶν, μὴ ἀποδέξησθε, ὦ ἄνδρες δικασταὶ, μηδ' ὑπομείνητε, πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε, καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος προσκατασκευασθῆναι τῇ πόλει· ὡς ἄρα ὑμεῖς τῶν ἰδίων τι κτημάτων ὑπεξαιρούμενοι, τὴν τῶν συμμάχων σωτηρίαν προήκασθε. οὐ γὰρ ἐποιήσατε τοῦτο, ἀλλ' ἤδη τῆς εἰρήνης γεγονυίας, καὶ τῆς Χεῤῥονήσου σώας οὔσης, τέτταρας μῆνας ὅλους ἐσώζοντο οἱ 368
Φωκεῖς τοὺς ὕστερον· ἡ δὲ τούτου ψευδολογία, μετὰ ταῦθ' ὕστερον αὐτοὺς ἀπώλεσεν, ἐξαπατήσασα ὑμᾶς. εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ τὴν Χεῤῥόνησον οὖσαν εὑρήσετε, ἢ τότε. πότερον γὰρ εὐπορώτερον ἂν δίκην ἔδωκε Φίλιππος ἐξαμαρτὼν εἰς αὐτὴν, πρὶν τούτων τι τῆς πόλεως προλαβεῖν, ἢ νυνί; ἐγὼ μὲν οἶμαι τότε πολλῷ. τίς οὖν ἡ ταύτης

[1] Χεῤῥόνησον

Μὴ οὖν ὅτι καὶ Λακεδαιμονίους] *Non igitur hic pœnas ideo non pendet imposturæ in perniciem vestram admissæ, quod et Lacedæmoniis et Phocensibus Philippus imposuit. neque enim id æquum est.* Ubi videre est, duas negationes geminatas affirmare interdum, ut apud Latinos quoque. Idem alibi, [§. ρη.] κελεύσαντος δ' ἐκείνου λέγειν, καὶ τι καὶ νεανιευσαμένου τοιοῦτον ὡς οὐδὲν ὅ, τι οὐ ποιήσει, εἰπεῖν φασὶν, ὅτι, &c. *Jubente autem illo dicere, atque hujusmodi aliquid jactabunde, juvenilique ferocia pollicente nihil non se facturum.* Hoc enim significat νεανιεύεσθαι voce passiva prolatum. Idem.

κζ'. Ἂν τοίνυν κ. τ. λ.] Vid. Hermog. de Invent. pag. 151. Edit. Port. Verba quidem non magnopere illustrat, neque enim illustrari egent, sed vim Oratoris nostri et artificium, eamque Figuram, in qua dominatur maxime, satis dilucide ob oculos ponit. Taylor.

Ὑπεξαιρούμενοι] *Eriperetis* Wolfius: minus accurate; *per levare occultamente dal pericolo alcuna delle vostre cose*, uti optimus Interpres Etruscus. Idem.

Τέτταρας μῆνας ὅλους] Attamen, ut recte Contarenus, Var. Lect. Cap. 17. a die XIX. Elaphebolionis, quo die Pacem factam fuisse constat, si numerando perveniamus ad diem XXIII. Scirrhophorionis, quo redigerentur Phocenses, non amplius *tribus mensibus* reperietur cum *diebus quatuor*. Vide, quæ dixi ad §. κ'. *in init.* Idem.

Τούτων] Conjeceram τοῦτον, sed abstinui, monitus a Scholiaste. Phocis, sive Resp. Phocensium, constabat ex plurimis Civitatibus: Αἵ τε πόλεις πολλαὶ καὶ χαλεπαὶ λαβεῖν, αἱ τῶν Φωκέων, ut ait Noster in sequentibus, sc. §. λθ'. *ante med.* Nimirum numero erant XXII. Ad has respicit Orator. τοῦτον habet marg. Exemplaris Ask. Idem.

Τίς οὖν ἡ ταύτης σωτηρία] Id est, ut

περιουσία, τῶν φόβων ἀφῃρημένων, καὶ τῶν κινδύνων [1] τῶν τοῦ βουληθέντος αὐτὴν ἀδικῆσαι;

κή. Ἔτι τοίνυν, καὶ τοιοῦτόν τι μέλλειν αὐτὸν ἀκούω λέγειν, ὅτι θαυμάζει, τί δήποτε Δημοσθένης μὲν αὐτοῦ κατηγορεῖ, Φωκέων δὲ οὐδείς. ὡς δὴ τοῦτ᾽ ἔχει, βέλτιον προακοῦσαι παρ᾽ ἐμοῦ. Φωκέων τῶν ἐκπεπτωκότων οἱ μὲν, οἶμαι, βέλτιστοι καὶ μετριώτατοι, φυγάδες γεγενημένοι, καὶ τοιαῦτα πεπονθότες, ἡσυχίαν ἄγουσι, καὶ οὐδεὶς ἂν αὐτῶν ἐθελήσειεν, ὑπὲρ τῶν κοινῶν συμφορῶν, ἰδίαν ἔχθραν ἀνελέσθαι· οἱ δὲ [2] μηδοτιοῦν ἄνευ ἀργυρίου ποιήσοντες, τὸν δώσοντα οὐκ ἔχουσιν ἑαυτοῖς. οὐ γὰρ ἔγωγ᾽ ἂν ἔδωκα οὐδενὶ οὐδὲν, ὥστε μοι παραστάντας ἐνταυθοῖ, βοᾷν οἷα πεπόνθασιν· ἡ γὰρ ἀλήθεια, καὶ τὰ πεπραγμένα [3] αὐτοῖς βοᾷ. ἀλλὰ μὴν, [4] ὅ, τε δῆμος ὁ τῶν Φωκέων, οὕτω κακῶς καὶ ἐλεεινῶς διάκειται, ὥς τε μὴ περὶ τοῦ κατηγορεῖν ἑκάστῳ τὰς Ἀθήνησιν εὐθύνας εἶναι τὸν λόγον, ἀλλ᾽ [5] οὐ δουλεύειν,

[1] [τῶν] τοῦ βουληθέντος ἂν αὐτὴν
[2] ὁτιοῦν ἂν ἀργυρίου ποιήσαντες
[3] αὐτοῖς αὐτὰ βοᾷ
[4] ὅ γε
[5] Deest οὐ.

opinor, πλεονέκτημα. *Quare nunc est meliore conditione, quam prius?* Sed fortasse rectius: *Quæ est utilitas ejus conservandæ, cum sine periculo nobis eripi possit?* Wolf. Absurde! ut potuit maxime. Aliter ac Wolfius, hunc locum, et vim vocis Περιουσία, illustrat Christoph. Rufus apud Gruter. Thes. Crit. Tom. II. *Che salvezza adunque è quella di Cherroneso hora essendo tolte via le paure e' pericoli di chi la vuole offendere?* Ita Hieron. Ferro. Taylor.

Τίς οὖν ἡ ταύτης περιουσία] Quid igitur prodest Cherronesum superesse, et esse incolumem, quum impune a Philippo diripi possit, cum primum illi commodum atque etiam visum fuerit? Quam varie τῆς περιουσίας vocabulum accipiatur, vide in Comment. Bud. *Ex edit.* Hervag.

κή. Μὲν] Restitui, necessarium enim erat, ex Edit. Lutec. et MSS. Ven. Aug. Harl. Taylor.

Μηδοτιοῦν κ. τ. λ.] Plurimi MSS. arripiunt, et in eo mire consentiunt, οἱ δ᾽ ὁ, τιοῦν ἂν δι᾽ ἀργύριον ποιήσαντες. Hanc lectionem, et fortasse præstantiorem, sequitur eruditus Interpres Etruscus: *Quegli che ogni cosa per danari fanno.* Idem.

Ἑαυτοῖς] Αὐτοῖς melius cum Harl. et Regg. α. δ. Idem.

Αὐτοῖς] Anne ita accipiendum est, quasi diceret Auctor noster: *Veritas et res ipsa* pro illis *clamant?* An potius cum MSS. et cum Maximo Sophista, qui hunc locum laudat, emendabimus, καὶ τὰ πεπραγμένα αὐτὰ βοᾷ? Ita enim Felic. Manut. Codd. Reg. ε. Obsop. Ital. Cant. Harl. et Ask. Idem.

Ὅ, τε δῆμος] Ὅ γε δῆμος, uti expresserunt Editi Felician. et Manut. MSti Obsop. Ital. marg. Ask. et admonuit Lambinus. Idem.

Ὥστε μὴ περὶ κ. τ. λ.] *Ita ut non sit unicuique cura de accusando &c.* hic mihi sensus videtur eo loci vocis λόγου. Auger.

Εὐθύνας] Exscribo Ulpianum, ut exponat, et enodet, si quis in ejus lectione erit me peritior et exercitatior: sc. Ὥστε μὴ εἶναι ἕκαστον τῶν λόγων, εἴ τις Ἀθήνησιν εὐθύνας δίδωσι. οἱ δὲ ἐνήλλαξαν ὡς ἐν σχήματι τὰς πτώσεις, γενικὴν ἀντὶ αἰτιατικῆς εἰληφότες, καὶ εὐθυνῶν εἰπόντες. Nequeo sane hariolari, quid velit. συγκατηγορεῖν Lambinus; qui totam etiam hanc periodum ita confingit: ὥστε μὴ περὶ τοῦ συγκατηγορεῖν ἑκάστῳ τὰς εὐθύνας (deleto Ἀθήνησιν) εἶναι τὸν λόγον, ἀλλὰ τοῦ δουλεύειν κ. τ. λ. Porro περὶ τὰς Ἀθήνησιν εὐθύνας Codd. α. δ. Sed locus, etiam his omnibus adjumentis, non satis est defæcatus. Taylor.

Ἀλλ᾽ οὐ δουλεύειν] Forte, ἀλλὰ περὶ τοῦ μὴ δουλεύειν, καὶ τεθνᾶσι τῷ φόβῳ, pro τεθνάναι, quod tamen pendere potest ab

καὶ τεθνᾶναι τῷ φόβῳ, καὶ τοὺς Θηβαίους, καὶ τοὺς Φιλίππου ξένους, [1] οὓς ἀναγκάζονται τρέφειν, διῳκισμένοι κατὰ κώμας, καὶ παρῃρημένοι τὰ ὅπλα. μὴ δὴ ταῦτα λέγειν αὐτὸν ἐᾶτε, ἀλλ' ὡς οὐκ ἀπολώλασι Φωκεῖς δεικνύναι, ἢ ὡς 367
οὐχ ὑπέσχετο σώσειν αὐτοὺς Φίλιππον. τοῦτο γάρ εἰσι πρεσβείας εὔθυναι, τί πέπρακται; τί ἀπήγγειλας; εἰ μὲν ἀληθῆ, σώζου· εἰ δὲ ψευδῆ, δίκην δός. εἰ δὲ μὴ πάρεισι Φωκεῖς, τί τοῦτο; οὕτω γὰρ διέθηκας αὐτούς, οἶμαι, τὸ μέρος σύ, ὥς τε μήτε τοῖς φίλοις βοηθεῖν, μήτε τοὺς ἐχθροὺς ἀμύνεσθαι δύνασθαι.

κθ'. Καὶ μήν, ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης καὶ ἀδοξίας, ἣν τὰ πεπραγμένα ἔχει, καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. τίς γὰρ οὐκ οἶδεν ὑμῶν, ὅτι τῷ Φωκέων πολέμῳ, καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας, ἥ τε ἀπὸ Θηβαίων ἄδεια ὑπῆρχεν ὑμῖν, καὶ τὸ μηδέποτ' ἂν ἐλθεῖν εἰς Πελοπόννησον, μηδ' εἰς Εὔβοιαν, μηδ' εἰς τὴν Ἀττικὴν [2] Φίλιππον, μηδὲ Θηβαίους; ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν πραγμάτων αὐτῶν ἀσφάλειαν ὑπάρχουσαν τῇ πόλει, ταῖς τούτων ἀπάταις καὶ ψευδολογίαις πεισθέντες, [3] προήκαθ' ὑμεῖς· καὶ τετειχισμένην ὅπλοις, καὶ πολέμῳ συνεχεῖ, καὶ πόλεσι μεγάλαις συμμάχων [4] ἀνδρῶν, καὶ χώρᾳ πολλῇ, περι-

[1] [οὓς] [2] μηδὲ Φίλιππον [3] προήκασθ' [4] * ἀνδρῶν, χώραν πολλὴν

ἐστι. Wolf. Vid. Var. Lect.

Τεθνᾶναι τῷ φόβῳ] *Mori timore*, i. e. timere quasi mortem, et construitur cum accusativo. Cujus extat exemplum in Philippica prima. [§. ιε'.] Auger.

Καὶ τοὺς Θηβαίους] Διὰ τοὺς Θηβαίους, Lambinus. Sed non est necesse. Proba est Constructio, τεθνᾶναι τῷ φόβῳ τοὺς Θηβαίους, *metu emori Thebanorum*; quam erudite explicat, ut audio, Cl. Frid. Lud. Abresch. Animadv. ad Æschyl. Lib. I. Cap. 9. Ita Demosthenes, Philipp. I. §. ιε'. *post med.* Ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. Et pene similiter Polybius, l. 1. initio: καταπλαγεῖς γενόμενοι τὴν ἔφοδον. Atque hic adducendus est Priscianus, licet valde laceratus. Ita Ille: Demosthenes, καὶ περιῶν ἐν Βαιοῖς (f. Θηβαίοις) τεθνᾶναι τῷ δέει τὸν Φίλιππον. lib. 13. col. 1176. Taylor.

Τοῦτο γὰρ] Lambinus mavult, αὗται γάρ εἰσι πρεσβείας εὔθυναι, nulla, vel saltem, non maxima, necessitate. Idem.

κθ'. Πραγμάτων] *Rebus ipsis*, Wolfius. Vult Auctor *negotium*, *difficultatem*, *molestiam*, quam Philippo exhibebant istæ Pylarum angustiæ. Ea est creberrima notio vocis πραγμάτων. Ita modo, §. λα'. Ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία, τοσούτων πραγμάτων, καὶ τηλικαύτης ταραχῆς ἡμῖν αἰτία γέγονε. Et rursus, §. νγ'. Οἵοις κακοῖς καὶ πράγμασι—συνεσχόμην, ἑωράκατε. Denique §. μγ'. *a med.* τὰ τῆς πόλεως πράγματα, ἐν οἷς ἦν τότε. Add. De Cor. §. 4. §. ιδ'. *ad init.* Idem.

Τετειχισμένην] Etsi ad ἀσφάλειαν duriuscule Participia τετειχισμένην καὶ ἀνασταθεῖσαν referuntur, tamen, cum χώρᾳ πολλῇ sequatur, non ausim legere καὶ χώραν τετειχισμένην χώρᾳ πολλῇ. Wolf.

Ibid. Videtur desiderari Vox πόλιν in hac sententia; nempe *civitatem* Phocensium. Aliter nihil erit, ad quod referre possis τετειχισμένην. Markland.

εἴδετε ἀνασταθεῖσαν. καὶ ματαία μὲν ἡ προτέρα βοήθεια [1] εἰς Πύλας ὑμῖν γέγονεν, ἣν μετὰ πλειόνων ἢ διακοσίων ταλάντων [2] ἐποιήσασθε, ἐὰν λογίσησθε τὰς ἰδίας δαπάνας τῶν στρατευσαμένων· μάταιαι δὲ καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες.

λ'. Ὃ δὲ, πολλῶν ὄντων καὶ δεινῶν, ὧν οὗτος ὑπηρέτηκε Φιλίππῳ, πλείστην ὕβριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως, καὶ κατὰ πάντων ὑμῶν, τοῦτ' ἀκούσατέ μου· ὅτι τοῖς Θηβαίοις ἐγνωκότος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ'
368 ἅπερ [3] προῄρητο ποιεῖν, οὗτος ἀπαγγείλας τἀναντία, καὶ φανεροὺς ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους, ὑμῖν μὲν τὴν ἔχθραν τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πεποίηκε. πῶς ἂν οὖν ὑβριστικώτερον ἄνθρωπος [4] ὑμῖν ἐχρήσατο; λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ τοῦ Διοφάντου, καὶ τὸ τοῦ Καλλισθένους, ἵν' εἰδῆτε, ὅτι, ὅτε μὲν τὰ δέοντα ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς, καὶ παρὰ τοῖς [5] ἄλλοις· ἐπειδὴ δὲ ὑπὸ τούτων παρεκρούσθητε, παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν [6] μετεκομίζετε, καὶ τὰ Ἡράκλεια ἐντὸς τείχους θύειν ἐψηφίζεσθε, εἰρήνης οὔσης. ὃ καὶ θαυμάζω, εἰ τὸν μηδὲ τοὺς θεοὺς, καθ' ὃ πάτριον ἦν, τιμᾶσθαι ποιήσαντα, τοῦτον ἀτιμώρητον ἀφήσετε· λέγε τὸ ψήφισμα.

[1] ἡ εἰς [2] ἐποιήσασθ' ὑμεῖς, [3] * προῄρητο [4] ὑμῖν ἄνθρωπος [5] ἄλλοις Ἕλλησιν. [6] μετεκομίζεσθε

λ'. Προῄρητο ποιεῖν] Προαίρεσις illa fuit belli Phocensis Confectio. Wolf.

Ibid. Legendum fortasse πάνθ', ἅπερ πεποίηκε, οὗτος κ. τ. λ. Ita MSS. Harl. et Bodl. Taylor.

Καὶ φανεροὺς ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους] S. Φίλιππον τοῖς Θηβαίοις ἅπαντα ποιεῖν, *vestra aversatione declarata*, id est, *cum aperte præ vobis tulissetis odium in Thebanos vestrum*. Wolf.

Καλλισθένους] Callisthenis plebiscitum asservatur, verbis disertissimis, in Orat. De Corona, §. ιϛ'. *a med.* hujus Editionis. Taylor.

Μετεκομίζετε] Κατεκομίζετε Ven. Lind. Harl. Regii δ. ζ. Infra §. λθ'. *post med.* loco perquam simili: αὐτοὶ ἐξεπέπληχθε, καὶ παῖδας, καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε, καὶ τὰ φρούρια ἐπισκευάζειν, καὶ τὸν Πειραιᾶ τειχίζειν, καὶ τὰ Ἡράκλεια ἐν ἄστει θύειν. Atque ita scribitur disertissimis verbis ipsius Decreti: κατακομίζειν τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην. De Corona §. ιβ'. *post med.* Idem.

Ἡράκλεια] Πολλῶν ὄντων κατὰ τὴν Ἀττικὴν Ἡρακλείων, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ἤτοι τῶν ἐν Μαραθῶνι, ἢ τῶν ἐν Κυνοσάργει μνημονεύει. Ταῦτα γὰρ διὰ τιμῆς μάλιστα ἦγον Ἀθηναῖοι. Suid. ex Harpocrat. Observat, non tamen pro sua solita felicitate, Kusterus, accipi apud Demosthenem in hac Oratione vocem Ἡράκλεια, *non pro Templo*, sed pro *Festo* Herculis. Proinde quasi non ita essent accipienda verba Lexicographi quoque. Ταῦτα, sc. τὰ ἱερά. vel ταύτας, ut scribitur quoque, i. e. ἑορτάς. Vid. Vales. ad Harpocrat. Observo, Festa Atheniensia neutro genere perpetuo efferri. Vox igitur ταῦτα doctissimum Kusterum torquere non debuit. Idem.

Εἰ μηδὲ τὸν τοὺς θεοὺς] Lego, εἰ τὸν μηδὲ τοὺς θεούς. Wolf. Sed et ita excudebatur quoque a Felician. Manut. et Benenat. Ita Bodl. quoque. Taylor.

ΨΗΦΙΣΜΑ.

Ταῦτα μὲν τότε ἄξια, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πεπραγμένων ἐψηφίσασθε. λέγε δὴ τὰ μετὰ ταῦτα.

ΨΗΦΙΣΜΑ.

Ταῦτα τότε ἐψηφίζεσθ' ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν οὔτε καταρχὰς ποιησάμενοι τὴν εἰρήνην καὶ τὴν συμμαχίαν, οὔθ' ὕστερον ἐγγράψαι πεισθέντες [1] αὐτὴν καὶ τοῖς ἐκγόνοις· ἀλλ' ὡς θαυμάσια ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά. καὶ μὴν καὶ μετὰ ταῦτα ὁσάκις πρὸς Πορθμῷ, ἢ πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φιλίππου καὶ ξένους, [2] ἐθορυβεῖσθε, πάντες ἐπίστασθε. οὐ τοίνυν εἰ μή πω τῆς Ἀττικῆς ἐπιβαίνει, δεῖ σκοπεῖν, οὐδὲ ῥαθυμεῖν, ἀλλ' εἰ διὰ τούτους ἐξουσία γέγονεν αὐτῷ τοῦθ' ὅταν βούληται ποιῆσαι, τοῦθ' ὁρᾶν, καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ τὸν αἴτιον, καὶ τὸν παρασκευάσαντα τὴν ἐξουσίαν ταύτην 369 ἐκείνῳ, μισεῖν καὶ τιμωρεῖσθαι.

λά. Οἶδα τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν κατηγορημένων αὐτοῦ λόγους Αἰσχίνης φεύξεται· βουλόμενος δ' ὑμᾶς ὡς πορρωτάτω τῶν [3] πραγμάτων ἀπάγειν, διέξεισιν, ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρήνης γίγνεται, καὶ τοὐναντίον ἐκ τοῦ πολέμου κακά, καὶ ὅλως ἐγκώμια εἰρήνης ἐρεῖ, καὶ τοιαῦτα ἀπολογήσεται. ἔστι δὲ καὶ ταῦτα πάντα κατηγορήματα τούτου. εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία, τοσούτων πραγμάτων, καὶ τηλικαύτης ταραχῆς ἡμῖν αἰτία

[1] αὐτῇ· [2] ὡς ἐθορυβεῖσθε [3] πεπραγμένων

ΨΗΦΙΣΜΑ] In marg. Benenati scribitur [sine auctoritate. *Reisk.*]: Ψήφισμα Διοφάντου, οἷον τὸ θῦσαι τοῖς θεοῖς, ὑπὲρ τοῦ διᾶξαι Φίλιππον. Idem.

ΨΗΦΙΣΜΑ] Ibidem [tacita auctoritate. *Reisk.*]: Ψήφισμα Καλλισθένους, οἷον τὸ σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, δι' ὅπερ ἐποίησε Φίλιππος εἰς τοὺς Φωκέας. Rectius sane hoc adnotatum, quam illud prius. Idem.

Αὐτὴν] F. αὐτῇ: deinde ΚΑΙ ΤΟΙΣ ΕΚΓΟΝΟΙΣ, literis majusculis. Vel εἰς αὐτὴν, ut §. ιζ. in *fin.* His verbis, καὶ τοῖς ἐκγόνοις, sæpe Æschinem pungit Demosthenes. Markland.

Ἐθορυβεῖτε] Usus est verbo θορυβεῖν, id est, *tumultuari*, pro *in tumultu esse*, et quasi *tumultum decernere*. id ferme quod lingua vernacula dicimus emoveri, aut etiam mutinari, quod verbum a mutiendo, id est, mussando deductum est. Populus enim multa in hujusmodi consternatione summissim dicere solet, quæ aperte non audet. Vide Annot. in Pand. *Ex edit.* Hervag.

Καὶ τὸν αἴτιον] Scil. τούτων τῶν φόβων. Auger.

λα'. Ὑπὲρ τῶν κατηγ.] Ὡς ὑπὲρ τῶν κατηγορημένων αὐτοῦ lege. Wolf. Alii enim incorrecte habent κατηγορουμένων. Et αὐτῷ porro, non αὐτοῦ, in Editis omnibus. Taylor. Vid. Var. Lect.

γέγονε, τί τις εἶναι τοῦτο φαίη, πλὴν ὅτι δῶρα λαβόντες οὗτοι, καλὸν πρᾶγμα φύσει, κακῶς διέθηκαν; τί δέ; οὐ τριήρεις τριακόσιαι, καὶ σκεύη ταύταις, καὶ κτήμαθ' ὑμῖν περίεστι, καὶ περιέσται διὰ τὴν εἰρήνην; ἴσως ἂν εἴποι. πρὸς δὴ ταῦτα, [1] ἐκεῖνο ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ Φιλίππου πράγματα ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ, καὶ κατασκευαῖς ὅπλων, καὶ χώραις, καὶ προσόδοις, αἳ γεγόνασιν ἐκείνῳ μεγάλαι· γεγόνασι δὲ καὶ [2] ἡμῖν τινές· ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμμάχων, δι' ἣν ἢ [3] αὐτοῖς ἢ τοῖς κρείττοσι τὰ ἀγαθὰ πάντες κέκτηνται, ἡ μὲν ἡμετέρα, πραθεῖσα ὑπὸ τούτων, ἀπόλωλε, καὶ γέγονεν ἀσθενής, ἡ δ' [4] ἐκείνων φοβερὰ καὶ μείζων πολλῷ. οὐ δὴ δίκαιον, ἐκείνῳ μὲν ἀμφότερα ηὐξῆσθαι διὰ τούτους, καὶ τὰ τῶν συμμάχων, καὶ τὰ τῶν προσόδων· [2] ἡμῖν δὲ, [5] ἃ δικαίως ἂν ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτα ἀνθ' ὧν ἀπέ-
370 δοντο οὗτοι λογίζεσθαι. οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων γέγονεν· οὐδὲ πολλοῦ δεῖ· ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως [2] ἡμῖν, ἐκεῖνα δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους.

λβ'. Ὅλως δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δίκαιον δήπου φήσαιτ' ἂν εἶναι, μήτ', εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότα ἐστὶ τῇ πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦ-

[1] *ἐκείνως [2] ὑμῖν [3] αὐτοῖς [4] ἐκείνου [5] ἃ, καὶ δικαίως,

Κτήμαθ'] Rectius χρήμαθ', et tuentur complures : Codd. sc. α. β. δ. Obsop. Harl. Ask. cum Editis Felio. et Manut. Atque ita a Maximo laudatur locus, et restitui voluit Cl. D'Orvillius ad Chariton. Aphrodis. II. 7. TAYLOR.

Κατασκευαῖς] Sedulo lectori meo commendo varietatem Cod. Harleiani : ὅτι καὶ τὰ Φιλίππου πράγματα—γέγονεν εὐπορώτερα πολλῷ, καὶ κατασκευαὶ ὅπλων, καὶ χῶραι, καὶ πρόσοδοι γεγόνασιν ἐκείνῳ μεγάλαι. IDEM.

Μεγάλαι] Post hanc vocem sequitur in Maximo Sophista. Τὰ δὲ ἐκείνου οὐδεὶς ἀπέδοτο, ὡς οὗτοι τὰ ἡμέτερα. Οὐ δὴ δίκαιον etc. deinceps, uti in v. 13. Intermedia desiderantur. IDEM.

Πραγμάτων] F. προσόδων, ex seqq. v. 14. MARKLAND.

Ἐκείνων] F. ἐκείνου, sc. Philippi. IDEM. Vid. Var. Lect.

Ηὐξῆσθαι] Vid. Var. Lect.

Ἡμῖν δὲ, ἃ δικαίως] Hic est ordo verborum : οὐ δίκαιον ταῦτα, ἃ ὑπῆρχεν ἂν ὑμῖν δικαίως ἐκ τῆς εἰρήνης, λογίζεσθαι ἀντὶ τούτων, ἃ οὗτοι ἀπέδοντο. Τί δὲ ἀπέδοντο; τὴν τῶν πραγμάτων κατασκευὴν, καὶ τῶν συμμάχων. WOLF. Recte quidem hoc : sed perperam vertit, aut potius, quæ male verterat, mutare destitit. *Istorum corruptelis æstimari* : Quanto felicius Ferrus : *E che le cose, lequali à noi debitamente veniuano per la pace, voi contiate in luogo di quelle che costoro hanno venduto.* TAYL.

Δικαίως] Hic sumi potest pro ἀληθῶς *vere.* AUGER.

Οὐδὲ πολλοῦ δεῖ] *Neque multis verbis est opus.* WOLF. Nequaquam. Verte : *Longe abest.* Uti nos solemus dicere : *No. Not by a great deal.* Interpres Italicus, quod non intellexit, dissimulavit, et in versione omisit. Vide Cl. Marklandum, supra, §. ια'. *ante med.* TAYLOR.

Εἰ μὴ διὰ τούτους] Εἰ μὴ οὗτοι ἐμποδὼν ἐγένοντο. Isocrates in Panegyrico : καὶ γὰρ τούτους περιγενέσθαι τῆς βασιλέως δυνάμεως ὁμολογοῦσιν, εἰ μὴ διὰ Κῦρον. Τουτέστιν, εἰ μὴ ἂν ὁ Κῦρος τῆς νίκης ἀπεστέρησεν. WOLF. *If it had not been for Cyrus.* TAYLOR.

τὸν ἐλθεῖν τὴν ὀργήν, μήτ', εἴ τι τῶν δεόντων πέπρακται δι'
ἄλλον τινά, τοῦτο σῶσαι τουτονί· ἀλλ' ὅσων οὗτος αἴτιος
σκεψάμενοι, καὶ χάριν, ἂν ταύτης ἄξιος ᾖ, καὶ τοὐναντίον
ὀργήν, ἂν τοιαῦτα φαίνηται πεποιηκώς, ποιεῖσθε. πῶς οὖν
εὑρήσετε ταῦτα δικαίως; ἐὰν μὴ πάνθ' ἅμα ἐᾶτε [1] ταράτ-
τειν αὐτόν, τὰ τῶν στρατηγῶν ἀδικήματα, τὸν πόλεμον
τὸν πρὸς Φίλιππον, τἀπὸ τῆς εἰρήνης ἀγαθά, ἀλλ' ἕκαστον
ἐφ' ἑαυτοῦ [2] σκοπεῖτε. οἷον, ἦν [3] ἡμῖν πόλεμος πρὸς Φίλιπ-
πον. ἦν. ἐνταῦθ' ἐγκαλεῖ τις Αἰσχίνῃ; βούλεταί τις τού-
του κατηγορεῖν περὶ τῶν ἐν τῷ πολέμῳ πραχθέντων; οὐδὲ
εἷς. οὐκοῦν περὶ τούτων γε ἀφεῖται, καὶ οὐδὲν αὐτὸν δεῖ
λέγειν. περὶ γὰρ τῶν ἀμφισβητουμένων, καὶ τοὺς μάρτυρας
παρέχεσθαι, καὶ τὰ τεκμήρια δεῖ λέγειν τὸν φεύγοντα, οὐ
τὰ ὁμολογούμενα ἀπολογούμενον, ἐξαπατᾷν. ὅπως τοίνυν
[4] τὰ περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς· οὐδεὶς γὰρ οὐδὲν αἰτιᾶταί
σε περὶ αὐτοῦ. μετὰ ταῦτα [5] δ' εἰρήνην τινὲς ἡμᾶς ἔπειθον
ποιήσασθαι· ἐπείσθημεν· πρέσβεις ἐπέμψαμεν· ἤγαγον οὗ-
τοι δεῦρο τοὺς ποιησομένους τὴν εἰρήνην. πάλιν ἐνταῦθα
περὶ τούτων μέμφεταί τις Αἰσχίνην; φησί τις εἰσηγήσασθαι
τοῦτον [6] εἰρήνην, ἢ ἀδικεῖν, ὅτι δεῦρ' ἤγαγε τοὺς ποιησομένους;
οὐδὲ εἷς. οὐκοῦν οὐδ' ὑπὲρ αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν 371
εἰρήνην, οὐδὲν αὐτῷ λεκτέον· οὐ γὰρ οὗτος αἴτιος. τί οὖν,
ἄνθρωπε, λέγεις, εἴ τις ἔροιτό με, καὶ πόθεν ἄρχῃ κατη-
γορεῖν; ὅθεν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλευομένων ὑμῶν, οὐ
περὶ τοῦ εἰ ποιητέον εἰρήνην, ἢ μή,—ἐδέδοκτο γὰρ ἤδη τοῦτό
γε—, ἀλλ' ὑπὲρ τοῦ ποίαν [7] τινά. τοῖς γὰρ τὰ δίκαια γρά-
φουσιν ἀντειπών, τῷ μισθοῦ γράφοντι συνεῖπε, δῶρα λα-
βών· καὶ μετὰ ταῦτα ἐπὶ τοὺς ὅρκους αἱρεθεὶς, ὧν μὲν ὑμεῖς

[1] ταράττειν αὐτὸν ἐᾶτε [2] σκοπῆτε [3] ὑμῖν [4] Deest τά. [5] Deest δ'.
[6] * τὴν εἰρήνην [7] τινὰ, τοῖς τὰ

λϛ'. Χάριν] Quære de phrasi, χάριν et ὀργὴν ποιεῖσθαι. Markland.

Καὶ χάριν, ἂν ταύτης κ. τ. λ.] Ποιεῖσθαι χάριν τι, est *animo benevolo accipere aliquid, et gratiam habere*, cui opponitur, ποιεῖσθαι ὀργὴν τὸ πρᾶγμα. Ex *edit.* Hervag.

Τοιαῦτα] F. τἀναντία. Taylor.

Ποιεῖσθε] *Faciatis*, in imperativo. Aug.

Φίλιππον] Ita distingue, ut opinor: ἦν ἡμῖν πόλεμος πρὸς Φίλιππον; Interrogative. Markland.

Αὐτὸν ἀφεῖται] Vid. Var. Lect.

Μέμφεταί τις Αἰσχίνην;] F. Αἰσχίνῃ. Wolf. Ita Lambinus etiam. Taylor.

'Αλλ' ὑπὲρ κ. τ. λ.] 'Αλλ' ὑπὲρ τοῦ ποίαν τινὰ, τοῖς τὰ δίκαια etc. Ita distinguendum puto, et delendum γὰρ, quod constructioni officit. Markland. Recte sane. Ita excuderunt Parisienses. Et in Harleiano pariter deest particula, ut oportuit. Taylor.

προσετάξατε, οὐδοτιοῦν ἐποίησε, τοὺς δ' ἐπὶ τοῦ πολέμου
διασωθέντας ἀπώλεσε τῶν συμμάχων, καὶ [1]τηλικαῦτα
ἐψεύσατο, ἡλίκα οὐδεὶς ἀνθρώπων ἄλλος πώποτε, οὔτε
πρότερον, οὔθ' ὕστερον. τὸ μὲν γὰρ ἐξαρχῆς ἄχρι τοῦ λό-
γου τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησιφῶν καὶ Ἀρι-
στόδημος τὴν ἀρχὴν τὴν πρώτην ἔφερον τοῦ φενακισμοῦ·
ἐπειδὴ δ' εἰς τὸ πράττειν ἤδη τὰ πράγματα [2]ἧκε, Φιλο-
κράτει καὶ τούτῳ παρέδωκαν. [3]δεξάμενοι δ' οὗτοι, πάντ'
ἀπώλεσαν. εἶτ' ἐπειδὴ δεῖ λόγον αὐτὸν καὶ δίκην ὑπέχειν
τῶν πεπραγμένων, ὧν, οἶμαι, πανοῦργος οὗτος, καὶ θεοῖς
ἐχθρὸς, καὶ γραμματεὺς, ὡς ὑπὲρ τῆς εἰρήνης κρινόμενος
ἀπολογήσεται, οὐχ ἵνα πλειόνων ἢ κατηγορεῖ [4]τίς αὐτοῦ,
δῷ λόγον· μανία γὰρ τοῦτό γε· ἀλλ' ὁρᾷ τοῦθ', ὅτι ἐν μὲν
τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις, ἀγαθὸν μὲν οὐδέν ἐστιν,
ἅπαντα δὲ τἀδικήματα, ἡ δ' ὑπὲρ τῆς εἰρήνης ἀπολογία,
καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν ἔχει φιλάνθρωπον. ἣν δέ-
372 δοικα μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, δέδοικα, μὴ λελήθαμεν
ὥσπερ οἱ δανειζόμενοι ἐπὶ πολλῷ ἄγοντες. τὸ γὰρ ἀσφαλὲς
αὐτῆς, καὶ τὸ βέβαιον, οὗτοι προὔδοσαν, Φωκέας καὶ Πύ-
λας· οὐ μὴν διὰ τοῦτόν γε ἐξαρχῆς [5]ἐποιησάμεθα.

[1] τηλικαῦτα καὶ τοιαῦτα ἐψεύσατο [2] ἧκον [3] ἐνδεξάμενοι [4] τις
[5] ἐποιησάμεθα τὴν εἰρήνην.

Ἐπὶ τοῦ πολέμου] Ἐπὶ, *in*, ut §. μέ. in *fin.* ἐπὶ τῆς εἰρήνης, *in pace.* §. νγ. in *fin.* ἐπὶ τῆς ἀποδημίας. Markland. Inutile ergo erit corrigere, cum Harl. Aug. et Paris. α. δ. ε. ἐν τῷ πολέμῳ. Tayl.

Τηλικαῦτα] Τηλικαῦτα καὶ τοιαῦτα ἐψεύσατο Codd. Regg. β. δ. ζ. et Ven. Aug. Harl. Lind. *tanta et talia mendacia*, ut alicubi observavit Wolfius. Malim quidem, si opus sit correctione, τηλικαῦτα καὶ τοσαῦτα, quæ sæpissime quidem conjunguntur: uti infra, §. λή. *ad init.* τοσούτων καὶ τηλικούτων ἀδικημάτων αἴτιος. Et §. λθ'. *a med.* ἐπὶ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθά. Ita infra §. ϛγ'. *in fin.* τούτων οὐδὲν, τοσούτων καὶ τηλικούτων ὄντων. et alibi passim. Sed et conjunguntur quoque τηλικαῦτα καὶ τοιαῦτα, ut, exempli causa, §. ις'. *ad init.* Idem.

Τὸ μὲν γὰρ κ. τ. λ.] Pro τὸ Parisienses melius καί. Idem.

Τὴν ἀρχὴν] Delendum est utique vel τὴν ἀρχὴν, vel τὴν πρώτην. Altera vox est enim alteri pro glossemate. Priorem inducunt Reg. δ. et Harl. Idem.

Δεξάμενοι] Potius ἐνδεξάμενοι, uti præferunt Regg. α. δ. ε. Aug. et Harl. Idem.

Ὧν] Inutile hoc et otiosum. Natum est scil. ex fine verbi præcedentis. MSS. Felio. et Manut, ὧν οἶμαι ὁ πανοῦργος, et ὡς οἶμαι πανοῦργος. Idem.

Καὶ εἰ] Qui accuratius scribunt, scriberent εἰ καὶ μηδὲν ἄλλο. Et ita feliciter sane optimus Cod. Harleianus. Cum autem Lysias dixit, pag. 854. 8. Ed. Reisk. ὥστε ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι· καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης ἕνεκα κ. τ. λ. ea res est omnino diversa. Idem.

Λελήθαμεν] Disputatur, utrum ita distingui oporteret: ἣν [εἰρήνην scil.] — δέδοικα, μὴ λελήθαμεν, ὥσπερ οἱ δανειζόμενοι ἐπὶ πολλῷ, ἄγοντες: an ita: ἣν — δέδοικα, μὴ λελήθαμεν, ὥσπερ οἱ δανειζόμενοι, ἐπὶ πολλῷ ἄγοντες. Priorem distinctionem amplectitur Cl. Marklandus, posteriorem, uti ex Versione liquet, Hier. Wolfius. Quam pace viri amicissimi doctissimique amplector quoque. Pro nihilo est, quod habet Cod. Venetus, ἐπὶ πολλῷ κακῷ. Idem.

Τοῦτον] F. τούτους, ut v. 6. p. seq. Markland.

λγ΄. Ἀλλ᾽ ἄτοπον μὲν ἔστιν ὃ μέλλω λέγειν, ἀληθὲς δὲ πάνυ. εἰ γάρ τις ὡς ἀληθῶς χαίρει τῇ εἰρήνῃ, τοῖς στρατηγοῖς, ὧν κατηγοροῦσιν ἅπαντες, χάριν [1] αὐτοῖς ἐχέτω. εἰ γὰρ ἐκεῖνοι, ὡς ὑμεῖς ἐβούλεσθε, ἐπολέμουν, οὐδ᾽ ὄνομα εἰρήνης ἂν ὑμεῖς ἠνέσχεσθε. εἰρήνη μὲν οὖν δι᾽ ἐκείνους, ἐπικίνδυνος δὲ, καὶ σφαλερὰ, καὶ ἄπιστος, διὰ τούτους γέγονε δωροδοκήσαντας. εἴργετε οὖν, εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων, εἰς δὲ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε. οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ· ἀλλ᾽ ἡ εἰρήνη, δι᾽ Αἰσχίνην διαβέβληται. σημεῖον δέ· εἰ γὰρ ἡ μὲν εἰρήνη ἐγεγόνει, μηδὲν δ᾽ ὕστερον ἐξηπάτησθε ὑμεῖς, μηδ᾽ ἀπολώλει τῶν συμμάχων μηδεὶς, τίνα ἀνθρώπων ἐλύπησεν ἂν ἡ εἰρήνη, ἔξω τοῦ [2] ἀδόξως γεγενῆσθαι; καίτοι καὶ τούτου συναίτιος οὗτος συνειπὼν Φιλοκράτει· ἀλλὰ ἀνήκεστόν γε οὐδὲν ἂν ἦν γεγονός. νῦν δ᾽, οἶμαι, πολλῶν ἄλλων ἐστὶ κακῶν αἴτιος οὗτος.

λδ΄. Ὅτι μὲν τοίνυν αἰσχρῶς καὶ κακῶς πάντα ταῦτα ὑπὸ τούτων ἀπόλωλε καὶ διέφθαρται, [3] οἶμαι πάντας ὑμᾶς εἰδέναι· ἐγὼ δὲ, ὦ ἄνδρες δικασταὶ, τοσοῦτον ἀπέχω τοῦ συκοφαντίαν τινὰ τοῖς πράγμασι τούτοις προσάγειν, ἢ ὑμᾶς ἀξιοῦν, ὥστε, εἰ ταῦθ᾽ ὑπ᾽ ἀβελτηρίας, ἢ δι᾽ εὐήθειαν, ἢ δι᾽ ἄλλην ἄγνοιαν ἡντινοῦν [4] οὕτω πέπρακται, αὐτός τε ἀφίημι Αἰσχίνην, καὶ ὑμῖν ἀφεῖναι συμβουλεύω. καίτοι 373
τῶν σκήψεων τούτων οὐδεμία ἐστὶ πολιτικὴ, οὐδὲ δικαία. οὐδένα γὰρ τὰ κοινὰ πράττειν ὑμεῖς κελεύετε, οὐδ᾽ ἀναγκάζετε, ἀλλ᾽ ἐπειδάν τις ἑαυτὸν πείσας δύνασθαι, προσέλθῃ, πρᾶγμα ποιοῦντες [5] ἀνθρώπων χρηστῶν καὶ φιλαν-

[1] αὐτῆς [2] ἄδοξον [3] οἴομαι [4] αὐτῷ [5] [ἀνθρώπων]

λγ΄. Ἀλλ᾽] Benenatus distinxit hoc pacto: ἀλλ᾽· ἄτοπον μὲν ἐστι — ἀληθὲς δὲ πάνυ. periodum istam post ἀλλ᾽ parenthesi includens. Vide, annon præstet. Tayl.

Αὐτοῖς] F. αὐτῆς, sc. εἰρήνης. Sic §. ν΄. μηδεμίαν τούτου Φιλίππῳ χάριν ἔχειν. Et ita §. ξή. et in Midian. pag. 566. 17. Ed. Reisk. Markland. Omnino recte. Et Wolfius alibi in ea mente est quoque. Αὐτοῖς saltem erat supervacaneum post τοῖς στρατηγοῖς in v. eodem: et eo credo animo deesse in Harleiano nostro. Taylor.

Αὐτοῖς] Cod. Lat. habet αὐτῆς, sc. τῆς εἰρήνης ἕνεκα χάριν ἐχέτω. Ex edit. Brook.

Ἡ διαβέβληται] Ita Parisienses, quod non neglexit Lambinus. Taylor.

Καί τοι καὶ] Quæ sequuntur καίτοι καὶ τούτου — ad vocem Φιλοκράτει, juxta monitum Cl. Marklandi, inter cancellos parentheseos sunt circumscribenda. Idem.

λδ΄. Ὑπ᾽ ἀβελτηρίας] Sic per η plerique scribunt, cum ἀβελτερία sit analogum. Wolf.

Οὕτω] Immo τούτῳ πέπρακται· uti optimi Reg. a. et Harl. Neque damno, quod Ven. Aug. et ζ. Regiorum habent, sc. αὐτῷ. Taylor.

θρώπων, εὐνοϊκῶς δέχεσθε, καὶ οὐ φθονερῶς· ἀλλὰ καὶ χειροτονεῖτε, καὶ τὰ ὑμέτερα αὐτῶν ἐγχειρίζετε. ἐὰν μὲν οὖν κατορθοῖ τις, [1] τιμήσεται, καὶ πλέον ἕξει τῶν πολλῶν [2] κατὰ τοῦτο· ἐὰν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις ἐρεῖ; ἀλλ' οὐ δίκαιον. οὐ γὰρ ἂν ἐξαρκέσειε τοῖς ἀπολωλόσι συμμάχοις, οὐδὲ τοῖς [3] παισὶν, οὐδὲ ταῖς γυναιξὶν, οὐδὲ τοῖς ἄλλοις, διὰ τὴν ἀβελτηρίαν τὴν ἐμὴν, ἵνα μὴ τὴν τούτου λέγω, τοιαῦτα πεπονθέναι· πολλοῦ γε καὶ δεῖ. ἀλλ' ὅμως ὑμεῖς ἄφετε Αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν, ἢ δι' [4] ἄλλην ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ· ἂν μέντοι διὰ πονηρίαν, ἀργύριον λαβὼν, καὶ δῶρα, καὶ τοῦτ' ἐξελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων, μάλιστα μὲν, εἰ οἷόν τε, ἀποκτείνατε, εἰ δὲ μὴ, ζῶντα τοῖς [5] πολλοῖς παράδειγμα ποιήσατε.

λέ. Σκοπεῖτε δὴ τὸν ἔλεγχον τὸν ὑπὲρ τούτων, ὡς δίκαιος ἔσται μεθ' ὑμῶν. ἀνάγκη δή που τοὺς [6] λόγους περὶ

[1] τιμηθήσεται [2] κατὰ τοῦτο τῶν πολλῶν [3] παισὶν αὐτῶν, οὐδὲ
[4] ἄλλην τινὰ ἄγνοιαν [5] λοιποῖς
[6] λόγους τούτους Αἰσχίνην τουτονὶ πρὸς ὑμᾶς εἰπεῖν, τοὺς περὶ

Τιμήσεται] Vel τιμηθήσεται, quod solennius arbitror, et magis usitatum. Tuentur Editt. Felician. Manut. et Parisiens. Idem.

Ἐὰν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις ἐρεῖ; ἀλλ' οὐ δίκαιον] *Sin ei conatus non successerit, hæc atque illa causabitur? atqui id iniquum est, at id jure fieri non potest.* ἀλλὰ posteriore loco cum interrogationem excipit, significat *atqui* et *profecto*. Idem Demosthenes alibi, εἶτα τοὺς δι' ὑμᾶς φεύγοντας, ἐάσομεν ἀφαιρεθῆναι τὰ δοθέντα, μηδὲν ἔχοντες ἐγκαλέσαι; ἀλλ' αἰσχρὸν ἂν εἴη, *certe id turpe est.* [π. Λεπτ. §. ιδ'.] Cic. pro lege Manil. "Quid vero tam inauditum, quam equitem Rom. triumphare? at eam quoque rem pop. Rom. non modo vidit, sed etiam studio omni visendam putavit." Interdum ἀλλὰ νὴ Δία, pro ἀλλὰ γὰρ ἴσως, vel pro νὴ Δί' ἀλλὰ dicitur, ut infra in hac eadem, ἀλλὰ νὴ Δία ἐκ τούτων τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον, ἢ τἄλλ' ἃ προσῆκεν ἐποίησαν; πολλοῦ γε καὶ δεῖ, *at enim fortasse. Ex edit.* Hervag.

Πολλοῖς] Vid. Var. Lect.

λέ. Σκοπεῖτε — μεθ' ὑμῶν] Utrum σκοπεῖτε μεθ' ὑμῶν, an, ὡς ἔσται δίκαιος μεθ' ὑμῶν, τούτεστι βοηθούντων ὑμῶν, *vestra opera, vobis adjuvantibus*, Wolf.

Σκοπεῖτε δὴ] Nonne σκοπεῖτε δέ? Jurin.

Μεθ' ὑμῶν] Refertur ad σκοπεῖτε. Aug.

Ὑμῶν] Ἡμῶν habet Cod. Harl. Quam lectionem quoque agnoscit et interpretatur Scholiastes. Interpretatur quidem utramque, sed meliorem adhuc desidero interpretem. Taylor.

Ἀνάγκη δή που τοὺς λόγους] Desiderari videntur aliqua ad supplendam orationem: Hæc in Editione Benenati reperies, etsi non suo loco posita. Sic itaque legi velim: ἀνάγκη δήπου τοὺς λόγους τούτους τοὺς περὶ τῶν Φωκέων — καὶ τῆς Εὐβοίας, Αἰσχίνην τουτονὶ πρὸς ὑμᾶς εἰπεῖν· εἴπερ κ. τ. λ. Hæc autem si non admittas, necessarium videtur pro ἀκούσαντα et ἐλπίσαντα rescribere ἀκοῦσαι et ἐλπίσαι. Jurin.

Ἀνάγκη κ. τ. λ.] Credo, Wolfium hic errore, non consilio, recessisse a lectione omnium Editorum, Manuscriptorumque: ἀνάγκη δήπου τοὺς λόγους τούτους, Αἰσχίνην τουτονὶ πρὸς ὑμᾶς εἰπεῖν, τοὺς περὶ τῶν Φωκέων κ. τ. λ. Aliter cum Cl. Jurino legendum est, et vertendum: *Necesse est igitur, hunc, si bona fide egerit, aut audivisse Philippum hæc verba facientem de Phocensibus*, etc. *aut speravisse hæc eum facturum.* Sed sine dubio erravit præ incuria aut festinatione Wolfius. Non enim sciens prudensque tam insignem et notabilem varietatem transi-

τῶν Φωκέων, καὶ τῶν Θεσπιέων, καὶ τῆς Εὐβοίας, εἴπερ μὴ πεπρακὼς αὑτὸν, ἑκὼν ἐξηπάτα, δυοῖν θάτερον, ἢ διαῤῥήδην ἀκούσαντα ὑποσχομένου Φιλίππου, ὅτι πράξει [1] ταῦτα καὶ ποιήσει· ἢ, εἰ μὴ τοῦτο, γοητευθέντα, καὶ φενακισθέντα τῇ περὶ [2] τὰ ἄλλα φιλανθρωπίᾳ, καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐτοῦ. οὐκ ἔνεστι τούτων οὐδὲ ἓν χωρίς. ἐκ τοίνυν 374 τούτων ἀμφοτέρων, μάλιστα πάντων ἀνθρώπων, μισεῖν αὐτῷ προσήκει Φίλιππον. διὰ τί; ὅτι τὸ μὲν ἐκείνου μέρος πάντ' αὐτῷ γέγονε τὰ δεινότατα καὶ τὰ αἴσχιστα· ὑμᾶς ἐξηπάτηκεν· ἀδοξεῖ· [3] δίκαιος ἀπολωλέναι κρίνεται. καὶ εἴ γέ τι τῶν προσηκόντων ἐγίνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν· νῦν δὲ διὰ τὴν [4] ἡμετέραν πρᾳότητα καὶ εὐήθειαν, εὐθύνας δίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται. ἔστιν οὖν ὅς τις ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου, κατηγοροῦντος Φιλίππου; τίς δ' ἐξελέγχοντα, ἢ λέγοντά τι τοῦτον ἑώρακεν; οὐδὲ εἷς. ἀλλ' ἅπαντες Ἀθηναῖοι πρότερον κατηγοροῦσι Φιλίππου, καὶ ὁ τυχὼν ἀεί· ὧν οὐδεὶς οὐδὲν ἰδίᾳ [5] ἠδίκηται δήπου. ἐγὼ δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τούτου, εἴ περ μὴ πεπρακὼς ἑαυτὸν ἦν· ἄνδρες Ἀθηναῖοι, ἐμοὶ μὲν χρήσασθε ὅ, τι βούλεσθε· ἐπίστευσα· ἐξηπατήθην· ἥμαρτον· ὁμολογῶ· τὸν δ' ἄνθρωπον, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάττεσθε, ἄπιστος, γόης, πονηρός. οὐχ ὁρᾶτε οἷα πεποίηκεν ἐμέ; οἷα ἐξηπάτηκε; τούτων οὐδένα ἀκούω τῶν λόγων, οὐδ' ὑμεῖς. διὰ τί; ὅτι οὐ παρακρουσθεὶς, οὐδ' ἐξαπατηθεὶς, ἀλλὰ μισθώσας ἑαυτὸν, καὶ λαβὼν ἀργύριον, ταῦτ' εἶπε, καὶ προὔδωκεν ἐκείνῳ, καὶ γέγονε καλὸς κἀγαθὸς καὶ δίκαιος μισθωτὸς ἐκείνῳ, πρεσβευτὴς μέντοι καὶ πολίτης ὑμῖν, προδότης, καὶ τρὶς οὐχ ἅπαξ ἀπολωλέναι δίκαιος.

[1] ταῦτα πράξει [2] τἄλλα [3] δικαίως [4] ὑμετέραν [5] ἠδίκηται ἰδίᾳ

liret, et obmutesceret. Taylor.

Καὶ τῆς Εὐβοίας] Pro istis verbis reponit Lambinus καὶ τῶν Θηβαίων. Nimirum opus est Thebanis, verum fortasse, non ut excluderentur Euboenses. Vide supra ad §. ιγ'. *post med.* Idem.

Ἑκὼν ἐξηπάτα] F. A. ἑκὼν ὑμᾶς ἐξηπάτα. Sic in Leptinea: ἀλλ' οὐ δίκαιοί ἐσμεν ἀφαιρεθῆναι, εἴ τι ἐξηπατήθημεν. Wolf.

Δίκαιος ἀπολωλέναι] Lego, non δικαίως. Idem. Ita contra Codd. omnium, credo, auctoritatem Wolfius. Nactus est tamen Lambinum et nescio quem in Bodleiano nostro consentientem. Taylor.

Ἡμετέραν] Puto ὑμετέραν. Jurin.

Τίς δ' ἐξελέγχοντα — ἑώρακεν;] Ita fere Editi. Wolfius cum Aldo dederat τί δ'; ἐξελέγχοντα κ. τ. λ. Quo sensu, apparebit ex ejus versione. Taylor.

Τοῦτον] F. τοιοῦτον. Markland.

Ἐζήτουν] F. ἐζήτουν ἄν. Idem.

Προὔδωκεν] Subaudi ἑαυτὸν, *seipsum tradidit.* Auger.

λϛ΄. Οὐ τοίνυν ἐκ τούτων μόνων δῆλός ἐσθ᾽, ὅτι χρημάτων ἅπαντα εἶπεν ἐκεῖνα· ἀλλ᾽ ἧκον ὡς ὑμᾶς ἔναγχος
375 Θετταλοὶ, καὶ Φιλίππου πρέσβεις μετ᾽ αὐτῶν, ἀξιοῦντες ὑμᾶς, Φίλιππον Ἀμφικτυόνα εἶναι ψηφίσασθαι. τῷ προσῆκεν οὖν ἀντειπεῖν [1] τούτοις μάλιστα πάντων ἀνθρώπων; Αἰσχίνῃ τούτῳ. διὰ τί; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τὰ ἐναντία ἐποίησεν ἐκεῖνος. οὗτος μὲν γὰρ ἔφη Θεσπιὰς, καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν, καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων ὕβριν ὑμῖν καταλύσειν· ὁ δὲ, τοὺς μὲν Θηβαίους μείζους ἢ προσῆκε πεποίηκε, τοὺς δὲ Φωκέας ἄρδην ἀπολώλεκε, καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικε, τὸν δὲ Ὀρχομενὸν καὶ τὴν Κορώνειαν προσεξηνδραπόδισται. πῶς ἂν ἐναντιώτερα πράγμαθ᾽ ἑαυτοῖς τούτων γένοιτο; οὐ τοίνυν ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, οὐδ᾽ ἐφθέγξατο ἐναντίον οὐδέν. καὶ οὐχὶ τοῦτό πω δεινὸν, τηλικοῦτον ὂν, ἀλλὰ καὶ συνεῖπε μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων. καί τοι τοῦτό γε οὐδὲ Φιλοκράτης ἐτόλμησε ποιῆσαι, ὁ μιαρὸς, ἀλλ᾽ Αἰσχίνης οὑτοσί. καὶ θορυβούντων ὑμῶν, καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ, καταβαίνων ἀπὸ τοῦ βήματος, ἐνδεικνύμενος τοῖς πρέσβεσι, τοῖς παρὰ Φιλίππου παροῦσι, πολλοὺς ἔφη τοὺς θορυβοῦντας εἶναι, ὀλίγους δὲ τοὺς στρατευομένους

[1] τούτοις; μάλιστα πάντων ἀνθρώπων Αἰσχίνῃ

λϛ΄. Δῆλος] Δῆλον Parisienses: quibus ex ingenio suo, et solertia, qualis fuerit, adjecit Lambinus ea, quæ sequuntur: Οὐ τοίνυν ἐκ τούτων μόνων δῆλόν ἐσθ᾽ ὅτι χρημάτων ἅπαντα εἶπεν ἐκεῖνα, ἀλλὰ καὶ ἐξ ἄλλων· ἧκον etc. Taylor.

Ὑμῖν] Ἡμῖν Regg. Codd. α. δ. ζ. Quod perinde est. In Harl. deest. Sed recte dicitur, et notissima structura. Ita supra, §. ιγ΄. post med. ἵνα συνδιαλλάττωσιν αὐτῷ τοὺς Ἀλεῖς πρὸς τοὺς Φαρσαλίους. Idem.

Προσεξηνδραπόδισται] Lege. Wolf. Aldus enim προεξ.—Taylor. Potius προσηνδραπόδισται juxta vet. Cod. *Ex edit.* Brook.

Τηλικοῦτον ὂν] Pro τηλικοῦτον ὂν m. Par. καίπερ ὂν δεινόν. Wolfio utrumque conjungendum videbatur: καὶ οὐχὶ τοῦτό πω δεινὸν, καίπερ ὂν δεινὸν, τηλικοῦτον ὄν. Ut margo Paris. ita Harl. quoque, ita Cod. Aug. quo in conferendo, idem Sim. Fabricio in mentem venit, quod Wolfio nostro. Demosthenes in Philipp. III. καὶ οὐχὶ τοῦτό πω δεινὸν, καίπερ ὂν δεινόν. Taylor.

Ἀλλὰ καὶ συνεῖπε μόνος] S. τῷ Φίλιππον Ἀμφικτυόνα εἶναι ψηφίσασθαι. Hinc recte colligunt, Orationem περὶ εἰρήνης non esse habitam a Demosthene. Quid vero, si Æschinis illa esset, siquidem is unus Thessalorum postulationi suffragatus est? Ut enim dictio non sit Æschinea per omnia similis, tamen eosdem alias alio dicendi genere uti, quid vetat? Tametsi tres tantum eas, quæ illius nomine exstant, orationes scripsisse fertur. Wolf.

Τοῖς πρέσβεσι, τοῖς παρὰ Φιλίππου] Lege. Idem. Περὶ enim in nonnullis inscite. Taylor.

Στρατευομένους] F. στρατευσομένους. Markland.

ὅταν δέῃ. μέμνησθε γὰρ δήπου, αὐτὸς ὤν, οἶμαι, θαυμάσιος στρατιώτης, ὦ Ζεῦ.

λζ. Ἔτι τοίνυν, εἰ μὲν μηδένα ἔχοντα [1] μηδὲν εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ᾽ ἦν ὥστε ἰδεῖν ἅπαντας, βασάνους [2] καὶ τοιαῦτα ὑπόλοιπον ἂν ἦν σκοπεῖν· εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ᾽ ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ ἐδείκνυεν ὑμῖν, [3] πυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις, οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν ὡς οὐκ εἴληφε, τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύντα. ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἀνόητος ἢ κακοδαίμων, ὥσθ᾽ ἵνα λαμβάνῃ μὲν Φιλοκράτης, ἀδοξῇ δὲ αὐτὸς καὶ κινδυνεύῃ, ἐξὸν αὐτῷ μετὰ τῶν μηδὲν ἠδικηκότων ἐξετάζεσθαι, τούτοις μὲν πολεμεῖν, πρὸς δ᾽ ἐκεῖνον ἐλθὼν κρίνεσθαι βούλεται; ἐγὼ μὲν οὐδένα [4] οἶμαι, ἀλλὰ πάντα ταῦτα, ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐναργῆ σημεῖα, τοῦ χρήματα τοῦτον ἔχειν. 376

λή. Ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδενὸς δ᾽ ἐστὶν ἔλαττον σημεῖον τοῦ πεπρακέναι τοῦτον ἑαυτὸν Φιλίππῳ, θεάσασθε. ἴστε δήπου πρώην ὅτε εἰσήγγειλεν Ὑπερίδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγὼ δυσχεραίνειν ἔφην ἔν τι

[1] μηδὲν ἔχοντα [2] καὶ τὰ τοιαῦτα [3] πυροπωλῶν [4] οἴομαι

Δέῃ] Ita locum distingui jubet Cl. Marklandus: ἔφη — ὅταν δέῃ· μέμνησθε γὰρ δήπου· αὐτὸς ὢν κ. τ. λ. Taylor.

λζ΄. Ἔτι τοίνυν κ. τ. λ.] Adnotator in Exemplari Altemps. non contentus his Negativis ingeminat talem constructionem: εἰ οὐκ εἴχομεν δεῖξαι μηδένα τῶν πρέσβεων ἔχοντα μηδέν. Sed non est necessarium. Idem.

Ἔτι τοίνυν εἰ μὲν μηδένα ἔχοντα μηδὲν εἴχομεν δεῖξαι] *Jam vero si probare non possemus.* Idem alibi, ἔτι τοίνυν ἴσως ἐροῦσιν ὡς, *Atque etiam, ut opinor, hoc dicturi sunt.* Sic οὐ τοίνυν, *neque vero.* Idem in eadem, οὐ τοίνυν ἐκ τούτων μόνον δῆλός ἐσθ᾽ ὅτι χρημάτων, &c. *Neque vero ex his tantum manifestum est,* &c. Ex edit. Hervao.

Μηδ᾽ ἦν ὥστε ἰδεῖν ἅπαντας] S. τὸ πρᾶγμα οὕτω φανερόν. Wolf.

Μηδ᾽ ἦν κ. τ. λ.] *Neque esset ut viderint omnes.* Sic Horatius græcorum exemplo: *est ut viro vir latius ordinet arbusta.* Auger.

Εἰ δὲ Φιλοκράτης] Philocrates factus dives a Philippo, ostentabat opes. Ex edit. Brook.

Πυροπωλῶν] Emenda πυροπωλῶν, ut habent omnes præter Aldum: cujús in luto hærens Wolfius textum quoque nostrum inquinari fecit. Suid. v. Ἀντικαταλλαττόμενος, describens hunc locum, habet τυροπωλῶν. Sed hoc pariter esset τυροπωλῶν, si de *caseis vendendis* res ageretur, quo pacto Suidam isti interpretantur. Taylor.

Ξυληγῶν] Vid. Poll. VII. 29. Conjunge nostrum inferius, §. μγ΄. *a med.* et §. οἰ. *a med.* Idem.

Οὐκ ἔνι δήπου etc.] Ad Philocratem hæc pertinent, quem cum cepisse munera contra Remp. constet, eodem crimine et amicum ejus Æschinem teneri sit consentaneum. Wolf.

Βούλεται] Vid. Var. Lect.

[1]τῶν τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ
τηλικούτων ἀδικημάτων αἴτιος γέγονεν, οἱ δ᾽ ἐννέα τῶν
πρέσβεων μηδενός· καὶ οὐκ ἔφην τοῦθ᾽ οὕτως ἔχειν. οὐ-
δαμοῦ γὰρ ἂν φανῆναι καθ᾽ ἑαυτὸν ἐκεῖνον, εἰ μὴ τοὺς
συναγωνιζομένους τούτων τινὰς εἶχεν. ἵν᾽ οὖν μήτε ἀφῶ,
μήτ᾽ αἰτιάσωμαι μηδένα, ἔφην ἐγὼ, ἀλλὰ τὸ πρᾶγμα
αὐτὸ τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ μετεσχηκότας ἀφῇ,
ἀναστὰς ὁ βουλόμενος, καὶ παρελθὼν εἰς ὑμᾶς, ἀποφη-
νάσθω μὴ μετέχειν, μηδὲ ἀρέσκειν αὐτῷ τὰ ὑπὸ Φιλοκρά-
377 τους πεπραγμένα· καὶ τὸν τοῦτο ποιήσαντα ἀφίημι ἔγω-
γε, ἔφην. ταῦτα [2]καὶ μνημονεύετε, ὡς ἐγὼ οἶμαι. οὐ τοίνυν
παρῆλθεν οὐδεὶς, οὐδ᾽ ἔδειξεν ἑαυτόν· καὶ τῶν μὲν ἄλλων
ἔστιν ἑκάστῳ [3]τις πρόφασις. ὁ μὲν, οὐχ ὑπεύθυνος ἦν· ὁ
δ᾽ οὐχὶ παρῆν ἴσως· τῷ δὲ, κηδεστὴς ἦν ἐκεῖ· τούτῳ δ᾽ οὐ-
δὲν τούτων, ἀλλ᾽ οὕτω καθάπαξ πέπρακεν ἑαυτὸν, καὶ
οὐκ ἐπὶ τοῖς παρεληλυθόσι μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ
μετὰ ταῦτα δῆλός ἐστιν, ἐάνπερ ἐκφύγῃ νῦν, καθ᾽ ὑμῶν
ὑπάρξων ἐκείνῳ. ὥς τε ἵνα μηδὲν ἐναντίον μηδὲ ῥῆμα πρόη-
ται Φιλίππῳ, οὐδ᾽ ἀφιέντων ἀφίησιν, ἀλλ᾽ ἀδοξεῖν, κρί-

[1] Deest τῶν. [2] καὶ] γὰρ [3] τις, ὡς ἔοικε, πρόφασις

λέ. Οἱ δ᾽ ἐννέα] Distingue sic: οἱ δ᾽ ἐννέα τῶν πρέσβεων, μηδενός. *Novem autem legatorum* (pro, legati) *nullius*, subaudi, rei essent auctores. Gallice, *neuf des Députés*. Auger.

. Οὐδαμοῦ γὰρ κ. τ. λ.] *Nullam ejus fuisse auctoritatem.* Ita interpretatur Wolfius. *Percioche non mai egli à far questo da per se solo si sarebbe iscoperto, se non havesse havuti alcuni compagni.* Ferrus. *Nusquam enim ille per se solus visus fuisset, nisi aliquos ex his adjutores habuisset.* Anonymus. Quod pene ridiculum est. Sensus est: *Non ille palam et publice hæc agere sustinuisset, nisi aliquid adjumenti socii ejus occulto subministrassent.* Taylor.

Εἰ μὴ τοὺς συναγωνιζομένους] M. εἰ μὴ συναγωνιζομένους: nisi placeat invertere ordinem, εἰ μὴ τούτων τινὰς εἶχε τοὺς συναγωνιζομένους. Wolf.

. Ποιήσαντα] Lege πεισθέντα. Taylor.

. Πρόφασις] Plenius, et quidem valde usitato genere loquendi, cuderant Parisienses, ἔστιν ἑκάστῳ τις, ὡς ἔοικε, πρόφασις. Quibus consentiunt optima Exemplaria, Aug. et Harl. Idem.

Τῷ δὲ, κηδεστὴς ἦν ἐκεῖ] Omnino legendum videtur ἐκεῖνος, nempe Philocrates. Jurin. F. ἐκεῖνος, Philocrates. Markland. Ego etiam lego ἐκεῖνος, cum viris doctissimis, verum aliter intelligo. Scilicet, τῷ δὲ [Phrynoni] κηδεστὴς ἦν ἐκεῖνος [Philippus]. Consule Ulpianum ad h. locum, iterumque Demosthenem §. ξς΄. *ante med.* et *in fin.* σχ. denique ad §. νθ΄. *ante med.* et Suid. v. Φρύνων. Taylor.

Ἐκείνῳ. ὥστε ἵνα] Male distinguitur. Delenda est plena στιγμὴ post ἐκείνῳ, et ponenda minima. Nam ὥστε dependet ab οὕτω præcedenti; οὕτω πέπρακεν ἑαυτὸν — ὥστε — οὐδ᾽ ἀφίησι. Markland.

Μηδὲ ῥῆμα] Deesse arbitror ante, vel post, has voces: ἵνα μηδὲν ἐναντίον μηδὲ * * * μηδὲ ῥῆμα. Taylor.

Οὐδ᾽ ἀφιέντων ἀφίησιν] S. τῶν κατηγόρων αὐτόν· ἀφίησιν αὐτοὺς, τουτέστι, τὴν ἡσυχίαν ἄγειν ἐᾷ. Wolf. Ludit in duplici significatione Verbi ἀφίημι: *ut, neque si vos illum absolvatis, vos ille missos faciat. That, if you would even acquit him, he would not let you alone.* Similiter in Midiana, pag. 580. 19. Ed. Reisk. οὗτος δὲ οὐδ᾽ ἀφιέντα ἀφίησιν. Markland.

νεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται παρ' ὑμῖν μᾶλλον, ἢ Φι-
λίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν. καί τοι, τίς ἡ κοινωνία;
τίς ἡ πολλὴ πρόνοια ὑπὲρ Φιλοκράτους αὕτη; [1]ὃς εἰ τὰ
κάλλιστα, καὶ πάντα τὰ συμφέροντα ἐπεπρεσβεύκει,
χρήματα δ' ὡμολόγει λαβεῖν ἐκ τῆς πρεσβείας, [2]ὥσπερ
ὡμολόγει, τοῦτό γε αὐτὸ φυγεῖν καὶ διευλαβηθῆναι τῷ
προῖκα πρεσβεύοντι προσῆκε, καὶ διαμαρτύρασθαι τὸ καθ'
αὑτόν. οὐ τοίνυν πεποίηκε τοῦτ' Αἰσχίνης. ταῦτ' οὐ φα-
νερά, ὦ ἄνδρες Ἀθηναῖοι; ταῦτ' οὐχὶ βοᾷ καὶ λέγει, ὅτι
χρήματα εἴληφεν Αἰσχίνης, καὶ πονηρός ἐστιν ἀργυρίου συν-
εχῶς, οὐ δι' ἀβελτηρίαν, οὐδὲ δι' ἄγνοιαν, οὐδὲ ἀποτυγχά-
νων; καὶ τίς μου καταμαρτυρεῖ, φησὶ, δῶρα λαβεῖν;
τοῦτο γάρ ἐστι τὸ λαμπρόν. τὰ πράγματ', Αἰσχίνη, ἅπερ
πιστότατά ἐστιν ἁπάντων· καὶ οὐκ ἔνεστιν εἰπεῖν οὐδ' αἰ-
τιάσασθαι, ὡς ἢ πεπεισμένα, ἢ χαριζόμενά τῳ ἐστὶ τοι-
αῦτα, ἀλλ' οἷά περ αὐτὰ προδοὺς καὶ διαφθείρας σὺ πε- 378
ποίηκας, τοιαῦτα ἐξεταζόμενα φαίνεται. πρὸς δὲ τοῖς
πράγμασιν, αὐτὸς αὐτίκα δὴ σὺ σαυτοῦ καταμαρτυρήσεις.
ἀπόκριναι γάρ δεῦρο ἀναστάς μοι· οὐ γὰρ δὴ δι' ἀπειρίαν
γε, οὐ φήσεις ἔχειν ὅ, τι εἴποις. ὃς γὰρ ἀγῶνας καινοὺς,

[1] ὃν [2] (ὅστις ὁμολογεῖ [3]τοῦτό γ' αὐτὸς,)

Καί τοι τίς ἡ κοινωνία; τίς ἡ πολλὴ πρόνοια] *Verum quænam est ista causæ communitas? quæ tanta hujus providentia pro Philocrate.* Accipitur enim pro *verum*, et pro *sed* καί τοι, et servit διαπορήσει. Quod autem mox subdit, ταῦτ' οὐχὶ βοᾷ καὶ λέγει; &c. Cicero pro Roscio ad verbum sic transtulit: "Nonne supercilia illa penitus rasa olere malitiam, et clamitare calliditatem videntur." *Ex edit.* Hervag.

Ἀποτυγχάνων] Absolute positum pro ἀποτυγχάνων τῶν ἐλπίδων. *Ald.* *Ex edit.* Brook.

Ἀπόκριναι κ. τ. λ.] Huc spectat fortasse Comma istud Suidæ: Ἀποκρίθητι. Δημοσθένης. Ἀπόκριναι δεῦρό μοι παρελθών. — ἀλλὰ καὶ Δημοσθένης λέγει ἐν τῷ κατ' Αἰσχίνου, ὡς προείρηται. Adde Harpocrat. v. Ἀπόκρισις. Disertius aliquanto idem Suidas v. Δεῦρο. Certe spectat Hermogenes verbis disertissimis: Ἀπόκριναι γὰρ δεῦρο ἀναστάς μοι· οὐ γὰρ δὴ δι' ἀπειρίαν γε οὐ φήσεις ἔχειν, ὅ, τι εἴποις. pag. 179. Ed. Fr. Porti. Taylor.

Οὐ γὰρ δὴ δι' ἀπειρίαν γε οὐ φήσεις ἔχειν ὅ, τι εἴποις] Ut ὃ ἂν, vel δυνητικὸς, vel ἀοριστολογικὸς sæpe abundat, ita sæpe etiam deest, præsertim ubi locus causam habet a præterito. quanquam hic quoque deest, cum de futuro dixerit. habet autem vim optativam. *Neque enim te ut imperitum negabis habere, quod respondeas*, quod dici poterat ὅ, τι ἐρεῖς, ὅ, τι enim φιλευκτικὸν est. Vide Comment. Bud. *Ex edit.* Hervag.

Ὃς γὰρ ἀγῶνας] Alludit ad accusationem Timarchi, quæ æque est ἀμάρτυρος, atque hæc Demosthenica. Wolf.

Ibid. Alludit ad multa: ad pristinam artem quæstumque Æschinis: ad novam et insolitam criminationem Timarchi, jam senis, et cui per anteactam vitam inusta non erat ea suspicio: ad rudimenta fortasse et tyrocinium Æschinis, qui nemini unquam ante hunc Timarchum, diem dixerat: ad accusandi denique licentiam, cum non ex testibus, sed vulgi rumoribus, et incerta fama, nitebatur. Nonnulla hic Scholiastes, qui est consulendus. Neque tamen vel eo magistro totam fabulam edisces, aut hujus scommatis leporem omnem plene exhauries. Non

ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων, δῆλον ὅτι πάνδεινος εἴ τις;

λθ'. Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων Αἰσχίνῃ τούτῳ, καὶ πολλὴν κακίαν ἐχόντων, ὡς καὶ ὑμῖν, [1] οἶμαι, δοκεῖν, οὐδέν ἐστιν οὗ μέλλω λέγειν, ὡς ἐγὼ κρίνω, δεινότερον, οὐδ' ὅ, τι μᾶλλον δεδωροδοκηκότ' αὐτὸν ἐπαυτοφώρῳ, καὶ πεπρακότα πάντ' ἐξελέγξει. ἐπειδὴ γὰρ [2] ἀπεστείλατ' αὖθις αὖ [3] τὸ τρίτον τοὺς πρέσβεις ὡς τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγάλαις ἐλπίσι ταύταις αἷς οὗτος ὑπισχνεῖτο, ἐχειροτονήσατε καὶ τοῦτον, καὶ ἐμὲ, καὶ τῶν ἄλλων τοὺς πλείστους τοὺς αὐτούς. ἐγὼ μὲν δὴ παρελθὼν, ἐξωμοσάμην εὐθέως. καὶ θορυβούντων τινῶν, καὶ κελευόντων βαδίζειν, οὐκ ἂν ἔφην ἀπελθεῖν. οὗτος δ' ἐκεχειροτόνητο. ἐπειδὴ δὲ ἀνέστη μετὰ ταῦτα ἡ ἐκκλησία, συνελθόντες ἐβουλεύοντο οὗτοι, τίνα αὐτοῦ καταλείψουσιν. ἔτι γὰρ τῶν πραγμάτων ὄντων μετεώρων, καὶ τοῦ μέλλοντος ἀδήλου, σύλλογοι καὶ λόγοι παντοδαποὶ κατὰ τὴν ἀγορὰν ἐγίγνοντο τότε. ἐφοβοῦντο δὴ μὴ σύγκλητος ἐκκλησία γένοιτο

[1] *οἴομαι [2] ἀπεστέλλετ' [3] τοτρίτον

enim omnia, quæ ab Antiquis allusorie et vellicatim jaciuntur, Posteritati datum est, ut probe intelligerent. Vid. Æschin. π. παραπρεσβ. pag. 297. Ed. Reisk. Brodæum ad loc. Harpocrat. v. Διαμεμετρημένη. Maussacum, Victor. IX. Var. Lect. 20. alios. Voces istæ, ἀγῶνας καινοὺς, ὥσπερ δράματα, lucem fortasse aliquam consequentur ex iis, quæ dicturi sumus ad init. Æschineæ c. Ctesiphontem. TAYL.

Πάνδεινος εἴ τις] * * * Nonnulla opinor deesse. MARKLAND.

λθ'. Ὡς καὶ ὑμῖν οἶμαι δοκεῖν] Lege, vel δοκεῖ, ut habet Felician. pro εἶναι. WOLF. Nam Aldus dedit εἶναι pro οἶμαι. Felician. quidem et Manut. δοκεῖ, uti Parisienses quoque, et Scholiastes, qui exponit per φαίνεται. Non male. Et tum obtineret punctuatio Textus nostri. Aliter et ea reformanda fuerit. Marg. Ask. cum Wolfio consentit. TAYLOR.

Ἐγὼ μὲν παρελθὼν ἐξωμοσάμην εὐθέως] Ἐξομόσασθαι *cum jurejurando aliquid excusare*, aut *detrectare et recusare*, de quo verbo satis alibi dictum est, ex cujus imitatione Cicero *ejurare* iniquum judicem dixit, ut annotatur in Pandect. *Ex edit.* HERVAG.

Τίνα αὐτοῦ καταλείψουσι] *Quem ibi statum rerum deprehensuri essent.* Τὸ αὐτοῦ, παρὰ τῷ Μακεδόνι, ἢ, ἐν τῇ Μακεδονίᾳ, accepi, et pro καταλείψουσι legendum censui καταλήψονται. Sed agnosco erratum, et emendo, *quemnam hic relicturi essent*, qui sc. Demostheni adversaretur. αὐτοῦ, ἀντὶ τοῦ, ἐνθάδε, ἢ ἐνταῦθα. WOLF.

Ἐγίγνοντο τότε] Mallem distingui, — κατὰ τὴν ἀγορὰν ἐγίγνοντο. τότε ἐφοβοῦντο δὴ etc. MARKLAND.

Ἐφοβοῦντο δὴ μὴ] Auctores sunt Suidas, et interpretes hoc loco, apud Athenienses νόμιμον ἐκκλησίαν dictam esse τὴν κυρίαν καὶ ὡρισμένην τρὶς τοῦ μηνὸς, id est, legitimam concionem, *quæ fixa stataque erat concio, et ter in mense habebatur.* σύγκλητον autem, id est, *convocatam* sive *indictam*, τὴν ἐξαίφνης γενομένην διά τι κατεπεῖγον, *quæ repente nova quadam de causa fiebat.* Sic etiam apud Romanos Senatus habebatur aut legitimus, aut indictus. Legitimus quidem, statis diebus. Tranquillus in Aug. "Sanxit," inquit, "ne plus quam bis in mense legitimus Senatus ageretur, scilicet Calendis et Idibus, &c." Edictus autem vel indictus erat, qui ob negotia incidentia repente indicebatur.

ἐξαίφνης· εἶτα ἀκούσαντες ὑμεῖς ἐμοῦ τἀληθῆ, [1] ψηφίσησθέ τι τῶν δεόντων ὑπὲρ τῶν Φωκέων, καὶ τὰ πράγματα ἐκφύγοι τὸν Φίλιππον. εἰ γὰρ ἐψηφίσασθε μόνον, καὶ μικρὰν ὑπεφήνατε ἐλπίδα ἡντινοῦν αὐτοῖς, ἐσώθησαν ἄν. οὐ 379
γὰρ ἐνῆν, οὐκ ἐνῆν, μὴ παρακρουσθέντων ὑμῶν, [2] μεῖναί τι Φιλίππῳ. οὔτε γὰρ σῖτος ἐνῆν ἐν τῇ χώρᾳ, ἀσπόρῳ διὰ τὸν πόλεμον γεγονυίᾳ, οὔθ' ἡ [3] σιτοπομπεία δυνατὴ, τριήρων οὐσῶν ὑμετέρων ἐκεῖ καὶ τῆς θαλάττης κρατουσῶν· αἵ τε πόλεις πολλαὶ καὶ χαλεπαὶ λαβεῖν αἱ τῶν Φωκέων, μὴ οὐ χρόνῳ καὶ πολιορκίᾳ. εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ᾕρει, δύο καὶ εἴκοσίν εἰσιν ἀριθμῷ. διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν μετάθησθε ὧν ἐξηπάτησθε, τοῦτον αὐτοῦ κατέλιπον. ἐξομόσασθαι μὲν δὴ μὴ μετ' αἰτίας τινὸς, δεινὸν ἦν, καὶ ὑποψία μεγάλη. τί λέγεις; ἐπὶ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθὰ οὐχὶ βαδίζεις ἀπαγγείλας, οὐδὲ πρεσβεύεις; ἔδει δὲ μένειν. πῶς οὖν; ἀῤῥωστεῖν προφασίζεται, καὶ λαβὼν Ἐξήκεστον

[1] ἐπιψηφίσασθέ [2] μεῖναι ἔτι [3] σιτοπομπία

Idem in Cæs. "Postquam Senatus idibus Martiis in Pompeii curiam edictus est, &c." Capitol. in Gord. "Non legitimo," inquit, "sed indicto Senatus die consul jam domi conventus, cum prætoribus, ædilibus, et tribunis in curiam venit." Ex Annotationibus Bud. in Pandect. *Ex edit.* Hervago.

Σύγκλητος ἐκκλησία]. Huc spectat Etym. M. 753. 15. Τῶν Ἐκκλησιῶν αἱ μὲν ἐξ ἔθους καὶ κατὰ μῆνα ἐγίνοντο, εἰ δέ τι ἐξαίφνης κατεπείξειεν, ὥστε γενέσθαι ἐκκλησίαν, αὕτη ἐκαλεῖτο Σύγκλητος Ἐκκλησία. Δημοσθένης κατ' Αἰσχίνου. Hoc Harpocratio et Suidas denique. Erant igitur Σύγκλητοι Ἐκκλησίαι Conciones *extra ordinem datæ*, proclamatæ, ut vox sonat, ubi aliquid necopinatum acciderit. Ad statas enim et legitimas, utpote notas, et periodice recurrentes, non opus erat *citare*, aut monere: ut vocabulum hoc rite explicat Scholiastes noster, Attici Juris sæpe bene consultus. Πλείους Ἐκκλησίας (inquit Æschines π. παραπρεσβ. pag. 251, 6. ed. Reisk.) συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου, ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων. Apposite ad eam rem, quam velim. Ut sunt etiam verba hæc σχ. Aristoph. Acharn. v. 19. Κυρίας Ἐκκλησίας.] Ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. Εἰσὶ δὲ Νόμιμοι Ἐκκλησίαι αἱ λεγόμεναι τρεῖς τοῦ μηνὸς Ἀθήνησιν, ἡ πρώτη, καὶ ἡ δευτέρα, καὶ ἡ τρίτη. (Hæc fortasse minus accurate) εἰσὶ δὲ καὶ Πρόσκλητοι, ἐναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι Ἐκκλησίαι Κύριαι λέγονται, ὡς ἔφαμεν· αἱ δὲ πρὸς τὰ κατεπείγοντα συναγόμεναι, σύγκλητοι. Adde Petit. LL. Attic. Lib. III. Tit. I. Ulpian. hic, et ad N. de Coron. §. κγ'. ad init. et eruditissimum longe virum, Valckenaerum Animadv. ad Ammon. I. 16. Taylor.

Καὶ μικρὰν ὑπεφήνατε ἐλπίδα ἡντινοῦν αὐτοῖς] Omisit Wolfius in vertendo. Resarcias ex Anonymo: *et aliquam mediocrem spem eis prætulissetis.* Idem.

Μεῖναί τι] Scribendum forte ἔτι pro τι. Markland. Vid. Var. Lect.

Μὴ οὐ χρόνῳ] Ἀντὶ τοῦ, εἰ μὴ χρόνῳ. Wolf. Idem fere annotatur in marg. Altemps. Taylor.

Ἐξήκεστον] Mirum, ni servilem et peregrinam conditionem denotet, quod nomen ab Arte sumserit. Commune hoc et solenne apud Antiquos: Ubi PAUSILYPUS, SOTER, SOSTHENES, LYSIPONUS etc. convenientissima Medico nomenclatura, ut Reinesius scribit ad hunc lapidem XI. 2.

P. CHAR M.
SOSTHE
MEDIC.
IIIIII VIR. AUG.
SIBI
ANCHAR.

τὸν ἰατρὸν ἀδελφὸς αὐτοῦ, καὶ προσελθὼν τῇ βουλῇ, ἐξω-
μόσατο ἀῤῥωστεῖν τουτονὶ, καὶ αὐτὸς ἐχειροτονήθη. ἐπειδὴ
δὲ [1] ἀπολώλεσαν οἱ Φωκεῖς, ὕστερον ἡμέραις πέντε ἢ ἕξ,
καὶ τέλος εἶχε τὸ μίσθωμα, ὥσπερ ἂν ἄλλο τι τούτῳ, καὶ
ὁ Δέρκυλλος ἐκ τῆς Χαλκίδος ἧκεν ἀναστρέψας, καὶ ἀπήγ-
γειλεν [2] ὑμῖν ἐκκλησιάζουσιν ἐν Πειραιεῖ, ὅτι Φωκεῖς ἀπο-
λώλασι· καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα ἀκούσαντες,
εἰκότως [3] καὶ ἐκείνοις συνήχθεσθε, καὶ αὐτοὶ ἐξεπέπληχθε,
καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψη-
φίζεσθε, καὶ τὰ φρούρια ἐπισκευάζειν, καὶ τὸν Πειραιᾶ
τειχίζειν, καὶ τὰ Ἡράκλεια ἐν ἄστει θύειν. ἐπειδὴ ταῦτ᾽
ἦν, καὶ τοσαύτη ταραχὴ, καὶ τοσοῦτος θόρυβος περιειστή-
380 κει τὴν πόλιν, τηνικαῦτα [4] ὁ δεινὸς, καὶ σοφὸς οὗτος, καὶ
εὔφωνος, οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτὸν,
ᾤχετο πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν
ἀῤῥωστίαν, ἐφ᾽ ᾗ τότε ἐξωμόσατο, ὑπολογισάμενος, οὔθ᾽ ὅτι
πρεσβευτὴς ἄλλος ᾕρητο ἀντ᾽ αὐτοῦ, οὔθ᾽ ὅτι τῶν τοιούτων
ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, οὔθ᾽ ὅτι πάνδεινόν
ἐστιν ἀπηγγελκότα, ὡς ἐπικεκήρυκται χρήματα αὐτῷ ἐν
Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ τὴν Βοιωτίαν ἅπασαν
ἔχειν, [5] καὶ τῆς Φωκέων χώρας ἐγκρατεῖς γεγόνασι, τηνι-
καῦτα εἰς μέσας τὰς Θήβας, καὶ τὸ τῶν Θηβαίων στρα-
τόπεδον βαδίζειν. ἀλλ᾽ οὕτως ἔκφρων ἦν, καὶ [6] ὅλως πρὸς

[1] ἀπολώλεισαν [2] ἡμῖν [3] κἀκείνοις [4] ὁ σοφὸς οὑτοσὶ, καὶ δεινὸς, καὶ [5] καὶ τῆς τῶν [6] ὅλος

Ex eadem nomenclatura est Medicus ille ex sepulcreto Domus Augustæ, Bianchin. p. 57.

M. LIVIUS
BOETHUS
MEDICUS DAT
M. LIVIO SPERATO ET
IOLE L.
SUAE.

Potuissem adjungere, Execestidem quendam nunquam ab Aristophane adduci, nisi ut dilaceraretur ob peregrinitatem:

Εἰ δὲ δοῦλός ἐστι, καὶ Κὰρ, ὥσπερ Ἐξηκε-
στίδης,
Φυσάτω πάππους παρ᾽ ἡμῖν, καὶ φανοῦνται
φράτορες.

Ex Avibus, v. 765. Taylor.

Τειχίζειν] Potius credo ἐπιτειχίζειν, cum Editt. Felic. et Manut. ut sit *Reficere*, non *de novo Ædificare*. Idem.

Θύειν] Tollenda est Distinctio plena post θύειν, et ponenda ὑποστιγμή. Adhuc enim pendet sententia, quæ incepit v. 2. Ἐπειδὴ δὲ ἀπολώλεσαν οἱ Φωκεῖς — καὶ ὁ Δέρκυλλος ἧκεν—καὶ ὑμεῖς ἐψηφίζεσθε τὰ Ἡράκλεια ἐν ἄστει θύειν· ἐπειδὴ ταῦτ᾽ ἦν etc. Markland.

Ἐπειδὴ] A Benenato editur: ἐπειδὴ τοιαύτη ἦν καὶ τοσαύτη ταραχὴ κ. τ. λ. Taylor.

Ἔκφρων ἦν] Vid. Var. Lect.

Ὅλως] Ὅλος πρὸς τῷ λήμματι lege, nominandi casu. Etsi et ὅλως Adverbium ferri potest. Wolf. F. ὅλος—totus *in illis*. Horat. Markland. Wolfii et Marklandi Conjecturam tuetur Cod. Aug. ὅλος. Taylor.

τῷ [1] λήμματι καὶ τῷ δωροδοκήματι, ὥστε πάντα τὰ ἄλλα ἀνελὼν καὶ παριδὼν ᾤχετο.

μ΄. Καὶ τοιούτου τοῦ πράγματος ὄντος, ἔτι πολλῷ δεινότερά ἐστιν ἃ ἐκεῖσε ἐλθὼν διεπράξατο. ἁπάντων γὰρ ὑμῶν τουτωνὶ, καὶ τῶν ἄλλων Ἀθηναίων οὕτω δεινὰ καὶ σχέτλια ἡγουμένων τοὺς ταλαιπώρους πάσχειν Φωκέας, ὥστε μήτε τοὺς ἐκ τῆς βουλῆς θεωροὺς, μήτε τοὺς θεσμοθέτας εἰς τὰ Πύθια πέμψαι, ἀλλ᾽ ἀποστῆναι τῆς πατρίου θεωρίας, οὗτος εἰς τὰ ἐπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτο ἐλθὼν, καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν συμμάχων τῶν [2] ἡμετέρων τείχεσι καὶ χώραις, καὶ ὅπλοις ἀπολωλόσιν ηὔχετο ἐκεῖνος, καὶ συνεστεφανοῦτο, καὶ [3] συνεπαιώνιζε Φιλίππῳ, καὶ φιλοτησίας προὔπινε. καὶ ταῦτ᾽ οὐκ ἔνεστιν ἐμοὶ μὲν

[1] λήμματι, ὥσθ᾽ ἅπαντα ταῦτα ἀνελὼν [2] ὑμετέρων [3] συνεπαιάνιζε

μ΄. Οὗτος εἰς τὰ ἐπινίκια] Lege αὐτὸς εἰς τὰ ἐπινίκια etc. Id est, *hic solus epulatus est*, sensu plano. Nam, ut scriptum est, nec bene hellenizat Oratio, nec bene procedit Sententia. PALMER.

Συνεπαιώνιζε] Si παρὰ τὸν παιᾶνα fuit, malim συνεπαιάνιζε, per ᾱ. Etsi passim per ω̄ scribi video. WOLF.

Φιλοτησίας προὔπινε] *Familiariter propinavit*, Wolfius: *benevolentiæ poculo propinabat*, Alius: *Invitava a bere*, Etruscus. Exspectassem quidem *propinasse* Philippum, non Æschinem. Sed nihil hic omnino de *propinando*, aut *præbibendo*. Negligere enim nos jubent *præpositionem* in ista compositione omnes, qui accuratius hanc rem tractant. Postulabit igitur a me Lector meus benevolus informari, quid ea locutione contineatur; postulabit quoque, ut mentem meam etiam exponam de lectione MStorum in hac re, quorum nonnulli, neque infimæ auctoritatis, exhibent φιλοτησίας προὔτεινε, ut MSS. Ald. Felic. Manut. Lind. et Regg. α. ϐ. δ. ζ. Et, quoniam eo proceditur, rogabit, quid statuam, de illa etiam locutione: Occurit autem *μγ΄. ad init.* ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ προὔτεινεν αὐτοῖς [Philippus], cum MSti, quasi vicem rependere vellent, ibi rursus ἐκπώματα—προὔπινεν. Est quædam, inquam, inter hæc duo loca quasi necessitudo: Ita ut mihi erit expeditius, et lectori fortasse neque ingratius, neque incommodius, si utrumque parietem eadem fidelia dealbarem. Neutro igitur in loco stare posse προπίνειν contendo, verum recte dici in altero φιλοτησίας προπίνειν, in altero ἐκπώματα, licet diverso sensu et proprietate, ut jam sum dicturus. Προπίνειν φιλοτησίας est simpliciter *compotare*, vel, ut verbis utar Plautinis, Pseud. V. 1. 18. *Propinare amicissimam amicitiam*. Quod quoniam tractim fiebat, et per modum successionis, ubi alter poculis præiret et quasi provocaret, alter deinde exciperet, et per vices traderet, usurpabant vocem compositam προπίνειν, et, quoniam Genio litabant, et Amicitiæ, προπίνειν φιλοτησίας. Ita Lucianus: Οὐ γὰρ ὅσιον ἐπὶ τὴν αὐτὴν ἑστίαν τοὺς ταῦτα διαπραχθέντας καλεῖν, καὶ φιλοτησίας προπίνειν, καὶ ὄψων τῶν αὐτῶν ἅπτεσθαι. Pseudolog. §. 31. Et in Somnio rursus §. 12. Καὶ τὸ δεῖπνον ἄρτι συνεκομίζετο, καὶ ὁ πότος συνεκροτεῖτο· ἐν τούτῳ ὄντα με, καὶ φιλοτησίας προπίνοντα ἐν χρυσαῖς φιάλαις ἑκάστῳ τῶν παρόντων κ. τ. λ. Προπεπωκέναι δὲ παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τῶν ἐστρατευμένων, πολλὰ δὲ χρυσώματα τῷ Προυσίᾳ. Suid. v. Προπεπωκότες. Fragmentum hoc Valesius Polybio tribuit. Utile erit adhibere verba Bisseti ad Aristoph. Lysistr. 203. κύλιξ φιλοτησία] Οὕτω καλεῖται ἡ φιάλη ἡ διδομένη ἐν τοῖς πότοις. Ἐν γὰρ τοῖς συμποσίοις φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν· ὡς Ὑπερίδης φησὶ, καὶ Ἄλεξις, καὶ Ὅμηρος ἐν τῷ Δ. τῆς Ἰλ. [v. 3.]

Νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσι
Δειδέχατ᾽ ἀλλήλους.

381 οὕτω, τούτῳ δ᾽ ἄλλως πως εἰπεῖν. ἀλλ᾽ ὑπὲρ μὲν τῆς ἐξωμοσίας ἐν τοῖς κοινοῖς τοῖς ὑμετέροις γράμμασιν ἐν τῷ μητρῴῳ ταῦτ᾽ ἐστὶν, ἐφ᾽ οἷς ὁ δημόσιος τέτακται, καὶ ψήφισμα ἄντικρυς περὶ τούτου τοῦ ὀνόματος γέγραπται· ὑπὲρ δὲ ὧν ἐκεῖ διεπράξατο, οἱ συμπρεσβεύοντες καὶ παρόντες, καταμαρτυρήσουσιν, οἵπερ ἐμοὶ ταῦτα διηγοῦντο. οὐ γὰρ ἔγωγε αὐτοῖς συνεπρέσβευσα, ἀλλ᾽ ἐξωμοσάμην. καί μοι λέγε τὸ ψήφισμα, καὶ τὰ γράμματα, καὶ τοὺς μάρτυρας κάλει.

ΨΗΦΙΣΜΑ. ΓΡΑΜΜΑΤΑ. ΜΑΡΤΥΡΕΣ.

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετε εὔχεσθαι τοῖς θεοῖς τὸν

Καὶ αὖθις· Ἐγχείτω τις τούτῳ φιλοτησίαν. Καὶ φιλοτησίας, τὰς δεξιώσεις διὰ τῆς φιλίας. Καὶ φιλοτησίαν προπίνειν ἐστὶν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παράσχῃ τῷ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος. Horum magnam partem, et præcipue extremam, Suidæ et Etymol. M. debet Bisetus. Quid ergo? *An poculum Aureum Argenteumve, quoties se plusculum invitarent, pro munere offerebatur? Num hujusmodi liberalitas hic prædicatur in Æschine?* Ita quidem interpretantur hæc verba, καὶ τὴν φιάλην χαρισάμενος. Credo, hanc olim fuisse Regum, Magnatumque munificentiam: ut Suidas testatur in v. Προπίνειν. Immo clarissimum Exemplum mox subjicitur in hac ipsissima Oratione, §. μγ΄. Ubi Rex Philippus comiter et laute excipiens Thebanorum legatos, ἐν θυσίᾳ τινὶ καὶ δείπνῳ πίνων, καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ἄλλα τε δὴ πολλὰ, οἷον αἰχμάλωτα καὶ τὰ τοιαῦτα, καὶ τελευτῶν, ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ προὔτεινεν αὐτοῖς. Ταῦτα πάντα ἐκεῖνοι διεωθοῦντο—αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι—καὶ ἄνευ τῶν δώρων τούτων. Atque ita Ulpianus ad textum, in quo versamur: πολλάκις καὶ ταῦτα τὰ ποτήρια χαρίζεσθαι τὸν βασιλέα, οἷς προπίνει, χρυσᾶ ὄντα. Τοῦτο γὰρ ἦν τὸ προπίνειν. Ita quidem, sed προπίνειν ποτήρια, quod jam est illud diversum, atque aliud, quam προπίνειν φιλοτησίας. Corrige ergo fidenter ex auctoritate MStorum optimorum (sunt autem, præter Editiones Felician. et Manut. Codd. præstantes, Regg. α. β. δ. ε. η. Obs. Harl. Lind. Ital. Aug. Ask.) verba illa Demosthenis, §. μγ΄. ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν αὐτοῖς. Num hæsitas? num dubitas, neutiquam dici posse προὔτεινεν, sed utrobique προὔπινεν? Annon demum censes, recte a me distingui προπίνειν φιλοτησίας, *amice et familiariter compotare*, et προπίνειν ἐκπώματα, *regio more, pocula aurea pretiosave dono donare?* Inerat Alexandro M. ut refert Plutarchus in ejus vita, munificentia plane singularis, cum summa comitate conjuncta: cujus rei exemplum subjicit: Ὁ τῶν Παιόνων ἡγούμενος, ἀποκτείνας πολέμιον ἄνδρα, καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ, τοῦτο, εἶπεν, ὦ βασιλεῦ, παρ᾽ ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον· ὁ δὲ Ἀλέξανδρος γελάσας, κενοῦ γε, εἶπεν· ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι. Similis error, προτείνειν, sc. loco τοῦ προπίνειν, occupavit Libanium Declam. II. quem emaculavit doctissimus Gatakerus ad M. Antonin. XI. 13. dignus omnino, qui de hoc ritu *propinandi* consulatur: præcipue autem *de hac largitione poculorum*, in Adversar. Miscell. Posthum. V. 5. Adde Cl. Valesium ad Harpocr. v. Προπεπωκότες. Scio, esse apud Veteres nonnulla, quæ militare videntur contra meam sententiam, veluti illud Aristophanis, Acharn. v. 981.

Κἀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένου,
Πίνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν.

Cui subnectitur scholion: Φιλοτησίαν ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις. Taylor.

Ἐφ᾽ οἷς ὁ δημόσιος τέτακται] S. οἰκέτης, ἢ δοῦλος. Wolf. Recte sane Wolfius. Οἰκέτης subintelligitur, pro quo Scholiolum Ulpiani perperam habet Οἶκος. Vid. Cl. D'Orvillium ad Chariton. Aphrodis. pag. 292. Taylor.

Περὶ τούτου τοῦ ὀνόματος] S. τοῦ Αἰσχίνου ἐξομόσαντος τὴν πρεσβείαν. Wolf.

Φίλιππον, ὅτ' ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ' οὐ κράτος πολέμου, καὶ νίκην [1] αὐτοῖς καὶ τοῖς συμμάχοις διδόναι, καὶ [2] τἀναντία τοῖς τῶν Φωκέων; οὐκοῦν ταῦτα συνηύχετο οὗτος, καὶ κατηρᾶτο τῇ πατρίδι, ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὐτῷ δεῖ τρέψαι. οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς θάνατον κελεύει τούτων τὴν ζημίαν εἶναι, ἐλθὼν δὲ ἐκεῖσε, ἑτέρων θανάτων ἄξια ποιῶν πέφανται· τὰ δ' ἔμπροσθεν πεπραγμένα, καὶ πεπρεσβευμένα ὑπὲρ τούτων, ἀποκτείνειεν ἂν αὐτὸν δικαίως.

μά. Σκοπεῖτε τοίνυν τί τίμημα [3] ἔσται, ὃ [4] ταύτην ἕξει τὴν ἀξίαν, ὥστε τοσούτων ἀδικημάτων ἀξιόχρεων φαίνεσθαι. πῶς γὰρ οὐκ αἰσχρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἅπαντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον, ἅπασι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾷν, καὶ μήτε τῶν ἐν Ἀμφικτυόσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τε ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων
τῶν πεπραγμένων, καὶ οὔτε δικαίων, οὔθ' ὑμῖν συμφερόν- 382
των· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας, [5] καὶ τὸν ὅρκον [6] τὸν ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τὸν ἁπάντων τῶν κακῶν αἴτιον, καὶ ὃν εἰλήφατε ἐπαυτοφώρῳ τοιαῦτα πεποιηκότα, τοῦτον ἀφεῖναι; καὶ τίς οὐ δικαίως [7] ὑμῖν ἐγκαλέσει τῶν ἄλλων πολιτῶν, μᾶλλον δὲ ἁπάντων τῶν Ἑλλήνων, ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς [8] ἐκ πολέμου μὲν ποιούμενος τὴν εἰρήνην, παρὰ τῶν πωλούντων τὰς πράξεις ἐωνεῖτο, πρᾶγμα πολλὴν συγγνώμην ἔχον διαπραττόμενος· τουτονὶ δὲ ἀφιέντας, ὃς τὰ ὑμέτερα οὕτως αἰσχρῶς ἀπέδοτο, τῶν νόμων τὰ ἔσχατα ταττόντων ἐπιτίμια, ἐάν τις ταῦτα [9] ποιῇ;

[1] αὐτοῖς [2] τἀναντία τούτων τοῖς [3] ἔσται τίμημα [4] τοιαύτην [5] [καὶ τὸν] [6] [τὸν] [7] ὑμῖν ἂν ἐγκαλέσειε [8] ἐκ τοῦ πολέμου [μὲν] [9] ποιῇ.

Αὐτοῖς] Rescribi jubet Cl. Marklandus αὑτοῖς, uti habet Benenatus. Mox cum eod. Editore, Feliciano pariter et Manutio, et Cod. Harleiano, καὶ τἀναντία τούτων τοῖς τῶν Φ. Taylor.

Τούτων] Sc. τῶν ἔργων. Forte τούτῳ, sc. τῷ Αἰσχίνῃ. Sic enim solet leges ad reos accommodare. Wolf.

Τούτων] Scil. τῶν οἰχομένων παρὰ τὸν νόμον, vel πραγμάτων. Markland. Vox haec in Harleiano nostro desideratur. Taylor.

Πεπρεσβευμένα ὑπὲρ τούτων] Τῶν νῦν γεγενημένων ἐν Φωκεῦσι, ἢ Φιλίππου καὶ Θηβαίων. Wolf.

μά. Δυσκόλως κ. τ. λ.] Ὀργίζεσθαι τῷ Φιλίππῳ, καὶ ὑφορᾶσθαι αὐτόν. Mox τὸν ἁπάντων τῶν κακῶν αἴτιον lege, non τῶν ἁπάντων. Idem.

Τοιαῦτα] F. ταῦτα, sc. τὰ κακά. Markland.

Ἐγκαλέσει] Vid. Var. Lect.

μβ'. Τάχα τοίνυν ἴσως καὶ τοιοῦτος ἥξει τις λόγος
παρὰ τούτων, ὡς ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον
ἔχθρας, εἰ τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε.
ἐγὼ δ', εἰ τοῦτ' ἐστὶν ἀληθὲς, οὐκ ἔχω σκοπούμενος εὑρεῖν,
ὅ, τι τούτου μεῖζον κατηγορήσω. εἰ γὰρ ὁ τῆς εἰρήνης χρή-
ματα ἀναλώσας ὥς τε τυχεῖν, οὗτος οὕτω νῦν γέγονε φοβε-
ρὸς καὶ μέγας, ὥς τε τῶν ὅρκων, καὶ τῶν δικαίων ἀμελή-
σαντας ὑμᾶς ἤδη τί Φιλίππῳ χαριεῖσθε σκοπεῖν, τί πα-
θόντες ἂν οἱ τούτων αἴτιοι, τὴν προσήκουσαν δίκην [1]δεδω-
κότες εἶεν; οὐ μὴν, ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ συμφερού-
σης [2]ὑμῖν μᾶλλον ἐκ τῶν εἰκότων γενήσεται, καὶ τοῦτ' [3]οἴ-
μαι δείξειν. εὖ γὰρ εἰδέναι χρὴ τοῦθ', ὅτι οὐ καταφρονεῖ
Φίλιππος, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς πόλεως τῆς ὑμετέρας,
383 οὐδ' ἀχρηστοτέρους νομίσας ὑμᾶς Θηβαίων, ἐκείνους εἵλετ'
ἀνθ' ὑμῶν, ἀλλ' ὑπὸ τούτων ἐδιδάχθη, καὶ ταῦτ' ἤκουσεν,
ἅπερ καὶ πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς ὑμᾶς ἐν τῷ δήμῳ,
καὶ τούτων οὐδεὶς ἀντεῖπεν· ὡς ὁ μὲν δῆμός ἐστιν ὄχλος,
ἀσταθμητότατον πρᾶγμα τῶν ἁπάντων, καὶ [4]ἀσυνετώ-
τατον, ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον, ὡς ἂν

[1] δεδωκότες ἂν εἶεν [2] ὑμῖν οὕτω μᾶλλον [3] οἴομαι [4] ἀσυνθετώτατον

μβ'. Τάχα τοίνυν ἴσως] Σχ. non habet ἴσως. Sed vide Cl. Marklandum ad Leptineam, pag. 462. 6. Ed. Reisk. Tayl.

Τῶν πρεσβευσάντων τὴν εἰρήνην] Vertit Wolfius, *pacis interpretes*. Potius, *pacis auctores*, vel, *legatos ad pacem conficiendam missos*. Jurin. *Quegli, che hanno fatto la pace*. Ferro. Ad hunc locum alludit verbis aliquantulum consentientibus Hermogenes de Invent. pag. 151. Ἀλλ' ἀγανακτήσει Φίλιππος, ἐὰν τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφίσησθε. Aut alios reperit Codices Rhetor ille, aut, quod nonnunquam fit, memoriter laudavit, de Figura et Sententia, quam de Verbis, sollicitior. Taylor.

Ἀσταθμητότατον] Explicant Harpocratio et Suidas, ad hunc locum respicientes. Eos etiam vide in v. Ἀσυνθετώτατον. Nam ita scribendum arbitror in linea sequenti, cum Lambino, cum MSS. Ald. Felic. et Manut. et optimo nostro Harleiano, non ἀσυνετώτατον, uti dedit Wolfius, neque ἀσύνετον, ut Regii Codd. α. δ. Verte autem, *rem omnium inconstantissimam et maxime infidam*. Sic Horatius habet *Vulgus infidum*. Oritur menda in libris Demosthenis, solito more. Cum enim antiquiores Glossographi ἀσυνθετώτατον quandoque per ἀσυνετώτατον exponerent, id quod fecit Harpocratio, arripuit scriba interpretamentum. Vel potuit similitudine vocabulorum esse deceptus. Sunt autem simillima. Interpretes interea securi, hic, *res imprudentissima*, ille, *cosa pazzissima*. Uterque præter rem et veritatem. Nam mea lectio est unice approbanda. Et confirmat Cl. Valesius ad Harpocrat. Idem.

Πνεῦμα] F. κῦμα, vel ῥεῦμα. Nam Ventus non magis inconstans est in *mari*, quam *terra*. Markland. Omnino recte. κῦμα margo Benenati: atque insuper Editiones apprime bonæ Feliciani et Manutii. Simile est illud D. Iacobi, I. 6. Ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης, ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. Vide Cl. Wolfium Cur. Philolog. ad Act. XVII. 13. Anne hunc locum Demosthenis respexit M. Antonius, cum Octavio juvene sermocinans, apud Appian. II. B. Civ. p. m. 271. Ὁ δὲ δῆμός ἐστιν, ὥσπερ καὶ σὺ τῶν Ἑλληνικῶν ἀρτιδιδακτος ἂν ἔμαθες, ἀστάθμητον, ὥσπερ ἐν θαλάσσῃ κῦμα κινούμενον, ὃ μὲν ἦλθεν, ὃ δ' ἀπῆλθεν? Verum utrum re

τύχοι κινούμενον, ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθε· μέλει δ' οὐδενὶ τῶν κοινῶν, ἀλλ' οὐδὲ μέμνηται. δεῖ δέ τινας φίλους ὑπάρχειν τοὺς ἕκαστα πράξοντας ἐν ὑμῖν αὐτῷ, καὶ διοικήσοντας οἷον ἂν αὐτῷ δοκῇ· κἂν περ αὐτῷ τοῦτο κατασκευασθῇ, πᾶν ὅ, τι ἂν βούληται παρ' ὑμῖν, ῥᾳδίως διαπράξεται. εἰ μὲν οὖν ἤκουσεν, οἶμαι, τοὺς τότε ταῦτα πρὸς αὐτὸν εἰπόντας, παραχρῆμα ὡς δεῦρ' ἐπανῆλθον, ἀποτετυμπανισμένους, ἐποίησεν ἂν ταὐτὸ τῷ βασιλεῖ. τί δ' ἦν ὃ ἐκεῖνος ἐποίησεν; ἐξαπατηθεὶς ὑπὸ Τιμαγόρου, καὶ τετταράκοντα τάλαντα, ὡς λέγεται, δεδωκὼς αὐτῷ, ἐπειδὴ παρ' ὑμῖν [1]ἐπύθετο αὐτὸν τεθνεῶτα, καὶ οὐδὲ [2]τοῦ ζῆν ὄντα κύριον ἑαυτῷ βεβαιῶσαι, μή τι γ' ἃ ἐκείνῳ τότε ὑπέσχετο πρᾶξαι, ἔγνω τὴν τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν πραγμάτων δεδωκώς. καὶ γάρ τοι, πρῶτον μὲν Ἀμφίπολιν, πόλιν [3]ἡμετέραν δούλην κατέστησεν, ἣν τότε σύμμαχον αὐτοῦ καὶ φίλην ἔγραψεν· εἶτ' οὐδενὶ πώποτε ἔδωκε χρήματα [4]τοῦ λοιποῦ. ταὐτὸ τοίνυν [5]τοῦτ' ἂν ἐποίησε Φίλιππος, εἴ τινα τούτων εἶδε δίκην διδόντα· καὶ νῦν, ἂν ἴδῃ, ποιήσει. ἐπειδὰν δὲ ἀκούσῃ λέγοντας, εὐδοκιμοῦντας ἐν ὑμῖν, ἑτέρους κρίνοντας, τί καὶ [6]ποιῆσαι ζητοίη; πολλὰ 384
ἀναλίσκειν, ἐξὸν ἐλάττω; καὶ πάντας θεραπεύειν [7]βου-

[1] ἐπύθετο αὐτὸν παρ' ὑμῖν [2] *τοῦ τὸ ζῆν [3] ὑμετέραν [4] τουλοιποῦ [5] τότ' ἂν ἐποίησε ὁ Φίλ. [6] ποιῆσαι; ζητοίη πολλὰ [7] βούλοιτο

spexerit, necne, correctio nostra est necessaria. Et retinerem sane articulum ὁ: neque *genus* mutassem cum *Appiano* ὃ μὲν ἦλθεν—Ad *civem* enim refertur, τὸν δεῖνα ἐκ τοῦ δήμου, non ad *fluctum marinum*. Sc. *Alius accedit, alius abit: Nemini autem Remp. curæ esse video*, ut recte Interpres. Vide Lipsium I. Var. Lect. 3. conferentem hunc locum Demosthenis cum alio Ciceronis. Taylor.

Αὐτῷ] Vid. Var. Lect.

Ὑμῖν] Ὑμῶν est Hariolatio Lambini, sed inscitior. Idem.

Οὐδὲ τοῦ ζῆν ὄντα κύριον ἑαυτῷ βεβαιῶσαι] S. αὐτό. Sed quid si οὐδὲ τὸ ζῆν, ut referatur ad βεβαιῶσαι? Wolf. An τὸ ζῆν, *vitam*? Κύριον βεβαιῶσαι, ut κύριοι ζημιῶσαι, contr. Aristocratem, pag. 630. 14. ed. Reisk. Vide tamen pag. 642. pen. ejusd. Orat. Markland. Legendum opinor τοῦ τὸ ζῆν, ut sit sensus, κύριον ὄντα τοῦ βεβαιῶσαι τὸ ζῆν (vitam) ἑαυτῷ. Jurin.

Καὶ γάρ τοι—φίλην ἔγραψεν] Male, opinor, hæc vertit Wolfius. Vertendum: *itaque primum quidem Amphipolim, vestram urbem, imperio suo subjecerat, quam tunc* (Timagora nempe damnato) *in sociarum et amicarum urbium catalogum retulit*. Legendum vero ὑμετέραν pro ἡμετέραν. Jurin.

Πόλιν] F. πάλιν ἡμετέραν δούλην κατέστησεν. Wolf. F. ἣν, πόλιν ἡμετέραν, δούλην κατέστησε, τότε etc. Male Wolfius conjungit Ἀμφίπολιν πόλιν, et pejus vertit, ἡμετέραν δούλην κατέστησεν, *vestro imperio denuo subjecit*: et quæ sequuntur, *quam hactenus sociam suam* etc. Markland. Quicquid sit in ista conjectura Wolfii, auctoritatem aliquam nacta est ex scriptis Codd. Ven. Ital. Lind. et Regg. α. β. qui omnes præferunt πάλιν. Sed Viri doctissimi amicissimique Correctio est unice vera. Taylor. Deleo πόλιν ut inutile. Auger.

Τοῦτ'] F. τότ' ἂν etc. cui mox opponitur νῦν. Markland.

λήσεται, δύο ἢ τρεῖς ἐξόν; μαίνοιτο μέν τ' ἄν. οὐδὲ γὰρ τὴν τῶν Θηβαίων πόλιν εἵλετο δημοσίᾳ ποιεῖν ὁ Φίλιππος εὖ· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὑπὸ τῶν πρέσβεων ἐπείσθη. ὃν δὲ τρόπον, φράσω πρὸς ὑμᾶς ἐγώ.

μγ'. Ἦλθον [1] πρὸς αὐτὸν πρέσβεις ἐκ Θηβῶν, ὅτε περ καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν ἐκεῖ. τούτοις χρήματα ἐκεῖνος ἠβούλετο δοῦναι, καὶ πάνυ γε, ὡς ἔφασαν, πολλά· [2] οὐκ ἐδέξαντο οὐδ' [3] ἔλαβον ταῦτα οἱ τῶν Θηβαίων πρέσβεις. μετὰ ταῦτα ἐν θυσίᾳ τινὶ [4] καὶ δείπνῳ πίνων, καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ὁ Φίλιππος, ἄλλα τε δὴ πολλὰ, οἷον αἰχμάλωτα καὶ τὰ τοιαῦτα, καὶ τελευτῶν, ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ [5] προὔτεινεν αὐτοῖς. ταῦτα πάντα ἐκεῖνοι διεωθοῦντο, καὶ οὐδαμῇ προΐεντο ἑαυτούς. τελευτῶν δὲ Φίλων, εἷς τῶν πρέσβεων, εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγον, [6] ὃν οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν ἄξιον εἰρῆσθαι. ἔφη γὰρ, τὸν Φίλιππον ὁρῶν μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα πρὸς αὐτοὺς, ἥδεσθαι καὶ χαίρειν. αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι καὶ ξένοι καὶ ἄνευ τῶν δώρων τούτων· εἰς δὲ τὰ τῆς πόλεως πράγματα ἐν οἷς ἦν τότε, τὴν φιλανθρωπίαν αὐτὸν ἠξίουν ταύτην [7] προθέντα, ἄξιόν τι καὶ [8] αὐτοῦ καὶ τῶν Θηβαίων πρᾶξαι, καὶ ὅλην δὲ τὴν πόλιν οὕτω καὶ σφᾶς ὡμολόγουν ὑπάρξειν αὐτῷ. καὶ γάρ τοι σκέψασθε, τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων, καὶ [9] τί συμβέβηκε, καὶ θεάσασθε ἐπ' αὐτῆς τῆς ἀλη-

[1] πρὸς] ὡς [2] *ὡς δ' οὐκ [3] ἔλαβεν F. err. typ. [4] [καὶ δείπνῳ] [5] προὔτεινεν [6] Deest ὅν. [7] προσθέντα [8] αὑτοῦ [9] τί ἡμῖν συμβέβηκε

Μαίνοιτο μέντ' ἂν] *At furore id agitati esset*, μέντ' ἂν ex μέντοι et ἂν componitur, pro *at* vel *atqui*. Vide Comment. Bud. *Ex edit.* Hervag.

μγ'. Οὐκ ἐδέξαντο] F. ἃ οὐκ ἐδέξαντο. Markland.

Φιλανθρωπευόμενος πρὸς αὐτοὺς] *In comitatem benignitatemque compositus.* id enim φιλανθρωπεύεσθαι vocant Græci. Unde philanthropia non modo *humanitatem*, id est, *morum clementiam ac benignitatem* significat, sed etiam *liberalitatem*, καὶ φιλοδωρίαν: et φιλανθρώπευμα, pro *benigne dato, ac liberali facinore, benignitatisque pleno.* Sic Latini *benigne facere* dicunt. Cicero pro Plancio: "Doceo gratiosum etiam tribubus Plancium, quod multis benigne fecerit, pro multis spoponderit." *Ex edit.* Hervag.

Προὔτεινεν] Omnino προὔπινεν, ut nuper ostendimus. Taylor.

Οὐδαμῇ προΐεντο ἑαυτοὺς] Verte, *neque se usquam prostituebant.* Incautius hic Wolfius, et negligentius. Idem.

Ὃν οὐχ ὑπὲρ Θ.] Delendum puto istud ὅν. Jurin. Id tamen minus necessarium. Licet in Harleiano deesse videam. Tayl.

Προθέντα] Male Edit. Ben. προσθέντα. Quod vidit et vindicavit Lambinus. Cf. §. κβ'. Idem.

Αὐτοῦ] Scr. αὑτοῦ. Markland. Et recte. Harl. ἑαυτοῦ. Id quod voluisse credo Regg. a. d. qui σαυτοῦ. Taylor.

Καὶ τί συμβέβηκε] Wolfius, *et quid vo-*

θείας, ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν τὰ τῆς πόλεως πράγματα. πρῶτον μὲν τοίνυν εἰρήνη γέγονεν αὐτοῖς πονοῦσι καὶ ταλαιπωρουμένοις ἤδη τῷ πολέμῳ, καὶ ἡττωμένοις· εἶτα 385
τῶν ἐχθρῶν Φωκέων ἄρδην ὄλεθρος, καὶ ὅλων τῶν τειχῶν, καὶ τῶν πόλεων ἀναίρεσις. ἆρα καὶ μόνα ταῦτα; οὐ, μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις, Ὀρχομενὸς, Κορώνεια, Κορσιαὶ, τὸ Τιλφωσσαῖον, τῆς τῶν Φωκέων χώρας ὅσην [1] ἐβούλοντο. τοῖς μὲν δὴ Θηβαίοις, ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν εὔξαιντο δήπου μείζονα· τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων τί; οὐδὲν, πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι τῇ πατρίδι. τοῦτο δὲ καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σεμνὸν εἰς ἀρετῆς λόγον καὶ δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο.

μδ'. Ἀντιθῶμεν δὴ τί τῇ τῶν Ἀθηναίων πόλει γέγονεν ἐκ τῆς εἰρήνης, καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων, καὶ θεωρεῖτε εἰ παραπλήσια τῇ πόλει καὶ τούτοις αὐτοῖς. τῇ πόλει μὲν τοίνυν, ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτημάτων, καὶ τῶν συμμάχων, ὀμωμοκέναι δὲ Φιλίππῳ, [2] κἄν τις ἄλλος ἴῃ ποτ' ἐπ' αὐτὰ βουλόμενος σώζειν, ὑμᾶς κωλύσειν, καὶ τὸν μὲν ὑμῖν βουλόμενον παραδοῦναι, ἐχθρὸν [3] ἡγήσασθαι καὶ πολέμιον, τὸν δὲ ἀπεστερηκότα, σύμμαχον καὶ φίλον. ταῦτα γάρ ἐστιν ἃ συνεῖπε μὲν Αἰσχίνης οὑτοσὶ, ἔγραψε δὲ ὁ τούτου συνεργὸς Φιλοκράτης. καὶ κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν, καὶ πεπεικότος ὑμᾶς, τὸ τῶν συμμάχων δόγμα κυρῶσαι, καὶ καλέσαι τοὺς πρέσβεις τοὺς τοῦ Φιλίππου, ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν, τὴν [4] τοῦ Φιλοκράτους γνώμην [5] ἔπεισεν ἑλέσθαι, ἐν ᾗ καὶ ταῦτα καὶ

[1] ἠβούλοντο [2] κἂν ἄλλος τις [3] ἡγήσεσθαι [4] Deest articulus.
[5] ἔπεισεν ὑμᾶς ἑλέσθαι

bis acciderit. Immo, *et quid* iis (Thebanis) *evenerit*. Jurin. Recte fortasse. Sed nonnulli Codd. Wolfii interpretationem confirmant. MS. enim Harl. cum Aug. et Editt. accuratioribus: τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων, καὶ τί ὑμῖν συμβέβηκε. Quam lectionem neque laudo admodum, neque improbo. Taylor.

Τῆς τῶν Φωκέων χώρας] Ut excudebant Parisienses, et confirmant MSti, Lind. et Harl. Idem.

Ὅσην] Rectius fortasse ὅσων, uti præferunt MSS. Idem.

Ἀπέδοντο] L. οὐκ ἀπέδ. — quod patet ex comparatione sequenti. οὗτοι sunt *legati Thebanorum*. Markland. Ni οὗτοι fortasse in Æschinem et socios jaciatur. Quod est verisimile. Taylor.

μδ'. Ἡγήσασθαι] L. ἡγήσεσθαι, ut κωλύσειν. Markland. Recte. Taylor. Vid. Var. Lect.

Καλέσαι] F. καὶ μὴ καλέσαι. Markland.

Ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν] *Re fraude in posterum diem dilata.* Hoc malo, quam, *Iste cavillationibus eludens,*

πολλὰ ἄλλα ἔτι τούτων δεινότερά [1]ἐστι γεγραμμένα. τῇ
386 μὲν δὴ πόλει ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ᾽ εὑρεῖν
αἰσχίω ῥᾴδιον· τοῖς δὲ πρέσβεσι τί, τοῖς ταῦτα πράξασι;
τὰ μὲν ἄλλα σιωπῶ, πάνθ᾽ ὅσα ἑωράκατε ὑμεῖς, οἰκίας,
ξύλα, πυρούς, ἀλλ᾽ ἐν τῇ τῶν ἀπολωλότων συμμάχων
[2]χώρᾳ, κτήματα καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει
μὲν τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δ᾽ Αἰσχίνῃ, τριάκοντα μνᾶς. καί τοι, πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τὰς τῶν ὑμετέρων συμμάχων συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς ὑμετέροις γεγενῆσθαι, καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ πόλει, τῶν μὲν συμμάχων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης, αἰσχύνην γεγενῆσθαι, τοῖς δὲ πρέσβεσι, τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι, προσόδους, εὐπορίας, κτήματα, πλοῦτον, ἀντὶ τῶν ἐσχάτων ἀποριῶν, εἰργάσθαι; ἀλλὰ μήν, ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς Ὀλυνθίους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

μέ. Οὐ τοίνυν θαυμάσαιμ᾽ ἄν, εἰ καὶ [3]τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐκ ἦν καλήν, οὐδ᾽ οἵαν ἠξίουν ἐγώ, τὴν εἰρήνην ποιήσασθαι, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κε-

[1] ἔνεστι [2] χώρᾳ συμμάχων [3] τοιοῦτόν

postridie persuasit. Wolf.

Πάνθ᾽] Distinguit Cl. Marklandus ita: τὰ μὲν ἄλλα σιωπῶ πάνθ᾽, ὅσα ἑωράκατε. Taylor.

Ἀλλ᾽ ἃ ἐν τῇ] Vid. Var. Lect.

Καὶ γεωργίαι παμπληθεῖς] Sub. ἐγένοντο. Wolf.

Ἀποριῶν] Proba est Lectio, neque temere sollicitanda. Bene, ut mihi videtur, addit Demosthenes, ἀντὶ τῶν ἐσχάτων ἀποριῶν, ad exprimendam istorum hominum subitam novamque fortunam. *Ex summa rerum omnium inopia, et maxima egestate evaserunt beatissimi.* Simile est istud Terentianum, initio Andriæ:

Feci, e servo *ut esses libertus mihi.*

Simile etiam istud Lysiacum, de Cæde Eratosthenis, p. 7. 3. Ed. R. οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι. Ita Olynth. III. [II.] οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ᾽ ἐξ ἀδόξων ἔντιμοι. Ita De rebus Chersones. τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γεγόνασι· καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων, ἔνδοξοι καὶ γνώριμοι· ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν εὐδόξων ἄδοξοι, ἐκ δ᾽ εὐπόρων ἄποροι. Ita Philipp. III. ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τοκαταρχὰς ὁ Φίλιππος ηὔξηται. Ita infra, §. πβ΄. *post med.* ἐξ ὧν ἀντὶ καλῆς αἰσχρὰν συνέβη γενέσθαι τὴν εἰρήνην. Item §. νέ. *a med.* et §. μά. *in fin.* Ita Herodot. Erat. 32. Ἐποίευν ἀντὶ εἶναι ἐνόρχιας, εὐνούχους. Emphasin hæc habere solent præcellentem. Taylor.

Τοὺς Ὀλυνθίους μάρτυρας] Quid Olynthiis extorribus cum Phocensi agro? Puto legendum Φωκέας. Etsi Æschines meminit Olynthii cujusdam, quem Demosthenes corrumpere non potuerit, ut pro testimonio mentiretur. Wolf. Delendum opinor Ὀλυνθίους. Markland.

μέ. Ὡς οὐκ ἦν καλὴν] Lege. Wolf. Nam Editio Parisina una cum Ulpiano habet καλή. Minime recte. Taylor,

χρημένων. ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατε αὐτὸν
μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς ᾤχετο πρεσβεύων πό-
λεως, ἢ ταύτης [1] τῆς αὐτῆς. εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν [2] κε-
κρατηκέναι τῷ πολέμῳ φήσει, καὶ χρηστοὺς ἔχειν τοὺς
στρατηγοὺς, εἰκότως χρήματα εἴληφεν· εἰ δ' ἐκ ταύτης αὐ-
τῆς, τίνος ἕνεκα ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν [3] αὑτῆς
ἀπέστη, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται;
τῶν γὰρ αὐτῶν ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν, 387
καὶ τοὺς ἐκ ταύτης πρέσβεις, εἴπερ τι τῶν δικαίων [4] ἐγί-
γνετο. ἔτι τοίνυν κἀκεῖνο σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι·
πότερ' οἴεσθε, πλέον Φωκέας Θηβαίων, ἢ Φίλιππον ὑμῶν
κρατεῖν τῷ πολέμῳ; ἐγὼ μὲν γὰρ εὖ οἶδ' ὅτι Φωκεῖς Θη-
βαίων. [5] εἶχον γὰρ Ὀρχομενὸν, καὶ Κορώνειαν, καὶ τὸ Τιλ-
φωσσαῖον, καὶ τοὺς ἐν Νέωσιν ἀπειλήφεσαν αὑτῶν, καὶ
ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν ἐπὶ τῷ Ἡδυλείῳ,
καὶ τρόπαιον εἱστήκει, καὶ ἱπποκράτουν, καὶ κακῶν Ἰλιὰς
περιειστήκει Θηβαίους· ὑμῖν δὲ [6] τοιοῦτο μὲν οὔτ' ἦν, οὔτε
γένοιτο τοῦ λοιποῦ. τοῦτο δ' ἦν τὸ δεινότατον τοῦ πρὸς Φί-
λιππον πολέμου· οὐκ [7] ἐδύνασθε κακῶς ἡνίκα ἐβούλεσθε

[1] Deest articulus. [2] κεκρατηκέναι τι τῷ [3] ἑαυτῆς
[4] ἐγίγνετο. νῦν δὲ, ἡ μὲν πόλις τῶν αὑτῆς ἀφέστηκεν, οὗτος δὲ χρήματα εἴληφεν. ἔτι
[5] εἶχον μὲν γὰρ [6] τοιοῦτον μὲν οὐδὲν οὔτ' ἦν, μήτε γένοιτο [7] ἠδύνασθε

Τῆς αὐτῆς] F. del. τῆς, ut paulo post. Markland. Vid. Var. Lect.

Χρήματα] F. χρήματ' ἄν. Markland.

Ἐγίγνετο] Vid. Var. Lect.

Ἐν Νέωσιν] Νέωνα Stephanus urbem Phocidis esse scribit, unde fiat patrium nomen, Νεώνιος. Sed hoc plurale est, sive οἱ Νέωνες, sive τὰ Νέωνα, fortassis a nova emptione. Εἰς νέωτα, *novo*, aut *altero anno*. Unde Versus:

Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος. Wolf.

Ibid. Harpocr. v. Νεῶσι hunc locum citat: apud quem Androtio in plurali habet Νεῶνας: licet Herodotus, ut discimus ex eod. Harpocr. et Stephano Byzantino, in singulari, Νεῶνα. MSti nostri Νεωσίνας, Ἐννεωσίνας, etc. non quod librarii duplicem scripturam Civitatis invenerant, ut male auguratur Valesius in Notis ad Harpocr. sed quod proclive fuerit, ex his vocibus καὶ τοὺς ἐν Νέωσιν ἀπειλήφεσαν, oscitanti Scribæ tale monstrum procudere. Sed Valesii existimationi melius esset consultum, si tota illa Annotatio deleretur. Pessime enim cepit Auctoris nostri mentem in hac periodo, atque hic extra limites negotii sui divagatur, ut id palam omnibus faceret. Ejus tamen meritis hoc lubenter sum condonaturus. Locus Herodoti est VIII. 32. Taylor.

Τοὺς—αὐτῶν] *Illos ipsorum*, i. e. suos. Auger.

Ἡδυλείῳ] In Cod. Augustano σχ. ὄρος Φωκίδος. Plura de eo consignantur ab Ulpiano et Harpocratione. Taylor.

Καὶ τρόπαιον εἱστήκει] Malim εἱστήκεισαν. Jurin. Dubito vehementer. Scriptum est Græcanico more. Infra §. κθ'. *post med.* ἐκρατοῦντο Θηβαῖοι, καὶ μάχῃ ἥττηντο, καὶ τρόπαιον ἀπ' αὐτῶν εἱστήκει. Taylor.

Κακῶν Ἰλιάς] Miror, cur Genethlio, antiquo scriptori in Demosthenem, displicuerit hoc Proverbium: Φησὶ δὲ Γενέθλιος, ὅτι ἐνήλλακται (ita lege) ἡ πτῶσις. ἔδει γὰρ εἰπεῖν Ἰλιάδος κακά. Ulpianus. Idem.

ποιεῖν ἐκεῖνον, τοῦ δὲ μὴ πάσχειν ἔτι αὐτοὶ, πᾶσαν ἄδειαν ἤγετε. τί ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης, τοῖς μὲν Θηβαίοις, τοῖς τοσαύτῳ κρατουμένοις τῷ πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσασθαι, καὶ τὰ τῶν ἐχθρῶν προσλαβεῖν ἐγγέγονε· τοῖς δὲ Ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ πολέμῳ διεσώζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι; ὅτι [1] τὰ ἐκείνων μὲν οὐκ ἀπέδοντο οἱ πρέσβεις, τὰ δ' ὑμέτερα οὗτοι πεπράκασιν.

μς'. [2] Ἀλλὰ, νὴ Δία, τοὺς συμμάχους ἀπειρηκέναι φήσει τῷ πολέμῳ. ὅτι γὰρ ταῦτα οὕτω πέπρακται, καὶ ἐκ τῶν ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε. ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν [3] αὐτὴ ἡ τοῦ Φιλοκράτους, ἣ συνεῖπεν οὗ-
388 τος, οἱ δὲ πρέσβεις ἀπήρκεσαν οἱ τοῦ Φιλίππου, λαβόντες τοὺς ὅρκους,—καὶ μέχρι τούτου γε οὐδὲν ἀνήκεστον ἦν τῶν πεπραγμένων, ἀλλ' αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀναξία τῆς πόλεως, ἀντὶ δὲ τούτων δὴ τὰ θαυμάσια ἀγαθὰ [4] ἡμῖν ἔμελλεν ἔσεσθαι—, ἠξίουν [5] ὑμᾶς ἐγὼ, καὶ τούτοις ἔλεγον, πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλησπόντου, καὶ μὴ προέσθαι,

[1] τὰ μὲν ἐκείνων [2] [ἀλλὰ νὴ - - - - πολέμῳ] [3] αὕτη [4] ὑμῖν ἤμελλεν [5] ἡμᾶς

Τοσούτῳ] L. τοσοῦτον: ut vidi in quodam Exemplari olim correctum. Atque ita MSS. optimi, Aug. et Harl. Idem.

Ἐγγέγονε] Non est, ut muniretur Vox ea tali Præposito. Simplicius multo et melius MSS. Ven. Lind. Aug. Harl. cum duobus Paris. α. et ζ. γέγονε. Idem.

Ἃ τῷ πολέμῳ] F. ἃ ἐν τῷ πολέμῳ. ς. λβ'. *post med.* ἐπὶ τοῦ πολέμου διασωθέντας. Markland.

μς'. Ἀλλὰ, νὴ Δία κ. τ. λ.] Aut hæc Objectio abundare, aut Refutatio ejus abesse videtur. Præstiterit enim, positam non fuisse, quam non eversam. Neque enim facile bellum est sine sociorum auxiliis. Ulpianus εἰρώνειαν esse putat, quæ κατ' ἀπόδειξιν refutatione indigna esse putetur. Wolf.

Ἀλλὰ, νὴ Δία—τῷ πολέμῳ] Hæc aliena esse arbitror, neque hujus loci. Ita connectendum et legendum existimo: ὅτι τὰ ἐκείνων μὲν οὐκ ἀπέδοντο οἱ πρέσβεις, τὰ δὲ ὑμέτερα οὗτοι πεπράκασιν. ὅτι γὰρ ταῦτα οὕτω πέπραται, καὶ ἐκ τῶν etc. Πέπραται, inquam, non πέπρακται. Nam caussale γὰρ, et narratio, quæ sequitur, clare evincunt, Demosthenem jam in eo esse, ut probet *venditam* fuisse rempublicam. Markland. Mire æstuat Ulpianus in sordibus hujus κακοῦ κόμματος expurgandis. Et simile aliquid ei contigisse video ad eam, quæ est De Corona. Annotarunt hic Librarii in suis Exemplaribus: δοκεῖ λείπειν ἐνταῦθα πολλά. Nemo autem ante præstantissimum Marklandum vidit, infaustissimum id Incisum [Ἀλλὰ, νὴ Δία —τῷ πολέμῳ.] potius esse eliminandum. Veruntamen, ut meam exponam de ea re sententiam, vero est omnino simillimum, et talem objectionem, (vel potius, talem defensionem Pacis male conciliatæ) sc. *Socios belli diuturnitate fractos esse et defessos*, factam fuisse ab Æschine, et a Demosthene alicubi animadversam: Qua tamen in parte Orationis, neque liquet, neque fortasse unquam liquebit. Per totam enim mirum in modum omnia sunt conturbata, ut in aditu Orationis admonui, et ut, ea progrediente, planius apparebit. Taylor.

Ἀλλὰ νὴ Δία κ. τ. λ.] Hanc phrasim fere omnes delendam censent, utpote quæ sequentium cum præcedentibus nexum interturbet. Ego aliquem inde sensum erui posse arbitror levi mutatione phraseos sequentis, nempe: ὅτι δή γε ταῦτα - - - et paucis cætera commentando. Videatur mea hujusce loci interpretatio. Auger.

Αὐτὴ] F. αὕτη, *hæc*. Wolf. Markland.

μή δ᾽ [1]ἐᾶσθαι κατασχεῖν Φίλιππον μηδὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ τι χωρίων. ᾔδειν γὰρ ἀκριβῶς, ὅτι πάνθ᾽ ὅσα ἂν ἐκ πολέμου γιγνομένης εἰρήνης προεθῇ, ταῦτα τοῖς [2]ἀμελήσασιν ἀπόλλυται. οὐδεὶς γὰρ πώποτε ὑπὲρ τῶν ὅλων πεισθεὶς εἰρήνην ἄγειν, ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξαρχῆς ἠθέλησε πολεμεῖν· ἀλλὰ ταῦθ᾽ οἱ προλαβόντες ἔχουσι. χωρὶς δὲ τούτων, δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πόλιν ἡγούμην, πλευσάντων ἡμῶν. ἢ γὰρ παρόντων, καὶ κατὰ τὸ ψήφισμα αὐτὸν ἐξορκωσάντων, ἃ μὲν εἰλήφει τῶν τῆς πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν ἀφέξεσθαι· ἢ μὴ ποιοῦντος [3]τούτου ταῦτα, [4]ἀπαγγέλλειν ἡμᾶς εὐθέως δεῦρο. ὥς τ᾽ ἐν ἐκείνοις τοῖς πόῤῥω, καὶ ἐλάττοσι τὴν πλεονεξίαν, καὶ τὴν ἀπιστίαν [5]εἰδότας ὑμᾶς, περὶ τῶνδε τῶν ἐγγὺς καὶ [6]τῶν μειζόνων, λέγω δὴ Φωκέων καὶ Πυλῶν, οὐ προήσεσθαι. μὴ προλαβόντος δ᾽ ἐκείνου ταῦτα, μηδ᾽ ὑμῶν ἐξαπατηθέντων, ἅπαντ᾽ ἐν ἀσφαλεῖ τὰ πράγμαθ᾽ ὑμῖν ἔσεσθαι, καὶ παρ᾽ ἑκόντος ὑπάρξειν αὐτοῦ τὰ δίκαια. καὶ ταῦτ᾽ εἰκότως οὕτως [7]ὑπελάμβανον ἕξειν. εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε, οἱ Φωκεῖς σῷοι, καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν ἂν [8]οὐδὲν ὑμῖν εἶχεν ἀνατείνασθαι φοβερὸν, δι᾽ ὃ τῶν δικαίων 389
ἄν τι παρείδετε. οὔτε γὰρ κατὰ γῆν παρελθὼν, οὔτε ναυσὶ κρατήσας, εἰς τὴν Ἀττικὴν ἥξειν ἔμελλεν, ὑμεῖς δ᾽ ἐκείνῳ παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλείσειν τὰ ἐμπόρια,

[1] ἐᾶσαι [2] μελλήσασιν [3] τούτου] ἐκείνου [4] ἀπαγγελεῖν [5] ἰδόντας
[6] Deest articulus. [7] ὑπελάμβανον οὕτως [8] οὐδὲν ἂν εἶχεν ὑμῖν

Ἐᾶσθαι] F. ἐᾶσαι. MARKLAND. Vid. Var. Lect.

Τι] Τὸ τὶ videtur παρέλκειν, cum μηδὲν antecedat. WOLF.

Ἐγκαταλειφθέντων] Τῶν προειμένων, καὶ ἠμελημένων. Postea conjungo ἠθέλησε πολεμεῖν ἐξαρχῆς. IDEM. Ἐγκαταληφθέντων maluit Lambinus. Næ ille aliquoties truculentus est Criticus, præter æquum modumque. TAYLOR.

Ἐξαρχῆς] Cohæret cum ἠθέλησε πολεμεῖν, et significat *denuo, rursus*. AUGER.

Ἐξαρχῆς] Quæro, an significet *denuo*, et conjungendum sit cum ἠθέλησε πολεμεῖν, *denuo bellum gerere voluit*. Ita sumendum videtur apud Æsch. π. Παραπρ. p. 338. ult. Ed. R. καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος — *atque iterum, denuo, viribus aucto*, sc. populo, vel, statu populari. MARKLAND. Recte: et corrige Wolfii versionem ad normam Etruscæ: *verra per qualche rimanente* di nuovo *guerregiare*. TAYLOR.

Ἔχουσι] Hinc illud in fœderibus, ὁ ἔχων ἐχέτω. WOLF.

Ἀπαγγέλλειν] F. ἀπαγγελεῖν, ut ἀποδώσειν, ἀφέξεσθαι, προήσεσθαι, etc. MARKLAND. Recte. Ita quoque MSS. et marg. Benenati. TAYLOR.

Δικαίων] Non *Jus*, ut reddit Wolfius, sed *Jura*. Τὰ Δίκαια sumuntur, ut τὰ δικαιώματα, nimirum *Postulationes. Claims or pretences. Ea, quæ juste vobis concedi oportere existimatis.* Vide De Coron. §. ί. *ante med.* et §. ϛ΄. *ad fin.* Mox melius fortasse cum *Reg.* μ. παρίδετε, et v. pen. cum Ven. et Harl. ἐκείνου — τὰ ἐμπόρια. IDEM.

Κλείσειν] Sc. ἐμέλλετε, repetendum ex

καὶ χρημάτων [1]γ' ἐν σπάνει, καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν. ὥστε ἐκεῖνος ὁ δουλεύσων ἔσεσθαι [2]ἔμελλε τοῖς ἀπὸ τῆς εἰρήνης λυσιτελοῦσιν, οὐχ ὑμεῖς. καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσι νυνὶ πλάττομαι, καὶ προσποιοῦμαι, ἀλλὰ τότ' εὐθὺς ἐγνώκειν καὶ προεωρώμην ὑπὲρ ὑμῶν, καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκ ἔτ' ἦν ὑπόλοιπος οὐδεμία, διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπῄεσαν, ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην, τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται, γράψας, ὥσπερ νῦν λέγω, τοῖς ῥήμασιν οὕτως [3]ἄντικρυς. καί μοι λέγε τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ.

μζ΄. Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως ἄκοντας, ὡς καθαρῶς οἷς μετὰ ταῦτα ἐποίουν, εἴσεσθε. ἐπειδὴ δὲ ἀφικόμεθα εἰς Ὠρεὸν, καὶ συνεμίξαμεν τῷ Προ-

[1] τ' [2] ἔμελλεν ἔσεσθαι [3] ἄντικρυς οὕτως

praecedenti ἔμελλεν. Markland.

Ὥστε ἐκεῖνος ὁ δουλεύων ἔσεσθαι ἔμελλε] *Proinde ille erat ipse commoda pacis capturus, commodis pacis inserviturus*, hoc est, longe magis intererat ejus, pacem coire et componere, quam vestra. Est enim modus loquendi per participium cum articulo, ut idem περὶ Στεφάνου. καί τοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν, οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; Et *servire* est *addictum esse et nimium colere*, ut etiam alibi dictum est. Unde τῷ ῥυθμῷ δουλεύειν, καιρῷ δουλεύειν, et *scenae servire* apud Ciceronem, &c. *Ex edit.* Hervag.

Διὰ τὸ προκατακεχρῆσθαι] Id est, *quod jam antea omnes concionum dies consumpti essent*. id enim hoc loco προκαταχρῆσθαι significat. Utitur paulo aliter Isocrates in Panegyrico. Idem.

Τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν] Alioqui Προβούλευμα τῆς Βουλῆς ad Concionem fuisset referendum. Sic enim scribit Aphthonii Interpres: Ὅσα ἐν τῇ Βουλῇ ἔδοξε, ταῦτα ἐπὶ τὸν Δῆμον ἀνεφέρετο· καὶ ἐκ τῶν ἐναντίων, τὰ ὑπὸ τοῦ Δήμου ψηφιζόμενα ὑπὸ τῆς Βουλῆς ἐκυροῦτο. Wolf. *Havendo dato il popolo la podestà al Senato*, Italus Interpres, paulo pressius, quam sunt Latina Wolfii. Taylor.

Γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος] *Cum essem tum Senator*, id est, βουλευτὴς, *rogationem tuli, cum populus rem Senatui permisisset, ut primo quoque tempore legati proficiscerentur*. κύριον enim ποιῆσαι, significat *dare auctoritatem et potestatem*. Dicitur etiam αὐτοκράτορα ποιῆσαι. Est enim αὐτοκράτωρ πρεσβευτὴς, *legatus qui cum potestate mittitur*. Idem in eadem, ὧν μέντοι νῦν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν τούτων ἴσχε τὸν τρόπον ὑμῖν. *Ex edit.* Hervag.

Ὥσπερ] Lambinus ita corrigit: γράψας, ὥσπερ νῦν λέγω, τοῖς ῥήμασιν αὐτοῖς. Illud probo: hoc certe est minus necessarium. Οὕτως enim non semper ad comparationem adhibetur: sed est quoddam quasi intensivum. Et ecce, ne nimis divagari videar, §. μζ΄. αὐτοὺς ἐξήγαγον οὕτως ἄκοντας, *full sore against their will*; ut dicerent nostrates. Ubi Versionem Wolfii reformabis. Taylor.

μζ΄. Οὕτως ἄκοντας] Ἀντὶ τοῦ, πάνυ. Nisi forte ὄντως legendum sit, *revera invitos*. Quod annotatum est, ἀκούοντας etiam legi,

ξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν, καὶ τὰ προστεταγμένα πράττειν, ἐπορεύοντο κύκλῳ· καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν, τὰς δὲ ἄλλας ἁπάσας καθήμεθα ἐν Πέλλῃ, πρὶν Φίλιππον ἐλθεῖν, 390 σὺν αἷς ἐπορεύθημεν, ὁμοῦ πεντήκονθ᾽ [1]ὅλαις. ἐν δὲ τούτῳ, Δορίσκον, Θρᾴκην, τὰ [2]ἐπὶ τειχῶν, ἱερὸν ὄρος, πάντα τὰ πράγματα, ἐν εἰρήνῃ καὶ σπονδαῖς ᾕρει, καὶ διῳκεῖτο [3]ὁ Φίλιππος, πολλὰ λέγοντος ἐμοῦ καὶ θρυλλοῦντος ἀεὶ, τὸ μὲν πρῶτον, ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου, μετὰ ταῦτα δὲ, ὡς ἀγνοοῦντας διδάσκοντος, τελευτῶντος δὲ, ὡς ἂν πρὸς πεπρακότας ἑαυτοὺς καὶ ἀνοσιωτάτους ἀνθρώπους, οὐδὲν ὑποστελλομένου· ὁ δὲ τούτοις ἀντιλέγων φανερῶς, καὶ ἅπασιν ἐναντιούμενος οἷς ἔλεγον μὲν ἐγὼ, ἐψήφιστο δὲ ὑφ᾽ ὑμῶν, οὗτος ἦν. εἰ δὲ καὶ πᾶσιν ἤρεσκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκα εἴσεσθε. ἐγὼ μὲν γὰρ οὐδέν πω λέγω περὶ οὐδενὸς, οὐδ᾽ αἰτιῶμαι, οὐδ᾽ ἀναγκασθέντα αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι τήμερον, ἀλλὰ δι᾽ [4]αὐτὸν, καὶ τῷ μὴ κεκοινωνηκέναι τῶν ἀδικημάτων. ὅτι μὲν γὰρ αἰσχρὰ, καὶ δεινὰ, καὶ οὐ προῖκα τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑωράκατε· οἵτινες δ᾽ οἱ τούτων μετεσχηκότες αὐτὰ δηλώσει. ἀλλὰ, νὴ Δία, ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον παρὰ τῶν συμμάχων, ἢ τἄλλ᾽ ἃ προσῆκεν ἐποίησαν; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημήσαντες, καὶ χιλίας δραχμὰς λαβόντες ἐφόδιον παρ᾽ ὑμῶν, ὅσα παρ᾽ [5]οὐδεμιᾶς πόλεως, οὔθ᾽ ὅτε ἐκεῖσε ἐπορεύοντο, οὔθ᾽ ὅτ᾽ ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον, ἀλλ᾽ ἐν τῷ πανδοκείῳ τῷ πρὸ τοῦ Διοσκουρείου—εἴ τις ὑμῶν εἰς Φερὰς

[1] ὅλας [2] ἐπὶ τῶν τειχῶν [3] Deest articulus. [4] αὐτὸν, καὶ τὸ μὴ
[5] οὐδεμιᾶς ἄλλης πόλεως

nullum habet sensum. Wolf.

Ὅλαις] F. ὅλας. Markland. Ita etiam Lambinus auguratus est, et vertit Wolfius. Sine litura denique ὅλας in Harleiano nostro, et Ital. Taylor.

Δορίσκον, Θρᾴκην, τὰ ἐπὶ τειχῶν] Θρᾴκης τὰ ἐπὶ τειχῶν. Ita legendum arbitratur Palmerius ad Scylacem, p. 280. Exercitat. Taylor.

Τὰ ἐπὶ τειχῶν] Alias τοῦ Ἡραίου τείχους meminit, de quo et Stephanus in Ἡραῖον. Wolf.

Ἱερὸν ὄρος] Vid. Strabon. Vales. ad Harpocr. v. Ἐργίσκη, Not. ad Æschin. p. 260. not. 61. Ed. R. Taylor.

Ὡς ἀγνοοῦντας] F. ὡς ἂν ἀγνοοῦντας, ut ante, et mox. Markland.

Αὐτὸν] L. αὑτόν. Idem.

Αἰσχρὰ δεινὰ] F. αἰσχρὰ καὶ δεινά. Wolf. Deerat enim in Impressorum aliquibus. Taylor.

Αὐτὰ δηλώσει] S. τὰ πράγματα. Wolf.

Πανδοκείῳ] Illustrat Brodaeus IV. Miscell. 17. Taylor.

ἀφῖκται, οἶδεν ὃ λέγω—ἐνταῦθα ἐγίγνοντο οἱ ὅρκοι, ὅτε
δεῦρ' ἤδη τὸ στράτευμα ἄγων ἐβάδιζε Φίλιππος, αἰσχρῶς,
391 ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν. καί τοι τοῦθ' ὁ Φί-
λιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου, τοῦτον τὸν τρό-
πον πραχθῆναι. τήν τε γὰρ εἰρήνην οὐχὶ δυνηθέντων, ὡς
ἐπεχείρησαν οὗτοι τὸ πρῶτον, πλὴν [1]Ἀλέων καὶ Φω-
κέων γράψαι, ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλο-
κράτους ταῦτα μὲν ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς Ἀθη-
ναίους, καὶ τοὺς Ἀθηναίων συμμάχους, οὐκ ἐβούλετο τοῦ-
τον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὑτοῦ συμμάχων· οὐ
γὰρ αὐτῷ συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν ὑμετέρων
[2]ἔμελλον, ἀλλ' ἕξειν πρόφασιν τοὺς ὅρκους· οὔτε μάρτυρας
γενέσθαι τῶν ὑποσχέσεων, ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην·
οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρα ἡ πόλις ἡ τῶν
Ἀθηναίων ἥττητο τῷ πολέμῳ, ἀλλὰ Φίλιππός ἐστιν ὁ τῆς
εἰρήνης ἐπιθυμῶν, καὶ ὁ πολλὰ ὑπισχνούμενος τοῖς Ἀθη-
ναίοις, ὥς τε τυχεῖν τῆς εἰρήνης. ἵνα δὴ μὴ γένηται ταῦθ',
ἃ λέγω, φανερά, διὰ ταῦτα ᾤετο δεῖν [3]αὐτοὺς μηδαμόσε
βαδίζειν· οὗτοι δ' ἐχαρίζοντο πάντα, ἐνδεικνύμενοι καὶ

[1] ἀλέων [2] ἤμελλον [3] τούτους

Τήν τε γὰρ εἰρήνην οὐχὶ δυνηθέντων] S. τῶν πρέσβεων. Ὑποθετικῶς ea, quæ sequuntur, accipienda sunt, εἰ μὴ ἠδυνήθησαν etc. Quæ cum e conversione mea plana et perspicua esse confidam, nihil est, quod actum agam. Wolf. Apage Hypotheticam istam et odiosam Wolfii obscuritatem. Quanto præstantius ille, qui Italice vertit? *Percioche non possendo egli, come costoro haveano innanzi tentato—scriver la pace, ma essendo stato forzato da noi Filocrate, che cancellasse questo—non voleva che alcuno de' suoi confederati facesse questo giuramento.* [Post] εἰρήνην additur in MStorum nonnullis, καὶ τὴν συμμαχίαν. Taylor.

Οὐχὶ δυνηθέντων] Nempe τούτων, istis, scilicet Philocrate et ejus consortibus. Auger.

Ἀθηναίους] Rectius credo, quod Lambinus submonuit, adstipulantibus etiam Codd. Harl. et Reg. a. Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις. Taylor.

Ὤετο δεῖν αὐτοὺς] Uter? Philippus, an Æschines? Wolf. Philippus procul dubio. Taylor.

Μηδαμόσε βαδίζειν] *Che essi in ulun luogo andassero*, ut recte Ferrus. *A loco, in quo erant, nusquam pedes dimovere.* Quod omne pessundat lectio Cod. Reg. a. οὐδαμῶς ᾤετο δεῖν τούτους (ita enim etiam nonnulli) βαδίζειν. Sed in illo exemplari non sincere exaratur. Voluit certe Scriba id, quod reperitur in Lindenb. et Harl. διὰ ταῦτα οὐδαμόσε ᾤετο δεῖν τούτους βαδίζειν. Quod vulgatam lectionem tuetur, et eodem recidit. Taylor.

Οὗτοι δ' ἐχαρίζοντο πάντα ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον] Id est, *operam suam illi venditantes, et in adulationem effusi, sese illi commendare atque insinuare cupientes, et veluti lenocinantes omnibus obsequiis.* Quibus verbis aut similibus respondens Æschin. ἐν τῷ κατὰ Κτησιφ. ita inquit, λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν, *sed operam Alexandro venditans propter odium, quo ipse Demosthenem prosequitur.* Ergo ἐνδείκνυσθαι Græci dicunt, quod *venditare se alicui* Latini, hoc est, per assentationem operam suam ultro spondere, quasique venalem ostentare. Cicero ad Atticum, "Quomodo autem se venditant Cæsari?" Ex edit. Hervag.

ὑπερκολακεύοντες ἐκεῖνον. καί τοι ταῦθ᾽ ὅταν ἐξελέγχωνται πάντα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν Θρᾴκῃ προέμενοι, μηδὲν ὧν ἐψηφίσασθε πεποιηκότες, μηδ᾽ ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ᾽ ἀπηγγελκότες, πῶς ἔνεστι παρ᾽ εὖ φρονοῦσι δικασταῖς, καὶ βουλομένοις εὐορκεῖν, τούτοις σώζεσθαι; ἀλλὰ μὴν, ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὀρκοῦν προσῆκεν ἡμῖν· εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου· εἶτα τὸ Φιλοκράτους ψήφισμα· εἶτα τὸ τοῦ δήμου.

ΨΗΦΙΣΜΑ. ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ. 392

Καὶ μὴν, ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβομεν ἂν, εἴ τις ἐπείθετό μοι, καὶ τὰ προστεταγμένα ὑφ᾽ ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος.

ΜΑΡΤΥΡΙΑ.

μή. Ὅτι τοίνυν οὐδ᾽ ἄρνησίς ἐστιν αὐτοῖς, [1] τοῦ μὴ ταῦθ᾽ ὑπὲρ Φιλίππου [2] πράττειν, ἀκούσατέ μου. ὅτε γὰρ τὴν προτέραν ἀπήραμεν πρεσβείαν, τὴν περὶ τῆς εἰρήνης, κήρυκα ὑμεῖς προαπεστείλατε, ὅς τις [3] ὑμῖν σπείσεται. τότε μὲν τοίνυν ὡς τάχιστα εἰς Ὠρεὸν ἦλθον, οὐκ ἀνέμειναν τὸν κήρυκα, οὐδὲ ἐποίησαν χρόνον οὐδένα, Ἅλου δὲ πολιορκου-

[1] τὸ [2] πράττειν, τοῦτο ἀκούσατέ [3] ἡμῖν

Ὅταν ἐξελέγχωνται πάντα] S. οἱ πρέσβεις. Wolf.

μή. Ἀπήραμεν] Ἀπηράμην Lind. ἀπηρόμην Ask. et similiter Cod. Obsopœi, cui visum est addere hæc verba, *haud dubie emendatius.* Sed non teneo emendationem. Loquitur de toto grege Legatorum, *Nos omnes.* Et recte igitur modo v. 22. doctissimus Jurinus restituit ἡμῖν. ὅστις ἡμῖν, nobis legatis, σπείσεται. Jam autem unde, aut quo artificio, delapsus est Noster a prima persona, ἀπήραμεν, ad tertiam in istis vocibus ἦλθον, ἀνέμειναν, ἐποίησαν, etc. utile erit consulere, quæ habet ad locum σχ. noster Ulpianus. Taylor.

Ὅς τις ἡμῖν σπείσεται] Non ὑμῖν, qui *nobis inducias pacisceretur.* Auger.

Ἐποίησαν τὸν χρόνον] Ita dedit Benenatus. Forte restituendum ἐποιήσαντο χρόνον. Quod in margine exaratum est, γρ. ἀνήλωσαν, ἤγουν ἔτριψαν, utrumque pro Glossa habeo, uti habebat etiam Wolfius. Taylor.

μένου, διέπλευσαν [1]ὡς τοῦτον, καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα, τὸν πολιορκοῦντα, ἐξελθόντες, ἀπῇραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασάς, καὶ προϊόντες, ἀπήντων ἐν Λαρίσσῃ τῷ κήρυκι· τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ τότ' ἐχώρουν· ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν, ἅπασα δὲ ἀσφάλεια ἰέναι, καὶ πρόσταγμα παρ' ὑμῶν σπεύδειν, τηνικαῦτα οὔτ' ἐπείγεσθαι βαδίζουσιν, οὔτε πλεῖν αὐτοῖς ἐπῄει. τί δήποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου· νῦν δέ, τὸ ὡς πλεῖστον
393 τὸν μεταξὺ χρόνον διατριβῆναι, πρὸ τοῦ τοὺς ὅρκους ἀπολαβεῖν. ἀλλὰ μὴν, ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, λάβε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ Φιλίππου πράττοντες ἐξελεγχθεῖεν, ἢ τὴν αὐτὴν ὁδὸν, ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει, καθήμενοι, ὅτε δ' [2]οὐ βαδίζειν προσῆκε, πρὶν ἐλθεῖν τὸν κήρυκα, ἐπειγόμενοι;

μθ'. Ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ, καὶ καθήμεθα ἐν Πέλλῃ, σκέψασθε τί πράττειν ἕκαστος ἡμῶν προείλετο. ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν, καὶ ζητεῖν, καὶ παρ' ἐμαυτοῦ χρήματ' ἀναλίσκειν, καὶ Φίλιππον

[1] εἰς   [2] οὐδὲ

Παγασὰς] Πηγασὰς Reg. Cod. ε. Forte πηγὰς appellative, notavit alicubi Wolfius. Qua mente et consilio, sane nescio. Taylor.

Ἐπῄει] Ab ἔπειμι, ἀντὶ τοῦ, ἐπῆλθε, ἢ, εἰς νοῦν ἦλθε. Wolf.

Ἢ τὴν αὐτὴν] Restitue, ἢ οἱ τὴν αὐτὴν ὁδὸν κ. τ. λ. Editt. Felician. et Manut. cum MSS. Harl. et Obsop. Taylor.

Οὐ] Quære, annon utilius esset οὐδὲ βαδίζειν Codicum, Aug. Ven. Ital. et Regg. α. ζ. Idem.

Πρὶν ἐλθεῖν τὸν κήρυκα] Wolfius, *ante caduceatoris reditum*. Potius, *ante caduceatoris adventum*. Nempe Athenis missus erat Caduceator, necdum legatos assecutus fuerat. Jurin. Recte. Ita Italus: *prima che fosse* venuto *il trombetta*. Tayl.

μθ'. Καθήμεθα] Hic locus, credo, designatur a Polluce III. 13. [p. 389.] cum ait, apud Demosthenem reperiri καθήμεθα pro ἐκαθήμεθα. Idem.

Καὶ Φίλιππον ἀξιοῦν ὧν ἡμῖν ἐδίδου ξενίων τούτους λύσασθαι] Xenia Demosthenes appellat dona quæ a Philippo rege legatis Atheniensium donabantur. Lautia ea a Romanis vocabantur. Volens autem Philippus legatos Atheniensium corrumpere donis, xenia splendidissima eis mittebat. quod Demosthenes unus ipse legatorum cavere volens, orare cœpit Philippum, ut iis xeniis captivos Atheniensium redemptos legatis dono mitteret, unde καὶ Φίλιππον, inquit, ἀξιοῦν ὧν ἐδίδου ξενίων τούτους λύσασθαι. Propterea falsæ, perversæque legationis Æschinem collegatum insimulans, xeniorum eum obtentu corruptum esse a Philippo donis ingentibus dicit. ξένια δ' ἦν ἡ πρόφασις. *Xeniorum*, inquit, *prætextus a Philippo quæsitus est*. Hoc est autem, ut arbitror, quod Ulpianus significare his verbis voluit, Sed nec xenia

ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων, τούτους λύσασθαι· [1] αὐτὸς δὲ, αὐτίκα ἀκούσεσθε, τί ποιῶν διετέλεσε. τί οὖν ἦν τοῦτο; τὸ κοινῇ τὸν Φίλιππον χρήμαθ' ἡμῖν διδόναι. ἵνα γὰρ μηδὲ τοῦτο ἀγνοῆτε, ἐκεῖνος ἡμᾶς διεκωδώνισεν [2] ἅπαντας, ἑκάστῳ τινὰ τρόπον προσπέμπων ἰδίᾳ, καὶ πολύ γε, ὦ ἄνδρες Ἀθηναῖοι, διδοὺς χρυσίον. ὡς δ' ἀπετύγχανεν ὁτουδήποτε,—οὐ γὰρ ἐμέ γε εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα καὶ τὰ πεπραγμένα αὐτὰ δηλώσει —, τὰ κοινῇ δοθέντα ἅπαντας ἡγεῖτο [3] εὐθέως εὐήθως λήψεσθαι. ἀσφάλειαν οὖν ἔσεσθαι τοῖς ἰδίᾳ πεπρακόσιν ἑαυτοὺς, εἰ καὶ κατὰ μικρὸν τοῦ κοινῇ λαβεῖν πάντες μετάσχοιμεν. διὰ ταῦτ' ἐδίδοτο· ξένια δ' ἦν [4] ἡ πρόφασις. ἐπειδὴ δ' ἐκώλυσα ἐγὼ, πάλιν προσδιενείμαντο οὗτοι. τῷ Φιλίππῳ δ', ἐπειδὴ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠξίουν αὐτὸν ἀναλίσκειν ἐγὼ, οὔτε κατ-

[1] οὗτος [2] ἅπαντάς τινα τρόπον, ἑκάστῳ πρ. [3] Deest εὐθέως. [4] [ἡ]

producenda sunt ad munerum qualitatem, hoc est, munusculorum prætextu quæsito non sunt aucupanda munera, quæ sumptu onerare provinciales possint. Vide Annotat. in Pandect. ubi plura etiam de xeniis et lautiis, &c. *Ex edit.* Hervag.

Αὐτὸς δὲ] Requirit Sensus, ut legatur οὗτος δέ. Quod etiam reperitur in Benenati margine. Jurin. Recte. Et conservant plurimi. Taylor.

Αὐτίκα] Hic rursus, ut supra notavimus, non est *statim*, sed *postea*. Auger.

Διεκωδώνισεν] Vide Harpocrationem. Codd. non moror, qui vocem hanc jactitant, διεκωδώνησεν, διεκωδώνιζεν. Scitius est, et felicius, quod locum desperatiorem nonnulli ex iis ita complanent, sc. ἐκεῖνος ἡμᾶς διεκωδώνισεν ἅπαντας. τίνα τρόπον; ἑκάστῳ προσπέμπων ἰδίᾳ κ. τ. λ. Ita enim Cod. Lindenb. Cui accedit etiam Cant. Ita etiam voces constituunt Ven. et Harl. verum sine Interrogativa. Tayl.

Διεκωδώνισεν] Διακωδωνίζειν proprie sumitur ab equis quos tintinnabulorum strepitu explorari mos erat, sive ab iis qui nolarum tinnitu excubias explorabant. Auger.

Εὐθέως] Ferri potest. Sed speciem habet Variæ Lectionis τοῦ εὐήθως. Quod male redditur *temere*. Significat *simpliciter, faciliter, sine scrupulo*. Markland. Recte in σχ. εὐήθως. ἀπλούστερον. Scholiolon illud, quod in Augustano exstat, minus intelligo. Εὐήθως. οὐ λέγει μωρῶς, ἀλλὰ κακούργως. Porro, istud εὐθέως in Edit. Parisiensi non exstat: neque in Harleiano Codice. Taylor. In codice Aug. non est ἀλλὰ κακούργως, sed, ut debet, ἀλλ' ἀκακούργως. Interim sententiam scholii non probo. Significat utique hic loci μωρῶς. *Philippus pro ea, qua erat, stultitia existimabat.* Reisk.

Τοῦ κοινῇ λ. π. μετάσχοιμεν] Huc, ut arbitror, respexit Priscianus, col. 1142. cum ex Demosthene citat τῶν ξενίων εἰ μετάσχοιεν. Taylor.

Τῷ Φιλίππῳ δ' ἐπειδὴ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠξίουν, &c.] *Postquam autem ego suadere cœpi Philippo, ut ea quæ sub xeniorum nomine ipse in istos largiebatur, in redimendis captivis consumeret, nec contra ille quippiam honeste dicere poterat, nec vero illud causari et respondere, At hic et ille jam habent, nec ullo jam pacto vitare eam impensam, tum demum spopondit ille quidem, sed rem in Panathenæa rejecit, quo tempore se missurum ait.* ὁ δεῖνα καὶ ὁ δεῖνα pro *hic et ille* dixit. Sic πρὸς Λεπτίνην. τῷ δεῖνι μεμφόμενος, καὶ τὸν δεῖνα ἀνάξιον εἶναι φάσκων. *Ex edit.* Hervag.

Οὔτε κατειπεῖν] Periodi duo sunt membra, οὔτε κατειπεῖν—οὔτε φυγεῖν τὸ ἀνάλωμα. Quod interpositum est, οὐδ' εἰπεῖν — καὶ ὁ δεῖνα, Tu priori substitues, quasi interpretamentum: ut recte in versione distinxit Wolfius: Neque *opportunum illi fuit istos prodere*, (aut *dicere, illum vel illum accepisse*) neque *impensam fugere*. Verum quid erat dicturus Philippus, si dixisset? Sequitur, ὅτι ἀλλ' etc. Ubi ὅτι perinde est, ac scilicet: Formula Græca, ubi Persona mutatur, et Alius loqui in-

εἰπεῖν τούτων εἶχε καλῶς, οὐδ' εἰπεῖν, ὅτι ἀλλ' ἔχουσιν ὁ
394 δεῖνα καὶ ὁ δεῖνα, οὔτε φυγεῖν τὸ ἀνάλωμα. ὡμολόγησε μὲν δὴ, διεκρούσατο δὲ, εἰς τὰ Παναθήναια φήσας ἀποπέμψειν. λέγε δὴ τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων τῶν [1] παρόντων.

ΜΑΡΤΥΡΙΑ.

ν'. Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων, εἴπω πρὸς ὑμᾶς. ἐν ὅσῳ γὰρ, οὐχὶ παρόντος πω τοῦ Φιλίππου, διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἑαλωκότων, ὅσοι περ ἦσαν ἐξηγγυημένοι, ἀπιστοῦντες, ὡς ἐμοὶ δοκεῖ, μὴ δυνήσεσθαι μετὰ ταῦτα πεῖσαι τὸν Φίλιππον, ἑαυτοὺς ἔφασαν βούλεσθαι λύσασθαι, καὶ μηδεμίαν τούτου Φιλίππῳ [2] χάριν ἔχειν· καὶ ἐδανείζοντο, ὁ μὲν, τρεῖς μνᾶς, ὁ δὲ, πέντε, ὁ δὲ, ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα. ἐπειδὴ τοίνυν ὡμολόγησεν ὁ Φίλιππος τοὺς λοιποὺς λύσασθαι, συγκαλέσας ἐγὼ τούτους, οἷς αὐτὸς ἔχρησα [3] τὰ ἀργύρια, καὶ τὰ πεπραγμένα ὑπομνήσας, ἵνα μὴ δοκοῖεν ἔλαττον ἔχειν ἐπειχθέντες, μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου προσδοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρεὰν τὰ λύτρα. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε καὶ ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

να'. Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα, καὶ δωρεὰν ἔδωκα τοῖς ἀτυχήσασι των πολιτῶν, ταῦτ' ἐστιν. ὅταν δὲ οὗτος λέγῃ αὐτίκα δὴ πρὸς ὑμᾶς, τί δή ποτε, ὡς φής, ὦ Δημό-

[1] παρόντων. λέγε. [2] χάριν ἔχειν Φιλίππῳ [3] τἀργύριον

telligitur. Deinde, ἀλλὰ est quasi Negantis. Immo *jam consumta sunt: In hunc et illum contuli.* Vid. §. ος'. *ad fin.* ἀλλ' ὅλης κ. τ. λ. Ita in minutis istis particulis volui et industrius videri et utilis esse. Taylor.

Κατειπεῖν τούτων] Intelligo, non, *dicere contra legatos*, sed, *dicere contra ea quæ dixeram.* Auger.

Ὡμολόγησε κ. τ. λ.] Priorem horum partem omisit Wolfius in versione. Rescribendum, *assensus est igitur, sed elusit.* Jurin.

ΜΑΡΤΥΡΙΑ] ΜΑΡΤΥΡΙΑΙ. Markl.

ν'. Ὅσοιπερ ἦσαν ἐξηγγυημένοι] *Qui sponsores dederant.* Wolf.

Λύσασθαι] Λύσεσθαι. Markland. Ita Harleianus noster. Taylor.

Οἷς αὐτὸς ἔχρησα τὸ ἀργύριον] Lego, παρὰ τὸ χράω, τὸ χρήματα δίδωμι, ἄνευ τόκου ἀπολη‑ψόμενος. Nam τὸ δανείζειν usuram complectitur. Wolf. Illud propter fæces Aldinas aliorumque, ubi ἐχρήσατο ἀργύριον sive ἀργύρια. Taylor.

σθενες, ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει, γνοὺς οὐδὲν ἡμᾶς
[1]ὑγιὲς πράττοντας, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ
τοὺς ὅρκους συνεπρέσβευσας πάλιν, καὶ οὐκ ἐξωμόσω; 395
ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμολογήκειν ἥξειν, οὓς ἐλυ-
σάμην, καὶ κομιεῖν τὰ λύτρα, καὶ σώσειν εἰς δύναμιν.
δεινὸν οὖν ἦν ψεύσασθαι, καὶ προέσθαι δυστυχοῦντας ἀν-
θρώπους πολίτας· ἰδίᾳ δ᾽ ἐξομοσάμενον οὐ πάνυ καλὸν οὐδ᾽
ἀσφαλὲς ἦν ἐκεῖσε πλανᾶσθαι. ἐπεὶ εἰ μὴ διὰ τὸ τούτους
βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ καὶ
προσλαβών γ᾽ ἂν ἀργύριον πάνυ πολὺ, μετὰ τούτων ἐπρέ-
σβευσα. σημεῖον δέ. ἐπὶ γὰρ τὴν τρίτην πρεσβείαν δίς με
χειροτονησάντων ὑμῶν, δὶς ἐξωμοσάμην, καὶ παρὰ ταύτην
ἀποδημίαν πάντα τἀναντία ἔπραττον τούτοις. ὧν μὲν τοί-
νυν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον ἔσχε
τὸν τρόπον ὑμῖν· ἃ δ᾽ οὗτοι πλείους ὄντες ἐνίκων, ἅπαντ᾽
ἀπόλωλε. καί τοι καὶ τἄλλα ἂν [2]πάντα, ἀκολούθως τού-
τοις ἐπέπρακτο, εἴ τις ἐπείθετό μοι. οὐ γὰρ ἔγωγε οὕτως
ἄθλιος, οὐδ᾽ ἄφρων ἦν, ὥστε χρήματα μὲν διδόναι, λαμβά-
νοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς πρὸς ὑμᾶς φιλοτιμίας· ἃ δ᾽
ἄνευ μὲν δαπάνης οἷά τε ἦν πραχθῆναι, πολλῷ δὲ μεί-
ζονας εἶχεν [3]ὠφελείας πάσῃ τῇ πόλει, ταῦτ᾽ οὐκ [4]ἐβου-
λόμην γίγνεσθαι. καὶ σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλ᾽,
οἶμαι, περιῆσαν οὗτοί μου.

νβ΄. Φέρε δὴ, τί τούτῳ πέπρακται παρὰ ταῦτα, καὶ τί
τῷ Φιλοκράτει, θεάσασθε· παράλληλα γὰρ ἔσται φανε-

[1] Deest ὑγιές. [2] πάντα ἀκολούθως ἂν [3] ὠφελείας εἶχε [4] ἠβουλόμην

να΄. Δεινὸν οὖν ἦν] Sor. δεινὸν οὖν ἂν ἦν, *fuisset*. Markland.

Ἰδίᾳ] Sic ordina: πλανᾶσθαι ἐκεῖσε ἰδίᾳ ἐξομοσάμενον (S. τὴν πρεσβείαν) οὐ πάνυ καλὸν, οὐδ᾽ ἀσφαλὲς ἦν. Et post [v. 18.] ὥστε χρήματα διδόναι ὑπὲρ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὁρῶν ἑτέρους λαμβάνοντας. Et [v. 3. p. seq.] ἐπεχείρησαν, ab ἐπιχειρέω. Wolf.

Οὐ πάνυ] Satius cum Aug. Cod. ἰδίᾳ δ᾽ ἐξομοσάμενον οὔτ᾽ αὖ καλὸν, οὐδ᾽ ἀσφαλὲς κ. τ. λ. Taylor.

Παρὰ ταύτην κ. τ. λ.] Lege cum Aug. et Harl. παρ᾽ αὐτὴν τὴν ἀποδημίαν. Illud τὴν etiam in Ald. Benenat. et Lind. Idem.

Περιῆσαν οὗτοί μου] F. περιῆσαν ἄν. Loquitur ex opinione sua. Frustra, inquit, opinor, suscepissem hanc tertiam legationem: nam isti, utpote plures, περιῆσαν ἄν μου, *superiores me fuissent*. Markland.

Ἀλλ᾽ οἶμαί περιῆσαν οὗτοί μου] *At credo isti præstantiores se, quam ipse me præbui. at isti credo in ea re me superaverunt.* Ita enim et Latinis *Credo* alicubi ironicum est, sicut Græcis οἶμαι. Cicero de natura Deorum, de latronibus et sacrilegis loquens, "Credo aut hos mortis timor terret, aut hos religionis." *Ex edit.* Hervag.

νβ΄. Παράλληλα] Ἀντιτιθέμενα ἀλλήλοις, καὶ συγκρινόμενα. Schol. Cod. Augustani.

ρώτερα. πρῶτον μὲν τοίνυν Φωκεῖς ἐκσπόνδους καὶ [1]Ἄλεις
ἀπέφηναν, καὶ Κερσοβλέπτην, [2]καὶ παρὰ τὸ ψήφισμα,
καὶ τὰ πρὸς ὑμᾶς εἰρημένα· εἶτα τὸ ψήφισμα ἐπεχείρησαν
κινεῖν, καὶ μεταίρειν, ἐφ᾽ ᾧ πρεσβεύοντες ἥκομεν· εἶτα Καρ-
396 διανοὺς Φιλίππῳ συμμάχους [3]ἀνέγραψαν, καὶ τὴν μὲν γρα-
φεῖσαν ἐπιστολὴν ὑπ᾽ ἐμοῦ πρὸς ὑμᾶς ἀπεψηφίσαντο μὴ
πέμπειν, αὐτοὶ δ᾽ οὐδοτιοῦν ὑγιὲς γράψαντες, [4]ἀπέπεμψαν·
εἶθ᾽ ὁ γενναῖος οὑτοσὶ, ἐμὲ μὲν τὸν δῆμον ἔφη τὸν ὑμέτερον
καταλύσειν ἐπηγγέλθαι Φιλίππῳ, ὅτι ταῦτ᾽ ἐπέπληττον,
οὐ μόνον αἰσχρὰ νομίζων, ἀλλὰ καὶ δεδιὼς, μὴ συμπαρα-
πόλωμαι διὰ τούτους, αὐτὸς δὲ ἰδίᾳ πάντα τὸν χρόνον ἐν-
τυγχάνων οὐδοτιοῦν ἐπαύσατο Φιλίππῳ. καὶ τὰ μὲν ἄλλα
σιωπῶ, Δέρκυλλος δ᾽ αὐτὸν ἐν Φεραῖς τὴν νύκτα ἐφύ-
λαττεν, οὐκ ἐγὼ, τὸν παῖδα ἔχων τὸν ἐμὸν τουτονὶ, καὶ
λαβὼν ἐξιόντα ἐκ τῆς Φιλίππου σκηνῆς, ἐμοὶ τὸν παῖδα
ἐκέλευσεν [5]ἐπαγγέλλειν, καὶ αὐτὸν μεμνῆσθαι. καὶ τὸ
τελευταῖον ὁ βδελυρὸς [6]οὗτος καὶ ἀναιδὴς, νύκτα καὶ
ἡμέραν, ἀπιόντων ἡμῶν, ἀπελείφθη παρὰ Φιλίππῳ. καὶ
ταῦτα ὅτι ἀληθῆ λέγω, πρῶτον μὲν αὐτὸς ἐγὼ συγγραψά-
μενος, καὶ καταστήσας ἐμαυτὸν ὑπεύθυνον, μαρτυρήσω·
εἶτα τῶν ἄλλων πρέσβεων ἕκαστον καλῶ, καὶ δυοῖν θάτε-
ρον, ἢ μαρτυρεῖν, ἢ ἐξόμνυσθαι ἀναγκάσω. ἐὰν δ᾽ ἐξομνύω-
σιν, ἐπιορκοῦντας ἐξελέγξω παρ᾽ ὑμῖν φανερῶς.

[1] ἀλεῖς [2] Deest καί. [3] ἐνέγραψαν [4] ἔπεμψαν
[5] ἀπαγγέλλειν [6] οὑτοσὶ

Taylor.

Ἄλεις] Ἀλεῖς. Circumflecti debuit, ut pariter fieret cum §. ιγ΄. *post med.* Ubi de accentu isto dixi. Idem.

Ἀπέπεμψαν] Vid. Var. Lect.

Διὰ τούτους] Μετὰ τούτων. Ita Lambinus sua sola auctoritate, id est, nulla; legere voluit. Taylor.

Ἐπαγγέλλειν] Legendum ἀπαγγέλλειν. Ita Ald. Manut. Bodl. Felic. Harl. Aug. etc. Vide supra ad Arg. post. *in fin.* Idem.

Ἀπελείφθη παρὰ Φιλίππῳ] Lege. Wolf. Περὶ enim nonnulli admodum insincere. Taylor.

Συγγραψάμενος] Hæc intelligenda sunt de testimonio, quod Actor ipse, magno suo periculo, perhibet in sua causa. Ὁ κατὰ συγγραφὴν μαρτυρῶν, inquit Ulpianus ad locum, ἑαυτὸν ὑπεύθυνον κατηγορίᾳ καθίστησιν. Et rursus: ὁ μαρτυρίαν συγγραψάμενος ἐδίδου ἑαυτὸν ὑπεύθυνον τῷ καταμαρτυρηθέντι. Bene est, et addit: ἐπεὶ ἄτοπον ἦν τὸν αὐτὸν κατηγορεῖν καὶ μαρτυρεῖν, ἔδωκεν ὑμῖν μεθόδους, προσθεὶς, καὶ εἰπὼν, καὶ συγγραψάμενος. Ejusmodi Testimonium videtur in *scripta* referri, et obsignari (ideoque fieri dicitur κατὰ συγγραφὴν) ut adversarius, quandocunque vellet, litem falsi testimonii intendere posset adversario: et idcirco bene addit Scholiastes noster—ὑπεύθυνον καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον. Singularis hæc Jurisprudentiæ Atticæ Formula non adeo silenti pede præteriri debuit ab iis, qui Jurisprudentiam Atticam illustrare volue-

ΜΑΡΤΥΡΙΑ.

νγ΄. Οἵοις μὲν τοίνυν κακοῖς καὶ πράγμασι κατὰ τὴν ἀποδημίαν ἅπασαν [1]συνεσχόμην, ἑωράκατε. τί γὰρ αὐτοὺς οἴεσθε ἐκεῖ [2]ποιεῖν, ἐγγὺς [3]ὄντας τοῦ διδόντος, ὅθ' ὑμῶν ὁρώντων τῶν καὶ τιμῆσαι κυρίων ὄντων καὶ τοὐναντίον κολάσαι, τοιαῦτα ποιοῦσι; συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα ἀπαρχῆς, ἵνα ὅσα ὑμῖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου, δείξω πεποιηκώς. ἐπέδειξα οὐδὲν ἀληθὲς ἀπηγγελκότα, ἀλλὰ φενακίσαντα ὑμᾶς, μάρτυσι τοῖς γε- 397
γενημένοις αὐτοῖς· οὐ λόγοις χρώμενος· ἐπέδειξα αἴτιον γεγενημένον τοῦ μὴ θέλειν ὑμᾶς ἀκούειν ἐμοῦ τἀληθῆ, ταῖς ὑποσχέσεσι, καὶ τοῖς ἐπαγγέλμασι τοῖς τούτου [4]καταληφθέντας τότε, πάντα τἀναντία συμβουλεύσαντα, ἢ ἔδει, καὶ τῇ μὲν τῶν συμμάχων ἀντειπόντα εἰρήνῃ, τῇ δὲ Φιλοκράτους συναγορεύσαντα· τοὺς χρόνους κατατρίψαντα, ἵνα μηδ' εἰ βούλησθε, δύναισθε ἐξελθεῖν εἰς Φωκέας· καὶ ἄλλα ἐπὶ τῆς ἀποδημίας πολλὰ καὶ δεινὰ εἰργασμένον· προδεδωκότα [5]πάντα· πεπρακότα· δῶρα ἔχοντα· οὐδὲν ἐλλελοιπότα μοχθηρίας. οὐκοῦν ταῦτα ὑπεσχόμην ἐν ἀρχῇ, [6]ταῦτα ἐπέδειξα.

νδ΄. Ὁρᾶτε τοίνυν τὰ μετὰ ταῦτα· ἁπλοῦς γάρ ἐστιν ὁ μέλλων λόγος οὑτοσὶ πρὸς ὑμᾶς ἤδη. ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τοῦ δήμου, καὶ τῆς βουλῆς τῶν πεντακοσίων· φαίνεται δ' οὗτος πάντα τἀναντία τοῖς νόμοις, τοῖς ψηφίσμασι, τοῖς δικαίοις, πεπρεσβευκώς. οὐκοῦν ἑαλωκέναι προσήκει, παρά γε νοῦν ἔχουσι δικασταῖς. εἰ γὰρ ἄλλο μηδὲν ἠδίκει, δύο τῶν πεπραγμένων ἔσθ' [7]ἱκανὰ αὐτὸν ἀποκτεῖναι. οὐ γὰρ μόνον Φωκέας, ἀλλὰ καὶ Θρᾴκην προδέδωκε Φιλίππῳ. καί τοι δύο χρησιμωτέρους τόπους τῆς οἰκουμένης οὐδ' ἂν εἷς ἐπι-

[1] συνειχόμην [2] ποιεῖν ἐκεῖ [3] ὄντος [4] προκαταληφθέντας [5] πάντα καὶ πεπρακότα, [6] ταῦτα *καὶ ἐπέδειξα [7] ἱκανά ἐστιν

runt. Idem.

νγ΄. Οἵοις] Apparet, legatos aspere Demostheni respondisse. Wolf.

Τοιαῦτα ποιοῦσι] Wolfius, *ista designent*: Potius, *ita faciant*. Jurin.

Ἵνα — δείξω πεποιηκὼς] Elegans Græcismus, φαίνομαι πεποιηκὼς, etsi δείξω ἐμαυτὸν πεποιηκότα crebrius est. Latine dicendum esset, ἐμαυτὸν πεποιηκέναι. Multa enim Græcorum verba feruntur in Nominativum, aut Accusativum Participii, ubi Latini Accusativum cum Infinitivo ponunt. Wolf.

Καταληφθέντας] Vid. Var. Lect.

δεῖξαι τῇ πόλει, κατὰ μὲν γῆν, Πυλῶν, ἐκ θαλάττης δὲ, τοῦ Ἑλλησπόντου· ἃ συναμφότερα οὗτοι πεπράκασιν αἰσχρῶς, καὶ καθ᾽ ὑμῶν ἐγκεχειρίκασι Φιλίππῳ. τοῦτο τοίνυν αὐτὸ ἄνευ τῶν ἄλλων, ἡλίκον ἐστὶν ἀδίκημα, τὸ Θρᾴκην καὶ τὰ τείχη προέσθαι; [1] μυρία δ᾽ ἂν εἴη λέγειν, καὶ ὅσοι
398 διὰ ταῦτα ἀπολώλασι παρ᾽ ὑμῖν, οἱ [2] δὲ, ὅτι χρήματα πάμπολλα ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι· Ἐργόφιλος, Κηφισόδοτος, Τιμόμαχος, [3] τὸ παλαιόν ποτε, Ἐργοκλῆς, Διονύσιος, ἄλλοι, οὓς ὀλίγου δέω σύμπαντας εἰπεῖν, ἐλάττω τὴν πόλιν βεβλαφέναι τούτου. ἀλλ᾽ ἔτι γὰρ τότε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκ λογισμοῦ τὰ δεινὰ ἐφυλάττεσθε ὑμεῖς, καὶ προεωρᾶσθε· νῦν δ᾽ ὅ, τι ἂν μὴ καθ᾽ ἡμέραν ὑμᾶς ἐνοχλῇ, καὶ παρὸν λυπῇ, παροράτε. εἶτα τηνάλλως ἐνταῦθα ψηφίζεσθε, ἀποδοῦναι [4] μὲν καὶ Κερσοβλέπτῃ τὸν Φίλιππον τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτυόσιν, ἐπανορθώσασθαι δὲ τὴν εἰρήνην. καί τοι τούτων οὐδενὸς ἂν τῶν ψηφισμάτων ἔδει, εἰ πλεῖν οὗτος ἤθελε, καὶ τὰ προσήκοντα ποιεῖν· νῦν δ᾽ ἃ μὲν ἦν πλεύσασι σῶσαι, βαδίζειν κελεύων, ἀπολώλεκεν, ἃ δ᾽ εἰποῦσι τἀληθῆ, ψευδόμενος.

νε΄. Ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς ἐγὼ πυνθάνομαι, εἰ μόνος τῶν ἐν τῷ δήμῳ λεγόντων, λόγων εὐθύνας ὑφέξει. ἐγὼ δ᾽, ὅτι μὲν πάντες ἂν [5] εἰκότως ὧν λέγουσι δίκην ὑπέχοιεν, εἴπερ ἐπ᾽ ἀργυρίῳ τί λέγοιεν, παραλείψω·

[1] *μυρία ἂν [2] δὲ χρήματα [3] τοπαλαιόν [4] μὲν] δὲ [5] εἰκότως ἂν

νδ΄. Μυρία] Non bene conveniunt, μυρία ἂν εἴη λέγειν—ὅσοι κ. τ. λ. Tum supervacanea sunt illa in fine periodi, οὐ χαλεπὸν δεῖξαι. Neque interea bene opponuntur, καὶ ὅσοι — οἱ δὲ — ubi Cod. Lind. ὡς δὲ χρήματα — Quod Harl. habet, pro nihilo est, εἰ δὲ χρήματα κ. τ. λ. Locus certe præfractus et mendosus. Taylor.

Μυρία—καὶ ὅσοι] Est constructio inusitata, sed intelligitur quid velit orator. Auger.

Ἐργοκλῆς] Vid. Cl. Valesium ad Harpocr. in hac voce. Taylor.

Εἶτα τηνάλλως ἐνταῦθα ψηφίζεσθε] Effectus negligentiæ et cessationis hic describitur. Wolf.

Ἀποδοῦναι μὲν] Vid. Var. Lect.

Βαδίζειν] *Ire pedibus.* Cæterum in hac phrasi ea repetere quæ subaudiuntur, non difficile est. Auger.

Κελεύων] Κωλύων nonnullis placere video; et meo exemplari, nescio a qua manu, adhæsit. Sed certe præter rem, ut præter membranas. Opponuntur voces πλεύσασιν et βαδίζειν. *Quæ potuissent conservari, si navibus essent profecti, ea omnia perdidit, dum effecit*, ut pedibus iter facerent. Nihil certius. Vide, quod ad historiam attinet hujus rei, §. μς΄. *ante med.* et demum §. μζ΄. *ad init.* Opponuntur sæpe hæ duæ locutiones. Ita §. μη΄. a med. τηνικαῦτα οὔτ᾽ ἐπείγεσθαι βαδίζουσιν, οὔτε πλεῖν αὐτοῖς ἐξεῖναι. Atque ita bis laudat hunc locum Hermogenes de Invent. Tom. IV. p. 180. 181. Taylor.

Ἀπολώλεκεν] Lege, ut Regii α. δ. ἀπολώλεκεν οὗτος. Æschines sc. Ita Hermogenes loco nuper laudato: νῦν δ᾽ ἃ μὲν πλεύσασιν ἦν σῶσαι, βαδίζειν κελεύων, ἀπολώλεκεν οὗτος· ἃ δ᾽ εἰποῦσι τἀληθῆ, ψευδόμενος. Idem.

ἀλλ' ἐκεῖνο λέγω. εἰ μὲν Αἰσχίνης ἰδιώτης ὢν ἀπελήρησέ τι καὶ διήμαρτε, μὴ σφόδρα ἀκριβολογήσησθε, ἀλλ' ἐάσατε, συγγνώμην ἔχετε· εἰ δὲ πρεσβευτὴς ὢν, ἐπὶ χρήμασιν ἐξεπίτηδες ἐξηπάτηκεν ὑμᾶς, μὴ ἀφῆτε, μὴ δ' ἀνάσχησθε, ὡς οὐ δεῖ δίκην ὧν εἶπεν ὑποσχεῖν. τίνος γὰρ ἄλλου δεῖ δίκην παρὰ πρέσβεων, ἢ λόγων λαμβάνειν; εἰσὶ γὰρ οἱ πρέσβεις, οὐ τριήρων, οὐδὲ τόπων, οὐδὲ ὁπλιτῶν, οὐδ' [1]ἀκροπόλεως κύριοι. οὐδεὶς γὰρ πρέσβεσι ταῦτα ἐγχειρίζει, ἀλλὰ λόγων καὶ χρόνων. τοὺς μὲν οὖν χρόνους, εἰ μὲν μὴ προανεῖλε τῆς πόλεως, οὐκ ἀδικεῖ, εἰ δ' ἀνεῖλεν, ἠδίκηκε· 399
τοὺς δὲ λόγους, εἰ μὲν ἀληθεῖς ἀπήγγελκεν, ἢ συμφέροντας, ἀποφευγέτω, εἰ δὲ καὶ ψευδεῖς, καὶ μισθοῦ, καὶ ἀσυμφόρους, ἁλισκέσθω. οὐδὲν γὰρ ἔσθ' ὅ, τι μεῖζον ἂν ὑμᾶς ἀδικήσειέ τις, ἢ ψευδῆ λέγων. οἷς γὰρ ἐστὶν ἐν λόγοις ἡ πολιτεία, πῶς, ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς ἐστὶ πολιτεύεσθαι; ἐὰν δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς συμφέρει, δωρά τις λαμβάνων λέγῃ, πῶς οὐχὶ καὶ [2]κινδυνεύσετε; οὐδέ γε τοὺς χρόνους ἴσον ἐστ' ἀδίκημα ὀλιγαρχίας, ἢ τυράννου παρελέσθαι, καὶ ὑμῶν· οὐδ' ὀλίγου γε δεῖ. ἐν ἐκείναις γὰρ, οἶμαι, ταῖς πολιτείαις, πάντα ἐξ ἐπιτάγματος ὀξέως γίνεται· ὑμῖν δὲ, πρῶτον μὲν περὶ πάντων, τὴν βουλὴν ἀκοῦσαι καὶ προβουλεῦσαι δεῖ καὶ τοῦθ', ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις προσγεγραμμένον, οὐκ ἀεί· εἶτ' ἐκκλησίαν ποιη-

[1] ἀκροπόλεων [2] κινδυνεύσεται

· τι'. Ἰδιώτης ὢν] Vertit Wolfius, ut *homo rerum imperitus*. At si animum advertisset, opposi inter se verba ἰδιώτης et πρεσβευτὴς, transtulisset, *privatus cum esset*, vel, *cum nullo publico munere fungeretur*. Jurin.

Ἀκριβολογήσησθε] Ἀκριβολογήσασθε Lambin. ἀκριβῶς λογίσησθε, vel λογίσασθε plurimi Codd. Quod rectius fortasse in Aug. et Ital. rationem habet Scholii et Interpretationis. Taylor.

Μηδ' ἀνάσχησθε, ὡς] F. addendum: μηδὲ ἀνάσχησθε λέγοντος, ὡς — Wolf. Legendum puto: μηδ' ἀνάσχησθε λέγοντος, ὡς οὐ δεῖ. Jurin. Ita Lambinus restituit quoque. Taylor.

Κύριοι] Distinguendum — οὐδ' ἀκροπόλεως κύριοι· οὐδεὶς γὰρ πρέσβεσι ταῦτα ἐγχειρίζει· ἀλλὰ λόγων καὶ χρόνων. Markland.

Μὴ ἀληθ.] Γρ. εἰ μὴ Marg. Altemps. Sed recte se habent vulgata. Ἂν, id est ἐὰν; ut solet dici. Taylor.

Πρὸς] Adverbialiter, *prœterea, insuper*. Auger.

Οὐδέ γε τοὺς χρόνους κ.τ.λ.] *Neque vero par est delictum in Oligarchia, aut regno, rerum gerendarum occasiones eximere, et in vestra civitate* quæ Democratia regitur. *neque prope hoc crimen ab illo abest, neque parum inter hoc et illud interest.* ubi negatio quidem vim suam servat, quæ in illo superiore ornatus tantum causa ponitur atque idiomatis. *Ex edit.* Hervag.

Ὑμῖν] Forte παρ' ὑμῖν δὲ — Wolf.

Ὅταν ᾖ — προσγεγραμμένον] S. τῷ νόμῳ, ut opinor. Videtur esse clausula de Senatu habendo de Caduceatoribus et Legatis. Idem.

Προσγεγραμμένον] F. Προγεγραμμένον, *præscriptum*. Markland. Lege τοῦθ', ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις προγεγραμμένον. Vid. Vales. ad Harpocrat. v. Κυ-

σαι, καὶ ταύτην, ὅταν ἐκ τῶν νόμων καθήκῃ· εἶτα κρατῆσαι, καὶ περιγενέσθαι δεῖ τοὺς τὰ βέλτιστα λέγοντας, τῶν ἢ δι' ἄγνοιαν, ἢ διὰ μοχθηρίαν ἀντιλεγόντων· ἐφ' ἅπασι δὲ τούτοις, ἐπειδὰν καὶ δεδογμένον ᾖ, καὶ συμφέρον ἤδη φαίνηται, χρόνον δεῖ δοθῆναι τῇ τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ ποριοῦνται ταῦθ', ὧν ἂν δέωνται, ὅπως ἂν τὰ δόξαντα καὶ δυνηθῶσι ποιῆσαι. ὁ δὴ τοὺς χρόνους τούτους [1] ἀναιρῶν, τῆς οἵας παρ' ἡμῖν ἐστὶ πολιτείας, οὐ χρόνους ἀνῄρηκεν οὗτος, οὔ· ἀλλὰ τὰ πράγματα ἁπλῶς ἀφῄρηται.

νς'. Ἔστι τοίνυν τις πρόχειρος λόγος πᾶσι τοῖς ἐξαπατᾶν ὑμᾶς βουλομένοις· οἱ ταράττοντες τὴν πόλιν, οἱ διακωλύοντες Φίλιππον εὖ ποιῆσαι τὴν πόλιν. πρὸς οὓς ἐγὼ λόγον μὲν οὐδένα ἐρῶ, τὰς δὲ ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι τὰς τοῦ Φιλίππου, καὶ τοὺς καιροὺς, ἐφ' ὧν ἕκαστα ἐξηπάτησθε, ὑπομνήσω· ἵνα εἰδῆθ', ὅτι τὸ ψυχρὸν τοῦτο
400

[1] ἀναιρῶν τῆς, οἷα παρ' ὑμῖν ἐστι, πολιτείας

ρία Ἐκκλησία, qui etiam confirmat emendationem istam auctoritate Ulpiani. Adi etiam celeberrimum Hemsterhus. ad Lucian. Necyomant. §. 19. Πρόγραμμα, inquit Scholiastes, est τὸ προτιθέμενον τῆς Ἐκκλησίας, ὥστε βουλεύσασθαι, ἢ περὶ τοῦ πέμψαι πρέσβεις, ἢ, πρέσβεων ἐλθόντων, μαθεῖν, ὅ, τι λέγουσιν. Hanc necessariam lectionem reperit in suis Codicibus optimus Budæus, qui ita locum vertit: "*Apud vos autem rem ipsam Curiæ innotescere moris est, deque ea re SC. fieri, idque tum demum, cum aut de mittendis legatis vestris, aut audiendis aliorum,* concionis edicta proscripta sunt, *non semper. Deinde concione advocata, id quod tum solenne est fieri, cum præscriptis legum congruit e re nata, oratoribus videndum est, ut, cum consilia sane utilia commodaque Reip. in medium attulerint, dicendi quoque facultate iis prævaleant, qui e diametro in medium allatis pugnantia, vel imprudentia ipsi lapsi, vel ducti improbitate, tueantur.*" [Προβουλεύειν enim dicebatur curia Athenis, quando ante comitia populi, ea res consulendo censendoque in curia agitabatur, qua de re populus in concione rogandus erat, cujus erat scilicet summa potestas, ut Romæ. De hoc vero dictum nobis etiam est περὶ στεφάνου. *Ex edit.* HERVAG.] Προγεγραμμένον excusum denique a Parisiensibus sine litura, nihil contra nitentibus membranis. Ita quoque Harleianus noster. TAYLOR.

Ὅταν ᾖ κ.τ.λ.] *Quando tabula fixa sit fecialibus et legatis.* i. e. quando consultandum proponitur quæ sint respondenda fecialibus et legatis. κήρυξι, non *præconibus*, sed *fecialibus*, i. e. legatis ad res repetendas missis. AUGER.

Ὅταν ἐκ τῶν νόμων καθήκῃ] De statis Concionibus loquitur. Nam supra facta est Mentio etiam συγκλήτου ἐκκλησίας. Nota τὸ καθήκῃ, ἀντὶ τοῦ, προσήκῃ. Hinc Stoicorum καθῆκον. WOLF.

Ὁ δὴ τοὺς χρόνους τούτους ἀναιρῶν &c.] Ἀναιρεῖν τοὺς χρόνους Demostheni ἀντὶ τοῦ ἐκκρούειν, hoc est, *tempus eximere, et occasiones rerum gerendarum auferre*, et hoc loco, et alibi dicitur. *Ex edit.* HERVAG.

Ὁ δὴ τοὺς χρόνους τούτους ἀναιρῶν — οὐ χρόνους ἀνῄρηκεν etc.] Similis omnino Locutio Marci Evangelistæ, IX. 37. καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με. MARKLAND.

Οἵας] Οἷα Lambini est conjectura. Ita Cant. Ita Ital. Quid si, τῆς οἵαπερ ἡμῶν πολιτείας? TAYLOR.

νς'. Οἱ ταράττοντες τὴν πόλιν] Μιμητικῶς. WOLF. Wolfius non recte cepit. Hæc non sunt verba ipsius Demosthenis, sed Adversariorum, ab eo μιμητικῶς vel τεχνικῶς prolata. Ut in Midiana, pag. 564. 8. ed. Reisk. Ἡμεῖς οἱ λειτουργοῦντες, Ἡμεῖς οἱ προεισφέροντες ὑμῖν, Ἡμεῖς οἱ πλούσιοι. MARKLAND.

Οἱ ταράττοντες] Est ipsa oratio eorum qui populum decipere volunt. AUGER.

Ἵν' εἰδῆθ', ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα, τὸ ἄχρι κόρου, παρελήλυθ' ἐκεῖνος φενακίζων

ὄνομα, τὸ ἄχρι κόρου, παρελήλυθ' ἐκεῖνος φενακίζων ὑμᾶς.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

νζ'. Οὕτω τοίνυν αἰσχρὰ, καὶ πολλὰ, καὶ πάντα καθ' ὑμῶν πεπρεσβευκὼς, περιιὼν λέγει, τί δ' ἂν εἴποι τις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ; νὴ Δία, εἴτε βούλομαί γε, εἴτε μή· παρ' ὅλην μὲν τὴν ἀποδημίαν ὑπὸ σοῦ τοιαῦτα ἐπιβεβουλευμένος, [1] δυοῖν δὲ αἱρέσεων οὐσῶν μοι νυνὶ, ἢ τοιούτων ὄντων τῶν πεπραγμένων, δοκεῖν κοινωνεῖν ὑμῖν, ἢ κατηγορεῖν, ἐγὼ δ' οὐδὲ συμπεπρεσβευκέναι φημί σοι, πρεσβεύειν μέντοι, σὲ μὲν πολλὰ καὶ δεινὰ, ἐμαυτὸν δ' ὑπὲρ τουτωνὶ τὰ βέλτιστα. ἀλλὰ Φιλοκράτης σοι συμπεπρέσβευκε, κἀκείνῳ σὺ καὶ Φρύνων. ὑμεῖς γὰρ ταῦτα ἐπράττετε, καὶ ταῦτα ἅπασιν ὑμῖν ἤρεσκε. ποῦ δ'

[1] δυοῖν δ' αἱρέσεως οὔσης μοι

ὑμᾶς] *Ut intelligatis Æschinem in impostura vobis factitanda, etiam verbum illud, quod frigide et scurriliter dici solet, ad satietatem usque, exuperasse.* Sic enim interpretandum arbitror, τὸ ψυχρὸν hoc loco. Unde ψυχρόλογοι dicuntur, qui ineptis et futilibus, et absurdis verbis uti solent. Et ψυχρολογεῖν verbum, *frigida verba ineptaque et scurrilia fundere.* Sic Cicero in Brut. "Quare tibicen dixerit discipulo sane frigenti ad populum, mihi cane et Musis," frigenti dixit, οὐκ εὐδοκιμοῦντι, ἀποτυγχάνοντι, ψυχρῶς ἔχοντι. Idem Demosth. [§. οζ'.] περὶ Στεφάνου. καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεμίαν ψυχρότητα καταγνῷ μηδεὶς, *nullus ita hoc quod dicturus sum excipiat ut frigidum et absurdum. Ex edit.* Hervag. Interpres Etruscus. *Acciocche veggiate, che questa promessa fredda, la quale hoggi ci è venuta a noia, egli no ce l' ha osservata, ingannandoci.* Taylor.

Τὸ ψυχρὸν] Qu. τῷ ψυχρῷ τούτῳ ὀνόματι, τῷ, Ἄχρι κόρου, παρελήλυθ' etc. Ista, Ἄχρι κόρου, videntur esse verba Philippi ex Epistolis ejus desumta, in quibus promiserat, se satisfacturum esse Atheniensibus ἄχρι κόρου, *usque ad satietatem.* Ἐκεῖνος est Philippus. Markl.

ΕΠΙΣΤΟΛΗ] ΕΠΙΣΤΟΛΑΙ, ut excudebat Benenatus, atque ut promisit Demosthenes. pag. 279. v. 13. Ita denique Codd. Aug et Ital. Taylor.

νζ'. Καὶ πολλὰ] Quid hoc? καὶ πολλὰ, καὶ πάντα. Necesse est, ut sit aliquid hujusmodi: οὕτω τοίνυν αἰσχρὰ, καὶ δεινὰ, πάντα καθ' ὑμῶν πεπρεσβευκώς. Idem.

Τί δ' ἂν εἴποι τις περὶ Δημοσθένους] *Quid autem de Demosthene dicere quisquam digne poterit, qui legationis socium accusare non vereatur? prorsus quidem ipse, seu velim, seu nolim. quippe per totam illam legationem insidiis hujuscemodi a te petitus.* vel sic, *Accuso ego vero sive velim, sive nolim. qui in ea legatione perpetuis a te insidiis petitus sim.* est enim anthypophoris accommodata hæc vox νὴ Δία, ita ut responsioni congruat, ut περὶ Στεφάνου etiam dictum est. addita quoque γὰρ particula, ἀνθυποφορικὸν est, ut *at* et *at enim* Latine, et interrogationibus convenit, ut in eadem hac Oratione, [§. οθ'. *in fin.*] νὴ Δί' οἱ νέοι γὰρ ἡμῶν διὰ ἐκεῖνον ἔσονται ἀγῶνα βελτίους· οὐκ οὖν καὶ διὰ τόνδε οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. *At enim juvenes nostri ob illud judicium, illamque animadversionem, ad frugem morum meliorem redigentur. atqui et ab hoc quoque magistratus emendabuntur, quorum sub manu reipublicæ summa periclitatur. Ex edit.* Hervag.

Παρ' ὅλην μὲν τὴν] Videtur deesse γὰρ post μέν. Markland.

Ἐγὼ δ'] F. ἔγωγ' Idem. Pungit Wolfius post κατηγορεῖν. Deinde procedit: Ἐγὼ δ' οὐδὲ κ. τ. λ. Taylor.

Ταῦτα ἐπράττετε] An ταὐτὰ, *eadem?* Infra §. ξδ'. in init. Markland. Ὑμεῖς γὰρ ταὐτὰ ἐπράττετε, καὶ ταῦτα ἅπασιν ὑμῖν ἤρεσκε. Cod. Ital. Taylor.

Καὶ ταῦτα ἅπασιν ὑμῖν ἤρεσκε] Lege.

ἅλες; ποῦ τράπεζαι; ποῦ σπονδαί; ταῦτα γὰρ τραγῳδεῖ περιιών· ὥσπερ οὐχὶ τοὺς ἀδικοῦντας τούτων ὄντας προδότας, ἀλλὰ τοὺς τὰ δίκαια ποιοῦντας. ἐγὼ δ' οἶδ' ὅτι πάντες οἱ πρυτάνεις θύουσιν ἑκάστοτε κοινῇ, καὶ συνδειπνοῦσιν ἀλλήλοις, καὶ συσπένδουσι, καὶ οὐ διὰ τοῦτο οἱ χρηστοὶ τοὺς πονηροὺς μιμοῦνται, ἀλλ' ἐὰν ἀδικοῦντα λάβωσί τινα [1]αὐτῶν, τῇ βουλῇ καὶ τῷ δήμῳ δηλοῦσι. καὶ ἡ [2]βουλὴ τὰ αὐτὰ ταῦτα εἰσιτήρια ἔθυσε, συνειστιάθη· σπονδῶν, ἱερῶν [3]ἐκοινώνησαν οἱ στρατηγοὶ, σχεδὸν, ὡς εἰπεῖν, αἱ ἀρχαὶ πᾶσαι. ἆρ' οὖν διὰ ταῦτα τοῖς ἀδικοῦσιν [1]αὐτῶν ἔδωκαν ἄδειαν; πολλοῦ γε καὶ δεῖ. Λέων Τιμαγόρου κατηγόρει,
401 συμπεπρεσβευκὼς τέτταρα ἔτη· Εὔβουλος Θάῤῥηκος, καὶ Σμικύθου, συσσεσιτηκώς· Κόνων ὁ παλαιὸς ἐκεῖνος, Ἀδειμάντου συστρατηγήσας. πότεροι οὖν τοὺς ἅλας, καὶ τὰς σπονδὰς παρέβαινον, Αἰσχίνη; οἱ προδιδόντες, [4]καὶ παραπρεσβεύοντες, καὶ οἱ δωροδοκοῦντες, ἢ οἱ κατηγοροῦντες; οἱ

[1] αὐτῶν [2] βουλὴ δὲ τὰ αὐτὰ ταῦτα. εἰσιτ. [3] ἐκοινώνησεν. οἱ [4] καὶ οἱ παραπρ.

Wolf. Legebatur enim insulse: καὶ ταῦτα ἅπασιν ὑμῖν ταῦτα ἤρεσκε. Taylor.

Εἰσιτήρια] Locum hunc confer cum iis, quæ habet Suidas. Εἰσιτήρια, ἡμέρα ἑορτῆς, ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες προΐασιν, οὕτως ἐκαλεῖτο. Ταύτην δὲ τὴν ἡμέραν πρώτην τοῦ ἔτους Ἀθηναῖοι νενομίκασι. Δημοσθένης ἐν τῷ περὶ τῆς Παραπρεσβείας· Ἡ Βουλὴ τὰ εἰσιτήρια ἔθυσεν. Συνεστιάθησαν δὲ καὶ τῶν ἐκοινώνησαν οἱ στρατηγοὶ, καὶ σχεδὸν εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι. Emendandus est ex textu Demosthenis. Nescio, unde arripuerit hanc glossam Suidas, certe non verbis mendosiorem, quam re et doctrina insinceram. Quanto rectius alii, ut Ulpianus ad Midianam, interpretantur de Sacris, quæ Senatus facit, religione antiqua, antequam consilium caperetur, et cœptum esset agi. Vid. doctissimum Valesium ad Harpocrat. pag. 343. et in Excerptis Peiresc. pag. 90. Photii Lexic. MS. Casaubon. ad Theophrast. Charact. p. 153. H. Steph. Thes. L. Gr. Tom. I. col. 1138. et Petitum denique ad LL. Attic. pag. 275. Idem.

Ταῦτα εἰσιτήρια] Ταῦτα delerem ut inutile, nisi significent, *hæc quæ hodie vigent*. Per τὰ εἰσιτήρια alii intelligunt, dies festi, primus anni dies in quo omnes magistratus apparebant; alii, sacra quædam antiqua, quæ Senatus faciebat, antequam consilium caperetur et cœptum esset agi. Auger.

Συσσεσιτηκὼς] Συσσεσιτηκότα pro *sodali* dixit, vel *contubernali*. Utrumque enim significat, ut apud Platonem in Sympos. καὶ μετὰ ταῦτα στρατεία ἡμῖν εἰς Ποτίδαιαν ἐγένετο, καὶ συνεσιτοῦμεν ἐκεῖ. παρὰ τὸ συσσιτεῖν, *in contubernio esse, sodalitate uti*, et συσσίτιον, *sodalitas*. *Ex edit.* Hervag.

Συσσεσιτευκὼς] [Ut Ald.] Σιτεύειν est *saginare*, ut σιτευτὸς μόσχος. A σιτεῖν vero fit συσσιτεῖν, unde Συσσίτια. Quare cum Feliciano lego συσσεσιτηκώς. Wolf.

Συσσεσιτευκὼς] Id est συμπρυτανεύσας. Nam, ut dixit supra, οἱ Πρυτάνεις θύουσιν ἑκάστοτε κοινῇ, καὶ συνδειπνοῦσιν ἀλλήλοις. Palmer.

Συσσεσιτηκὼς] Est Lectio omnium fere Codd. a Συσσιτέω. Nam Σιτεύω, alia plane res est. Taylor.

Οἱ δωροδοκοῦντες.] Delendum οἱ. Markland. E contra Aldus ingeminavit articulum, οἱ προδιδόντες, καὶ οἱ παραπρεσβεύοντες, καὶ οἱ δωροδοκοῦντες. Taylor. Paulus nempe medium articulum omisit. unde nata est illa dubitatio. Reisk.

ἀδικοῦντες δηλονότι τὰς ὅλης γε τῆς πατρίδος σπονδὰς, ὥσπερ σὺ, καὶ οὐ μόνον τὰς ἰδίας.

νή. Ἵνα τοίνυν εἰδῆτε, ὅτι οὐ μόνον τῶν δημοσίᾳ [1] ποτὲ ἐληλυθότων ὡς Φίλιππον ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἰδίᾳ, καὶ πάντων, οὗτοι φαυλότατοι καὶ πονηρότατοι γεγόνασιν, μικρὸν ἀκούσατέ μου ἔξω τί τῆς πρεσβείας ταυτησί. ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει· εἰς δὲ τὴν θυσίαν ταύτην καὶ τὴν πανήγυριν, πάντας τοὺς τεχνίτας συνήγαγεν. ἑστιῶν δ' αὐτοὺς, καὶ στεφανῶν τοὺς νενικηκότας, ἤρετο Σάτυρον τουτονὶ, τὸν κωμικὸν ὑποκριτὴν, τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται; ἢ τίνα ἐν αὐτῷ μικροψυχίαν, [2] ἢ πρὸς αὐτὸν ἀηδίαν ἐνεωρακὼς εἴη; εἰπεῖν [3] δέ φασι τὸν Σάτυρον, ὅτι, ὧν μὲν οἱ ἄλλοι δέονται, οὐδενὸς ὧν ἐν χρείᾳ τυγχάνει· ἃ δ' ἂν αὐτὸς ἐπαγγείλαιτο ἡδέως, ῥᾷστα μέν ἐστι Φιλίππῳ δοῦναι, καὶ χαρίσασθαι πάντων, δε-

[1] πώποτε [2] ἢ τίνα πρὸς [3] δή

Δηλονότι] Punge leviter post istam vocem. Et rem ita concipias mecum. Scil. Πότεροι παραβαίνουσι; — οἱ ἀδικοῦντες δηλονότι. Et quid παραβαίνουσι? nimirum τὰς ὅλης γε κ. τ. λ. Taylor.

νή. Ἑστιῶν κ. τ. λ.] Pulcherrima sane Historia, et digna, quæ Demosthenis oratione posteritati consecraretur. Attigit etiam Libanius Declam. XIV. Ἀκούομεν δὲ αὐτὸν καὶ πρὸς τοὺς Ἀπολλοφάνους θυγατέρας ποιῆσαί τι παραπλήσιον. ἀφεῖναι γὰρ αὐτὰς Σατύρῳ τῷ τῆς Κωμῳδίας ὑποκριτῇ. Geminam plane adjungo ex Scriptore incerto apud Suidam, v. Ἐπαγγέλλει. Ὁ δὲ Βασιλεὺς φιλοφρόνως δέχεται αὐτὸν, καὶ κελεύει θαῤῥεῖν, καὶ εἴ τι θέλει ἐπαγγέλλειν (id erat αἰτεῖσθαι, *aliquid postulare*, ut hic) ὁ δὲ δεῖται ὑπὲρ Μονάτου τοῦ Πεμάτου, ὃς ἦν λ̄. ἔτη ἐν σκότῳ καθειργμένος. Adi Harpocr. et Suid. v. Ὅτι ξένους κ. τ. λ. Apud hunc in v. Φωκίων, legitur ex arcana historia, quod sequitur: Ὁ δὲ περὶ Σατύρου φησὶν ὁ Δημοσθένης ἕνεκα τῶν Ἀπολλοφάνους θυγατέρων, τοῦτο εἰς Φωκίωνα τινὲς ἀναφέρουσι. Καί φασιν, ὅτι λαβὼν αὐτὰς εἰς Ἀθήνας ἤγαγε, καὶ ἐξέδωκε. Postremo adjungam Hermogenem in aureo libello περὶ μεθόδου δεινότητος: Cap. Περὶ Ἀντιθέτου. Τοῦτο δὲ τὸ ἀντίθετον ὁ Δημοσθένης ἐποίησε κακόηθες, τὸ μὲν πρᾶγμα ἀληθὲς λαμβάνων, τὸ δὲ ἀντικείμενον, ψευδὲς ὄν. ὡς ἐν τῷ περὶ τῆς Παραπρεσβείας εἰσάγει συμπόσιον Φιλίππου, καὶ τῶν Ὀλύμπια νενικηκότων, καὶ διάλογον Σατύρου τοῦ κωμικοῦ ὑποκριτοῦ. οὕτω δὲ ψυχαγωγεῖ τοὺς ἀκούοντας, ὥστε οἴεσθαι ἐν συμποσίῳ εἶναι. Εἶτα ἀντιτίθησι συμπόσιον ἕτερον ὡς γενόμενον Αἰσχίνῃ, ψευδόμενος, μηδέποτε γενόμενον. ἵνα ἐψυχαγωγημένοι διὰ τῶν προτέρων λόγων οἱ δικασταὶ πιστεύωσι καὶ τοῖς ἐπιφερομένοις, ὡς ὁμοίως ἀληθέσι. Quod cum historiolam hanc plurimi attigerunt, alii de humanitate Philippi solliciti, alii artificium admirati Demosthenis, ideo tamen præ cæteris Hermogenem adductum esse volui, ut lectionem illam v. 7. Ὀλύμπια simul stabiliret. Philippus sc. ob partam victoriam lætabundus, et res Olynthi prospere gestas, convivio excepit, ut narrat iste Scriptor, eos, qui nuper Olympia vicerunt. Et percommode sane accidit, ut Olympia celebrarentur eodem anno, quo Philippus Olynthum obsidione cepit, sc. Olymp. CVIII. 1. Minus igitur necessaria est, elegantissima licet, conjectura viri nunquam satis laudandi, qui pro Ὀλύμπια, Ὀλύνθια, *ludos ob captam Olynthum*, reponit. Idem.

Στεφανῶν] Locum hunc adducit et explicat Harpocr. in v. Στεφανῶν τοὺς νενικ. Idem.

Ἐπαγγέλλεται] Harpocr. v. Ἐπαγγελία consulatur, item Ulpianus ad hanc vocem, et quæ Ego produxi ad initium Orationis. Cod. Aug. scholion conservavit, sc. Ἐπαγγέλλεται] αἰτεῖ. Idem.

Ἐνεωρακὼς] Simplicius et rectius, ἑωρακὼς, ut plurimi. Idem.

δοικέναι δὲ, μὴ διαμάρτῃ. κελεύσαντος δ᾽ ἐκείνου λέγειν,
καί τι καὶ νεανιευσαμένου τοιοῦτον, ὡς οὐδὲν ὅ, τι οὐ ποιή-
σει, εἰπεῖν αὐτόν φασιν, ὅτι ἦν αὐτῷ Ἀπολλοφάνης ὁ Πυ-
δναῖος, ξένος, καὶ φίλος· ἐπειδὴ δὲ δολοφονηθεὶς ἐτελεύτησεν
ἐκεῖνος, φοβηθέντες οἱ συγγενεῖς αὐτοῦ, ὑπεξέθεντο τὰς θυ-
γατέρας, παιδία οὔσας, εἰς Ὄλυνθον. αὗται νῦν, ἔφη, τῆς
402 πόλεως ἁλούσης, αἰχμάλωτοι γεγόνασι, καὶ εἰσὶ παρὰ
σοὶ, ἡλικίαν ἔχουσαι γάμου. ταύτας αἰτῶ σε, καὶ δέομαι,
δός μοι. βούλομαι δέ σε ἀκοῦσαι καὶ μαθεῖν, οἵαν μοὶ δώ-
σεις δωρεὰν, ἐὰν ἄρα [1] δῷς. ἀφ᾽ ἧς ἐγὼ κερδανῶ μὲν οὐδέν·
προῖκα δὲ προσθεὶς, ἐκδώσω, καὶ οὐ περιόψομαι παθούσας
οὐδὲν ἀνάξιον, οὔθ᾽ ἡμῶν, οὔτε τοῦ πατρός. ὡς δὲ ἀκοῦσαι
τοὺς παρόντας ἐν τῷ συμποσίῳ, τοσοῦτον κρότον καὶ ἔπαι-
νον καὶ [2] θόρυβον παρὰ πάντων γενέσθαι, ὥστε τὸν Φί-
λιππον παθεῖν τι, καὶ δοῦναι. καί τοι τῶν ἀποκτεινάντων
ἦν Ἀλέξανδρον τὸν ἀδελφὸν [4] τοῦ Φιλίππου οὗτος ὁ Ἀπολ-
λοφάνης.

νθ΄. Ἐξετάσωμεν δὴ πρὸς τὸ τοῦ Σατύρου [3] τούτου
συμπόσιον, ἕτερον συμπόσιον, τὸ τούτων, ἐν Μακεδονίᾳ γε-
νόμενον· καὶ θεάσασθε εἰ παραπλήσιον τούτῳ, καὶ ὅμοιον.
κληθέντες γὰρ οὗτοι πρὸς Ξενόφρονα, τὸν υἱὸν [4] τοῦ Φαιδί-
μου, τοῦ τῶν τριάκοντα, ᾤχοντο, ἐγὼ δ᾽ οὐκ ἐπορεύθην.
ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν, εἰσάγει τινὰ Ὀλυνθίαν γυ-

[1] δῷς· — οὐδὲν, ἐὰν λάβω, προῖκα [2] θόρυβον καὶ ἔπαινον [3] τοῦτο [4] τὸν

Καί τι καὶ νεανιευσαμένου τοιοῦτον, ὡς οὐδὲν ὅ,τι οὐ ποιήσει] *Atque adeo juvenili jactantia pollicente.* ubi καὶ geminatur, quod sæpe fit Attico more. Et in eadem paulo inferius, [§. νθ΄. ante med.] ὡς δὲ προῄει τὸ πρᾶγμα, καὶ διεθερμαίνοντο, κατακλίνεσθαι [τὴν ἄνθρωπον,] καί τι καὶ ᾄδειν ἐκέλευον, *ut autem res jam procedere cœpit, et illi incalescere, accumbere jubent mulierem, atque adeo canere. Ex edit.* Hervag. V. not. §. κς΄. fin.

Οὐδὲν] Subaudi ἐστί. Auger.

Ἀφ᾽ ἧς] Corrupte posterior vox in Ald. Totum comma, si Lambini conjecturam, et plurimorum Codd. additamentum admiseris, ita plenius erit concipiendum: sc. — δωρεὰν, ἐὰν ἄρα δῷς· τοιαύτης, ἀφ᾽ ἧς ἐγὼ κερδανῶ μὲν οὐδὲν, ἐὰν λάβω· προῖκα δὲ κ. τ. λ. Vid. Var. Lect. In nonnullis ἐὰν λάβω pro ἐὰν ἄρα δῷς. Taylor.

Ὡς δὲ ἀκοῦσαι] Pro ὡς δὲ ἤκουσαν οἱ παρόντες. Deinde, ad γενέσθαι subauditur φασὶ, quod est superius. Auger.

Ἀλέξανδρον] Plures erant eo nomine. Ἕτερος Ἀλέξανδρος καὶ αὐτὸς Μακεδόνων βασιλεὺς, ἀδελφὸς Φιλίππου πρεσβύτερος, περὶ οὗ Δημοσθένης ἐν τῷ περὶ Παραπρεσβείας φησὶ, καίτοι τῶν ἀποκτεινάντων Ἀλέξανδρον ἦν τὸν ἀδελφὸν τοῦ Φιλίππου οὗτος Ἀπολλοφάνης. Harpocrat. v. Ἀλέξανδρος. Taylor.

νθ΄. Φαιδίμου] Xenopho in recensione XXX. Tyrannorum, Φαιδρίαν, non Φαίδιμον posuit. Palmer.

Ibid. Dixi in *vita* Lysiæ. Notabile est, quod conservarentur hæc verba a Polluce VIII. 1. Κληθέντες γὰρ οὗτοι πρὸς Ξενόφρονα, τὸν υἱὸν τοῦ Φαιδίμου. Taylor.

Ἐπειδὴ δὲ ἧκον κ. τ. λ.] Locum hunc confert cum simili Ciceronis in Verrinis

ναῖκα, εὐπρεπῆ μὲν, ἐλευθέραν δὲ καὶ σώφρονα, ὡς τὸ τέ-
λος ἐδήλωσε. ταύτην, τὸ μὲν πρῶτον, οὑτωσὶ πίνειν ἠνά-
γκαζον ἡσυχῇ, καὶ τρώγειν οὗτοι, μοι δοκεῖν, ὡς διηγεῖτο
Ἰατροκλῆς ἐμοὶ τῇ ὑστεραίᾳ· ὡς δὲ προῄει τὸ πρᾶγμα, καὶ
διεθερμαίνοντο, κατακλίνεσθαι, καί τι καὶ ᾄδειν ἐκέλευον.
ἀδημονούσης δὲ τῆς ἀνθρώπου, καὶ οὔτε ἐθελούσης, οὔτε
ἐπισταμένης, ὕβριν τὸ πρᾶγμα ἔφασαν, οὑτοσὶ καὶ ὁ Φρύ-
νων, καὶ οὐκ ἀνεκτὸν εἶναι, τῶν θεοῖς [1] ἐχθρῶν τε, καὶ ἀλι-
τηρίων Ὀλυνθίων αἰχμάλωτον οὖσαν, τρυφᾷν. καὶ, κάλει
παῖδα, καὶ ἱμάντα [2] τίς φερέτω. ἧκεν οἰκέτης ἔχων ῥυτῆρα.
καὶ πεπωκότων, οἶμαι, καὶ μικρῶν ὄντων τῶν παροξυνόν- 403
των, εἰπούσης τι, καὶ [3] δακρυσάσης ἐκείνης, περιῤῥήξας τὸν
χιτωνίσκον ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς. ἔξω
δ' αὑτῆς οὖσα ὑπὸ τοῦ κακοῦ καὶ τοῦ [4] πράγματος ἡ γυνὴ,

[1] ἐχθρῶν, τῶν ἀλιτηρίων [2] τις [3] διακρουσάσης [4] τραύματος

Victorius XIV. Var. Lect. 14. Non pœnitebit elegantem istum Criticum consulere. Idem.

Οὑτωσὶ πίνειν] Lege. [Nam Ald. οὑτοσί.] Et infra v. 11. καὶ μιαρῶν ὄντων, ut referatur ad Phrynonem et Æschinem. Sin placet μικρῶν, significat ebrios facile concitari. Wolf.

Οὑτωσὶ] *Indifferenter, nullo consilio, sine dolo*, ὡς ἔτυχεν. Vid. Not. ad Midianam, 553. 13. Ed. Reisk. H. Steph. Conformitè du lang. Franc. avec le Grec. p. 86. D. Chrysostom. ad Ioan. IV. 6. Taylor.

Μοι δοκεῖν] Otiosum mihi videtur et delendum. Auger.

Ἀδημονούσης] Consule Ulpianum ad loc. item Maussaci nót. ad Harpocrat. p. 16. Taylor.

Πεπωκότων] *Et cum isti, puto, bibissent, et cum leves causæ ipsos excitarent.* Auger.

Μικρῶν] Μιαρῶν cum Wolfio, quod jam vidimus, habent etiam marg. Benenati, et Bodl. Videamus Interpretem Etruscum: *E quantunque fosse* leggieri la cagione *che gli moveva ad ira, nondimeno perche eglino haveano bevuto, poscia che ella hebbe detto non so che, e che hebbe pianto* —Hoc cum secundis curis Wolfii atque ejus interpretatione consentit. Et credo ad sensum Auctoris pertinere. Interea, si bene se habeat illa versio Italica, *leves illæ causæ*, quæ stomachum movebant temulentis illis et petulantibus, erant, quod Mulier infelix præ impatientia aliquid inconsulto dixerit, et suam fortunam sit conquesta. Fuerint igitur quæ effutiverit hujusmodi, qualia comminiscebatur Ulpianus: "*Hæccine ab Atheniensibus perpetior! Immo cum Scythis dego, non cum legatis istius Urbis, quæ humanitatis laude semper florebat.*" Hinc illæ Iræ. Pergo. Immo non *dixit* solummodo, sed *illacrymavit*. Quid? an *illud* quoque bilem moverit? An *Lacrymæ?* Expectaret Lector: *Dixit aliquid, quod animos hominum perculit, quod* offensionem ferre *videbatur.* Anne hoc εἰπούσης τι καὶ διακρουσάσης ἐκείνης, ut in uno exemplari Reg. n. scribitur? Taylor.

Περιῤῥήξας] Locum hunc citat σχ. Aristoph. Acharn. 319. Idem.

Πολλὰς] Πληγὰς sc. Ellipsis est singularis, sed non infrequens. Hinc pendet Joculare istud Phrynes scorti non incelebris: Μαστιγίου δέ τινος μειρακιευομένου πρὸς αὐτὴν, καὶ φαμένου πολλαῖς συμπεπλέχθαι, καθ' ὑπόκρισιν ἐσκυθρώπασεν· ἐπερωτήσαντος δὲ τὴν αἰτίαν, ὀργίζομαί σοι, εἶπεν, ὅτι πολλὰς ἔχεις. Athen. l. 13. p. m. 289. Cæterum de hoc loco vide Suid. v. Φοινικίδα. et T. Magist. v. Ξαίνω: ubi dedit, Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, immemor orationis, ξαίνει κατὰ τοῦ νώτου πολλάς. Idem.

Ἔξω δ' αὑτῆς οὖσα] Pro *mente alienata* dixit, et velut ἑαυτῆς ἐξισταμένη. Quod autem sequitur καὶ τὴν τράπεζαν ἀνατρέπει, καὶ εἰ μὴ ἐκεῖνος ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη, &c. id est, Hujus super mensam et vinum petulantia. id enim παροίνεσθαι

ἀναπηδήσασα, προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ, καὶ τὴν τράπεζαν ἀνατρέπειν· καὶ, εἰ μὴ ἐκεῖνος [1]ἀφείλετο, ἀπώλετ᾽ ἂν παροινουμένη. καὶ γὰρ ἡ παροινία τοῦ καθάρματος τουτουὶ, δεινή. καὶ περὶ ταύτης τῆς ἀνθρώπου, καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς μυρίοις, καὶ Διόφαντος ἐν ὑμῖν ἀπήγγειλεν, ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος, καὶ πανταχοῦ. καὶ τοιαῦτα συνειδὼς ἑαυτῷ πεπραγμένα ὁ ἀκάθαρτος οὑτοσὶ, τολμήσει βλέπειν εἰς ὑμᾶς; καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλα ἐρεῖ λαμπρᾷ τῇ φωνῇ; ἐφ᾽ οἷς ἔγωγε ἀποπνίγομαι. οὐκ ἴσασιν οὗτοι, τὸ μὲν ἐξαρχῆς τὰς βίβλους ἀναγινώσκοντά σε τῇ μητρὶ τελούσῃ; καὶ παῖδα ὄντα ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμματεύοντα, καὶ [2]δυοῖν, ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; τὰ τελευταῖα δὲ, ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον; ποῖον οὖν ἐρεῖς βίον; ὃν οὐ βεβίωκας; ἐπεὶ ὅγε βεβιωμένος σοι, [3]τοιοῦτος φαίνεται. ἀλλὰ δὴ τὰ τῆς [4]ἐξουσίας· οὗτος ἄλλον ἔκρινε παρ᾽ ὑμῖν ἐπὶ πορνείᾳ. ἀλλὰ μή πω ταῦτα· ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

404 ΜΑΡΤΥΡΙΑΙ.

ξ΄. Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικα-

[1] ἀφείλετο αὐτὴν, καὶ ἀπώλετ᾽ [2] δυεῖν [3] τοιοῦτος ὢν φαίνεται [4] ἐξουσίας!

vocant Græci, quod nos *bacchari* et *debacchari*, hoc est, *per vinum et petulantiam injuria et probro afficere.* Ex edit. Hervag.

Ἀφείλετο] Plenius in membranis: εἰ μὴ ἐκεῖνος ἀφείλετο αὐτὴν, καὶ ἀπώλετ᾽ ἂν παροινουμένη. Taylor.

Αὐτῷ βίον] Lege αὐτῷ. Markland.

Θιάσοις] Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχίνου. Θίασός ἐστι τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ θεῶν. Harpocrat. in v. Taylor.

Βεβίωκας;] Melius sine Interrogatione. Nam redditivum est. Ποῖον; ὃν οὐ βεβίωκας scil. Nam βεβιωμένος τοιοῦτος ὢν φαίνεται. Sic enim et illud corrigendum, ex Parisiensibus et Augustano. Idem.

Τῆς ἐξουσίας] Post hanc vocem pono notam Interrogationis: ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας; sc. ἐρεῖς. *Eam igitur vitæ partem referes, in qua tam licenter grassatus es?* Hic exemplum statim subditurus erat Demosthenes, Timarchi historiam. Sed subito abrumpit, et in alium magis opportunum locum rejicit. οὗτος ἄλλον ἔκρινε παρ᾽ ὑμῖν ἐπὶ πορνείᾳ — ἀλλὰ μήπω ταῦτα. ἀλλὰ τὰς κ. τ. λ. Markland. Recte hæc omnia: et improbanda omnino Wolfii Conversio. Liquet enim, eum locum hunc non intellexisse. Ἐξουσία hic non significat *auctoritatem*, aut *jus*, sed *injuriam* potius et audaciam ad omne nefas paratissimam. Ita exeunte hac Oratione: εἰ ἐπὶ τῆς αὐτῆς, ἧσπερ νῦν, ἐξουσίας καὶ ἀσελγείας μενεῖ. Et §. ϛ΄. *ad fin.* γέλως — αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς. Taylor.

σται, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται, ἐν οἷς τί κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης, τῶν φίλων προδότης, πάντα ἔνεστι τὰ [1] λεγόμενα, πρὸς ἓν οὐδοτιοῦν τούτων ἀπολογήσεται, οὐδ᾽ ἕξει δικαίαν οὐδ᾽ ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν· ἃ δ᾽ ἐγὼ πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας. οὐ μὴν ἀλλ᾽ ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλο εἰπεῖν ἀνάγκη πάντα μηχανᾶσθαι. ἀκούω γὰρ αὐτὸν ἐρεῖν, ὡς ἄρα ἐγὼ, πάντων ὧν κατηγορῶ, κοινωνὸς γέγονα, καὶ συνήρεσκέ ταῦτά μοι, καὶ συνέπραττον αὐτῷ, ἔπειτα ἐξαίφνης μεταβέβλημαι καὶ κατηγορῶ. ἔστι δὲ ὑπὲρ μὲν τῶν πεπραγμένων, οὔτε δικαία, οὔτε προσήκουσα ἡ τοιαύτη ἀπολογία, ἐμοῦ μέν τοι [2] τίς κατηγορία· ἐγὼ μὲν γὰρ, εἰ ταῦτα πεποίηκα, φαῦλος εἰμὶ ἄνθρωπος, τὰ δὲ πράγματα οὐδὲν βελτίω διὰ τοῦτο, οὐδὲ πολλοῦ δεῖ· οὐ μὴν ἀλλ᾽ ἔγωγε [3] οἶμαί μοι προσήκειν ἀμφότερα ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτα ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥ τις ἐστὶν ἀπολογία [4] φεύξεται. ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα, δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει· τούτων δ᾽ οὐδέτερον δύναιτ᾽ ἂν οὗτος ποιῆσαι. οὔτε γὰρ ὡς συμφέρει δή που Φωκέας ἀπολωλέναι, καὶ Πύλας Φίλιππον ἔχειν, καὶ Θηβαίους ἰσχύειν, καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι, καὶ Μεγάροις ἐπιβουλεύειν, καὶ ἀνώμοτον εἶναι τὴν εἰρήνην, λέγειν αὐτῷ [5] ἔνεστιν, οἷς τότε τἀναντία ἀπηγ-

[1] δεινότατα [2] τις [3] οἴομαί [4] , [φεύξεται.] [5] ἔνεστι λέγειν αὐτῷ

ξ. Λεγόμενα] Wolfius vertit lectionem, non a se receptam, sed quæ reperitur in membranis vetustis, Regg. sc. β. δ. Harl. Obsop. Ital. Ask. et Editis sanioribus, τὰ δεινότατα. Idem.

Πρὸς ἓν οὐδ᾽ ὁτιοῦν τούτων ἀπολογήσεται] Negatio, ut alibi παρέλκει, ita contra hoc loco desideratur. dici enim plenius poterat, πρὸς οὐδὲν οὐδ᾽ ὁτιοῦν. ut apud eundem alibi, περὶ ὧν οὐδένα κίνδυνον ὁντινοῦν οὐχ ὑπέμειναν οἱ πρόγονοι. *Quarum rerum gratia nullum non certamen majores nostri susceperunt.* Sic etiam apud Ciceronem desiderari negatio videtur interdum, ut in Pandectas annotatum est. *Ex edit.* Hervag.

Ταῦτα] F. ταὐτὰ, *eadem.* Markl.

Πεπραγμένων] Subaudi τούτῳ. Auger.

Ἐμοῦ μέντοι τίς κατηγορία] Lambinus, argumento non intellecto, locum inquinat, legendo, ἐμοῦ μέντοι τίς κατηγορεῖ; Licet ea lectio et scholia quoque occupavit. Sensus est: *Sit verum in me crimen: illi tamen in eo nullum est præsidium.* Hoc est certissimum. Taylor. Videtur Lamb. eam lectionem tantum commemorare, non commendare voluisse. Reisk.

Τὰ πράγματα] Subaudi τούτου. Auger.

Οὐδὲ πολλοῦ δεῖ] Rescribendum videtur οὐδέν· πολλοῦ γε δεῖ. Vel οὔ· πολλοῦ γε δεῖ. Jurin.

Οὐ μὴν ἀλλ᾽ ἔγωγε] *Enimvero, at vero.* Quanquam enim negationis speciem præfert οὐ μὴν ἀλλὰ, tamen affirmationis vim habet. Idem alibi, οὐ μὴν ἀλλ᾽ ἐλπίζω ἐπιδείξειν εἰσαγώγιμον τὴν δίκην οὖσαν. *Ex edit.* Hervag.

405 γειλε πρὸς ὑμᾶς, ὡς συμφέροντα καὶ γενησόμενα· οὔτε ὡς οὐ πέπρακται ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑωρακότας ὑμᾶς καὶ εὖ εἰδότας. οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις μηδενὸς, λοιπόν μοι δεῖξαι.

ξά. Βούλεσθε οὖν ὑμῖν, πάντα [1] τὰ ἄλλα ἀφεὶς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδημίᾳ προσέκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παράσχωμαι μάρτυρας τουτουσὶ, ὡς πάντα τἀναντία ἐμοὶ, καὶ τούτοις πέπρακται, καὶ χρήματα οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή. τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι, καὶ πλείστης ὀλιγωρίας καὶ ἀναιδείας μεστόν; οὐδεὶς οὐδ' ἂν ἁμαρτὼν ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι [2] φήσειεν, ἢ Φιλοκράτην. τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ, τι [3] βούλοιτο τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί. τίνα δ' οὗτοι μὲν ἄτολμον καὶ δειλὸν πρὸς τοὺς ὄχλους [4] φασὶν, ἐγὼ δ' εὐλαβῆ; ἐμέ. οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα, οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι. οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λόγος γέγονε περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου, καὶ ἐλέγχοντος ἀεὶ [5] τούτους, καὶ λέγοντος ἄντικρυς, ὅτι χρήματα εἰλήφασι, καὶ πάντα πεπράκασι [6] τὰ πρά-

[1] τἄλλα [2] φήσειεν ἂν, ἢ [3] βούλοιτο, λαμπρᾷ τῇ [4] φασὶν εἶναι, ἐγὼ [5] τουτουσὶ [6] τὰ πράγματα πεπράκασι

Καὶ γενησόμενα] Iterum hallucinatur Lambinus, qui legit ὡς συμφέροντα γενησόμενα, deleta conjunctione: *in rem vestram futura*. Sensus est: *Hæc renunciavit Æschines, ut quæ essent* et *utilia*, et *quæ certissime erant eventura*. Taylor. Dubium est, utrum deleat, an solummodo commemoret a libris nescio quibus καὶ abesse. Sæpe fecit nimia brevitas, cui Lamb. in adornando indice suo studuit, ut nunc ignoremus, quid ad ipso profectum, quid e libris petitum sit, et e quibus. Reisk.

Τούτοις] Τούτων οὐδενὸς Harl. οὐδενὸς etiam Reg. δ. Fortasse Vulgata recte se habet. *Cum iis* [legatis sc.] *in nulla re communicavi*. Taylor.

ξά. Ὑμῖν πάντα] Ὑμῖν refertur ad παράσχωμαι. Auger.

Ἐφ' ὑμῖν] Forte, ἐφ' ὑμᾶς. Τουτέστιν, ἐπὶ τῇ βλάβῃ ὑμῶν. Ἐφ' ὑμῖν vero significat ἐν τῇ ἐξουσίᾳ ὑμῶν. Wolf. Ὑμᾶς. Markland.

Τῇ φωνῇ] Lego λαμπρᾷ τῇ φωνῇ. Quod deerat in aliquibus: sed non oportuit. Restituerunt optimi Harl. et Aug. cum Edit. Lutec. Modo §. νθ'. *post med.* — καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλα ἐρεῖ λαμπρᾷ τῇ φωνῇ. (Ubi Hermogenes invenerat in suis Codd. μακρᾷ τῇ φωνῇ.) Nimirum ex multis locis hic est unus, in quibus Demosthenes *dicit, voce dulci et clara fuisse Æschinem*: Verbis utor Ciceronis in Oratore §. 18. Sic in sequentibus, §. ξδ'. *ante med.* μηδέ γε εἰ καλὸν καὶ μέγα οὗτος φθέγγεται, μηδ' εἰ φαῦλον ἐγώ. Vid. Orationem hanc exeuntem, §. ϛς'. §. ϛς'. §. λθ'. *post med.* §. ξη'. *a med.* Iis, quæ ex Cicerone attulimus, adde Ulpianum in σχ. ad Auctorem nostrum, §. ϛς'. *a med.* ἔστι γὰρ εὐφωνότατος Αἰσχίνης, ὡς αὐτὸς μαρτυρεῖ πολλάκις ὁ Δημοσθένης. Similia pene habet Plin. II. Epist. 3. Taylor.

Καὶ δειλὸν πρὸς τοὺς ὅρκους] F. ὄχλους. ut e Plutarcho apparet. Wolf. Ὅρκους habuit Aldus, credo, solus. Taylor.

γματα τῆς πόλεως. καὶ τούτων οὐδεὶς πώποτ' ἀκούων ταῦτα,
ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, [1] οὐδ' ἔδειξεν ἑαυτόν. τί ποτ'
οὖν ἐστὶ τὸ αἴτιον, ὅτι οἱ βδελυρώτατοι πάντων τῶν ἐν τῇ
πόλει, καὶ μέγιστον φθεγγόμενοι, τοῦ καὶ ἀτολμοτάτου
πάντων ἐμοῦ, [2] καὶ οὐδενὸς μεῖζον φθεγγομένου, τοσοῦτον 406
ἡττῶνται; ὅτι τἀληθὲς ἰσχυρόν ἐστι, καὶ τοὐναντίον [3] ἀσθε-
νές. τὸ συνειδέναι πεπρακόσιν ἑαυτοῖς τὰ [4] πράγματα, τοῦτο
παραιρεῖται τὴν θρασύτητα τὴν τούτων· τοῦτο ἀποστρέφει
τὴν γλῶτταν· ἐμφράττει τὸ στόμα· ἄγχει· σιωπᾶν ποιεῖ.
τὸ τοίνυν τελευταῖον, ἴστε δήπου πρώην ἐν Πειραιεῖ, ὅτ'
αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν, βοῶντα ὡς εἰσαγγελεῖ με, καὶ
γράψεται, καὶ ἰοὺ ἰού. καίτοι ταῦτα μέν ἐστι μακρῶν καὶ
πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δὲ ἁπλᾶ, καὶ δύ'
ἢ τρία ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰ-
πεῖν δυνηθείη· ἄνδρες Ἀθηναῖοι, τουτὶ τὸ πρᾶγμα πάνδεινόν
ἐστιν. οὑτοσὶ κατηγορεῖ ταῦτα ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέ-
γονε, καὶ χρήματα εἰληφέναι φησὶν ἐμὲ, αὐτὸς εἰληφὼς,
[5] ἢ μετειληφώς. τούτων μὲν τοίνυν [6] οὐδὲν εἶπεν, οὐδ' ἐφθέγ-
ξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς· ἄλλα δὲ ἠπείλει. διὰ τί;
ὅτι ταῦτα μὲν αὑτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος ἦν
τῶν ῥημάτων τούτων. οὔκουν προσῄει πρὸς ταῦθ' ἡ διάνοια,
ἀλλ' ἀνεδύετο. [7] ἐπέλαμπε γὰρ αὐτοῖς τὸ συνειδέναι· λοι-

[1] *ἀλλ' οὐδ' ἔδειξεν ἑαυτόν; [2] καὶ οὐδὲν οὐδενὸς [3] ἀσθενές sine puncto. [4] πράγματα. [5] [ἢ μετειληφώς] [6] οὐδὲν οὔτ' εἶπεν, οὔτ' ἐφθέγξατο [7] ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ

Οὐδ' ἔδειξεν] Quid hoc? Harl. Cod. habet ἀλλ' ἔδειξεν ἑαυτόν. *Se ipsum, ut sorex, suo indicio prodidit.* Non negligenda sane lectio. Idem.

Τὸ συνειδέναι] F. τὸ γὰρ συνειδέναι. Markland. Deceptus a vulgari interpungendi ratione, quæ hæc est — ἀσθενές, τὸ συνειδέναι — πράγματα, τοῦτο — Reisk.

Καίτοι ταῦτα] F. καὶ τὰ τοιαῦθ' ἃ μὲν etc. Markland.

Μακρῶν] F. τραγικῶν pro μακρῶν. Suspicor, insignem aliquam depravationem his verbis subesse. Idem. Vana erat istæc suspicio. Reisk.

Ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν δυνηθείη] Observandum hoc loco, cum μετὰ σφοδροῦ τόνου scribitur κἂν, hoc est, cum significat *atque adeo*, vel *etiam*, tunc et optativo et indicativo jungi. Sic Aristophanes, κἂν προσκαταθεῖεν γ' ὥστ' ὀμόσαι τριώβολον. Idem Demosthen. in eadem, [ϛγ'. post med.] ταῦτα κατηγορῶ, ταῦτα μέμνησθε· ἐπεὶ δικαίαν εἰρήνην καὶ ἴσην, καὶ μηδὲν πεπρακότας ἀνθρώπους μηδὲ ψευσαμένους ὕστερον, κἂν ἐπῄνουν καὶ στεφανοῦν ἐκέλευον. *Hæc sunt quæ accuso, quæ vos in memoriam vestram revocate. nam pacem æquam, justamque ego laudarem, ejusque auctores probos viros atque integros corona donandos censuissem.* Cum autem significat καὶ ἐὰν, *quod si*, vel *sin*, vel *etsi*, subjunctivum poscit. Idem in eadem, [§. ξί. *fin.*] κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀποπηδήσεται εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντα ἐμοί. κἂν εἰ vero indicativo jungitur, ut in eadem, κἂν εἰ ταῦτα πάντα ὑπῆρχεν, ἐκεῖνο δὲ μὴ προσῆν, &c. *et si in eo omnia hæc essent.* Ex edit. Hervag.

Ταῦτα ἐμοῦ] F. ταὐτὰ, ex §. ξδ'. *ad init.* et §. ξϛ'. *ad init.* Markland.

Ἐπέλαμπε γὰρ αὐτοῖς] F. αὐτῷ. Nam de solo nunc Æschine loquitur. Felician.

δορεῖσθαι δὲ ἄλλα ἄττα οὐδεὶς ἐκώλυεν αὐτὸν, οὐδὲ βλασφημεῖν.

ξβ΄. Ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος ἀλλ᾽ ἔργον ἤδη. βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δὶς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δὶς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς, ἔχων μάρτυρας πολλοὺς, ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα εὐθύνας, καὶ οὐκ ὄντα ὑπεύθυνον. καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον. τί οὖν
407 ἦν τοῦτο; τῆς προτέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει, δοὺς λόγον, [1] οὐκ ἐβούλετο αὖθις εἰσιέναι περὶ ταύτης, ἧς νῦν εἰσέρχεται, ἐν ᾗ πάντα [2] τὰ ἀδικήματα ἐνῆν· ἐκ δὲ τοῦ δὶς ἐμὲ εἰσελθεῖν, ἀνάγκη περιίστατο καὶ τούτῳ πάλιν εἰσιέναι. διὰ ταῦτα οὐκ εἴα καλεῖν. καί τοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ᾽ ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκότα ἑαυτοῦ τοῦτον, ὥς τε μηδενὶ [3] νῦν ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτοῦ· καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ. εἰ γὰρ εἶχε, τότ᾽ ἂν καὶ λέγων, καὶ κατηγορῶν ἐξητάζετο· οὐ, μὰ Δία, οὐκ ἀπηγόρευε καλεῖν. ὡς τοίνυν ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ξγ΄. Ἀλλὰ μὴν, ἐάν γέ τι ἔξω τῆς πρεσβείας βλασ-

[1] οὐκ ἔτ᾽ ἐβούλετο αὖθις περὶ ταύτης εἰσιέναι [2] τἀδικήματα [3] Deest νῦν.

ἐπελαμβάνετο γὰρ αὐτοῖς. Wolf. F. αὐτῇ. sc. διανοίᾳ, vel αὐτῆς. Markland. Ἐπελαμβάνετο plurimi præter Felician. Immo omnes, arbitror. Et in totidem fere αὐτῆς. Ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ συνειδέναι. *Percioche la facea tirare in dietro la conscienza.* Italus. Taylor.

Ἄττα] Ita Parisienses cum spiritu leni. Credo, tum adspirandum esse, cum significat ὅσα; quam significationem produxit Harpocr. ex hac oratione. Confer §. σγ΄. *in fin.* §. πδ΄. *post med.* Vid. Suid. Etym. M. 167. 35. Idem.

Οὐδεὶς] An οὐδέν? Markland. Ita scribitur in marg. Benenati. Taylor.

ξβ΄. Βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια] F. addendum ποιοῦντος. Ni sit ἐλλειπτικὸν, κατὰ τὰ δίκαια. Wolf. Alibi Idem: βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια ποιεῖν, καὶ, ὥσπερ κ. τ. λ. Taylor. Distingue: βουλομένου γὰρ ἐμοῦ, τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα etc. Sic τὸ παλαιὸν, §. ιδ΄. *a med.* Markland.

Ἀνάγκη περιίστατο καὶ τούτῳ πάλιν εἰσιέναι] Subintelligitur τὸ δικαστήριον. Et εἰσιέναι περὶ γραφῆς, est *postulari et causam dicere.* εἰσιέναι autem τὸν Δία significat ὑποκρίνεσθαι, *subire personam Jovis, et Jovem agere*, ut idem in eadem, ὅτι ἐν πᾶσι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν, ὥσπερ γέρας τι τοῖς τριταγωνισταῖς, τὸ τοὺς τυράννους καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας εἰσιέναι. Ex *edit.* Hervag.

Εὐσεβῶς] Vide supra §. κδ΄. *ad init.* et Priscian. col. 1190. l. 21. Taylor.

ΜΑΡΤΥΡΕΣ] Deleo, quia hic non prodeunt testes, sed interea dum prodeant, orator aliqua dicit abs re non aliena. Auger.

φήμῃ περὶ ἐμοῦ, κατὰ πολλὰ οὐκ ἂν εἰκότως ἀκούοιτε αὐτοῦ· οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί. τί οὖν ἐστι ταῦτα, πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων ὅ, τι ἀπολογήσεται; ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες δικασταί. εἰ ἐκρινόμην μὲν ἐγὼ, κατηγόρει δὲ Αἰσχίνης οὑτοσὶ, Φίλιππος δ' ἦν ὁ κρίνων, εἶτα ἐγὼ μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ, κακῶς ἔλεγον τουτονὶ, καὶ προπηλακίζειν ἐπεχείρουν· οὐκ ἂν οἴεσθε καὶ κατ' αὐτὸ τοῦτο ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου [1] τίς εὐεργέτας κακῶς [2] λέγει; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων [3] ἀναγκάζετε ἀπολογεῖσθαι. λέγε μοι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ. 408

ξδ'. Οὐκοῦν ἐγὼ μὲν ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι δεινὸν, καὶ [4] λόγον διδόναι, καὶ πάντα τὰ ἐκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν· οὑτοσὶ δὲ τἀναντία. πῶς οὖν ταὐτὰ ἐμοὶ καὶ τούτῳ [5] ταῦτα πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ᾐτιᾶτο πρότερον πώποτε; οὐδαμῶς δήπου. ἀλλ' ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως γε. ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, καὶ κρίσεις γίνονται, οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν, ἑάλω· ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττον-

[1] τις [2] λέγοι [3] ἀναγκάζετε αὐτὸν ἀπολογεῖσθαι [4] λόγον ἤθελον διδόναι
[5] Deest ταῦτα.

ξγ'. Ἀπολογήσεται] Ἀπολογήσηται. Markland.

Ἀναγκάζετε] Restitue ἀναγκάζετε αὐτὸν ἀπολογεῖσθαι, cum Benenato, Codd. Harl. et Aug. Taylor.

Λέγε μοι τὴν μαρτυρίαν] Cujusnam rei testimonium? Hæc aut loco suo mota videntur, aut aliquid forte ante ea excidit. Nisi hæc μαρτυρία referenda sit ad modo citatos (p. 289. v. antepen.) μάρτυρας. Quod tamen non puto. Markland.

ξδ'. Ἐμοὶ καὶ τούτῳ ταῦτα] F. πάντα. Ac potius abundat, quia ταὐτὰ antecedit. Wolf. Vid. Var. Lect.

Οὐδεὶς πώποθ' κ. τ. λ.] Ambigue dictum. Vult, *neminem unquam, qui condemnatus fuerit, fassum esse crimen.* Rationem reddit Æschines in Timarch. p. 113. 7. ed. Reisk. quia, οἱ μὲν ἐπ' αὐτοφώρῳ ἁλόντες, ἂν μὲν ὁμολογῶσι, παραχρῆμα τῷ θανάτῳ ζημιοῦνται· οἱ δὲ λαθόντες, καὶ ἔξαρνοι γενόμενοι, κρίνονται ἐν τοῖς δικαστηρίοις. Markland. Recte. Constructio est, οὐδεὶς πώποθ' ἑάλω, ὁμολογῶν ἀδικεῖν. *Niuno mai per confessare il suo errore è stato condemnato.* Ferrus. Aliter Wolfius: οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν, ἑάλω. *Neminem unquam, qui crimen fateretur, esse condemnatum.* Hæc inter se distant plurimum. Vid Lection. Lysiac. Cap. XI. p. 713. Taylor.

ται, πάντα ποιοῦσιν, ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ᾽ ἀφ᾽ ὧν ἴστε αὐτοὶ, τὰ πράγματα κρίναι, μὴ τοῖς ἐμοῖς λόγοις, μηδὲ τοῖς τούτου προσέχειν, μηδέ γε τοῖς μάρτυσιν, οὓς οὗτος ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν, Φιλίππῳ χορηγῷ χρώμενος· ὄψεσθε δ᾽ ὡς ἑτοίμως αὐτῷ μαρτυρήσουσι. μηδέ γε εἰ καλὸν καὶ μέγα οὗτος φθέγγεται, μηδ᾽ εἰ φαῦλον ἐγώ. οὐ γὰρ ῥητόρων, οὐδὲ λόγων κρίσιν ὑμᾶς τήμερον, εἴπερ εὖ φρονεῖτε, προσήκει ποιεῖν· ἀλλ᾽ ὑπὲρ πραγμάτων αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων, τὴν ὑπάρχουσαν αἰσχύνην εἰς τοὺς αἰτίους ἀπώσασθαι, τὰ πεπραγμένα ἃ ἅπαντες ἐπίστασθε [1]ἐξετάσαντες. τίνα οὖν ἐστὶ ταῦτα; ἃ ὑμεῖς ἴστε, καὶ οὐ παρ᾽ ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ. εἰ μὲν γὰρ ἅπαντα, ὅσα [2]ὑπέσχεθ᾽ ὑμῖν, ἐκ τῆς εἰρήνης γέγονε, καὶ τοσαύτης ἀνανδρίας καὶ κακίας ὁμολογεῖτε [3]ὑμεῖς εἶναι μεστοὶ, ὥς τε μήτε ἐν τῇ χώρᾳ τῶν πολεμίων ὄντων, μήτε ἐκ θαλάττης πολιορκούμενοι, μήτε ἐν
409 ἄλλῳ μηδενὶ δεινῷ τῆς πόλεως οὔσης, ἀλλὰ καὶ σῖτον εὔωνον ὠνούμενοι, καὶ [4]τὰ ἄλλα οὐδὲν χεῖρον πράττοντες ἢ νῦν, προειδότες καὶ προακηκοότες παρὰ τούτων, καὶ τοὺς συμμάχους ἀπολουμένους, καὶ Θηβαίους ἰσχυροὺς γενησομένους, καὶ τὰ ἐπὶ Θρᾴκης Φίλιππον ληψόμενον, καὶ τὰ ἐν Εὐβοίᾳ κατασκευασθησόμενα ὁρμητήρια ἐφ᾽ ὑμᾶς, καὶ πάντα ἃ πέπρακται γενησόμενα· εἶτα τὴν εἰρήνην ἐποιήσασθε ἀγαπητῶς, ἀποψηφίσασθε Αἰσχίνου, καὶ μὴ πρὸς τοσούτοις αἰσχροῖς, καὶ ἐπιορκίαν προσκτήσησθε. οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ᾽ ἐγὼ μαίνομαι, καὶ τετύφωμαι, νῦν κατηγορῶν αὐτοῦ. εἰ δ᾽ ἅπαντα τἀναντία τούτων, καὶ πολλὰ, καὶ φιλάνθρωπα εἰπόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις μεί-

[1] ἐξετάσαντας [2] ὑπέσχοντο [3] ὑμεῖς ὁμολογεῖτε [4] τἄλλα

Οὓς οὗτος κ. τ. λ.] Omnia hæc post μάρτυσιν, usque ad μαρτυρήσουσι, v. 6. parenthesi sunt includenda, juxta monitum Cl. Marklandi. Jam ita instituetur Oratio; sc. μὴ τοῖς ἐμοῖς λόγοις, — μηδὲ τοῖς τούτου — μηδὲ τοῖς μάρτυσιν — μηδέ γε εἰ καλὸν, cætera. Ad quam normam reformabis Versionem. Idem.

Εἰ καλὸν μέγα] Forte, εἰ καὶ μέγα. Vel, εἰ καλὸν καὶ μέγα. Wolf. Deerat enim καὶ apud Ald. Taylor.

Φθέγγεται] Vid. Var. Lect.

Ἃ ὑμεῖς ἴστε] Modo dixerat, ἃ ἅπαντες ἐπίστασθε. Markland.

Γενησομένους] Melius cum historia concordabit Cod. August. γεγενημένους: itemque Harl. ex secundis curis. Taylor.

Τετύφωμαι] Vid. Not. περὶ Στεφ. §. 4. in fin.

ζονα ἢ κατ' Ἀμφίπολιν εὖ ποιήσειν ὑμᾶς, ἂν τύχῃ τῆς εἰ-
ρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν· εἰ ταῦτ' εἰπόντες καὶ
ὑποσχόμενοι, πάντα ἐξηπατήκασι, καὶ πεφενακίκασι, καὶ
[1] μόνον οὐ τὴν Ἀττικὴν ὑμῶν [2] παρήρηνται, καταψηφίσασθε,
καὶ μὴ πρὸς τοῖς ἄλλοις οἷς ὕβρισθε,—οὐ γὰρ ἔγωγ' οἶδ'
ὅ, τι χρὴ λέγειν ἄλλο —, καὶ ὑπὲρ ὧν οὗτοι δεδωροδοκή-
κασιν, ὑμεῖς τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν οἴκαδε ἀπενέ-
γκησθε.

ξε'. Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι,
τίνος ἕνεκα ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν
προειλόμην. οὐ γὰρ εὑρήσετε. ἡδὺ πολλοὺς ἐχθροὺς [3] ἔχειν;
οὐδ' αὖ ἀσφαλές. ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά
τις; οὐδεμία. τί οὖν; ἐφοβοῦ περὶ σεαυτοῦ, καὶ διὰ δειλίαν,
ταύτην ἡγήσω [4] σωτηρίαν; καὶ γὰρ ταῦτα ἀκήκοα αὐτὸν
λέγειν· καί τοι, μηδενὸς [5] ὄντος, Αἰσχίνη, δεινοῦ, μηδὲ ἀδι- 410
κήματος ὡς σὺ φῄς. εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, σκοπεῖτε, ὦ ἄν-
δρες δικασταί, εἰ ἐφ' οἷς ὁ μηδοτιοῦν ἀδικῶν ἐφοβούμην ἐγὼ,
μὴ διὰ τούτους ἀπόλωμαι, τί τούτους προσήκει παθεῖν,
τοὺς αὐτοὺς ἠδικηκότας; ἀλλ' οὐ διὰ ταῦτα, ἀλλὰ διὰ τί
σου κατηγορῶ; συκοφαντῶ νὴ Δία, ἵνα ἀργύριον λάβω παρὰ
[6] σοῦ. καὶ πότερον κρεῖττον ἦν μοι, παρὰ Φιλίππου λαβεῖν
τοῦ διδόντος πολὺ, καὶ μηδενὸς τούτων ἔλαττον, καὶ φίλον
κἀκεῖνον ἔχειν καὶ τούτους, — ἦσαν γὰρ ἄν, ἦσαν φίλοι
[7] μοι τῶν αὐτῶν κεκοινωνηκότι, οὐδὲ γὰρ νῦν ἔχθραν πα-
τρικὴν ἔχουσι πρὸς ἐμὲ, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετ-
έσχηκα —, ἢ παρὰ τούτων ἀφ' ὧν εἰλήφασι, μεταιτεῖν,
κἀκείνῳ τε ἐχθρὸν εἶναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμα-

[1] μενονοὺ [2] περιῄρηνται [3] ἔχειν; οὔ· οὐδ' [4] σωτηρίαν. (καὶ - - - λέγειν).
[5] γ' ὄντος [6] σοῦ; [7] μοι φίλοι

Παρῄρηνται] Ita exhibuit Wolfius solus, neque lectorem admonuit, se ab omnibus exemplaribus, tam literis cusis, quam manu exaratis, discessisse. Nam in omnibus, quæ consului, legitur περιῄρηνται. Taylor. Sed et ejus exemplum nimis secure, et sæpe secus, quam criticum decebat, secutus ipse Taylor. Reisk.

Καὶ ὑπὲρ ὧν] Et propter quæ, ὧν refertur ad ἄλλοις. Auger.

ξε'. Καὶ γὰρ ταῦτα ἀκήκοα αὐτὸν λέγειν] Ἀκήκοα ἑτέρων, ὅτι Αἰσχίνης ταῦτα λέγει. Alias, si de ipso Æschine intelligeretur, dicendum esset, ἀκήκοα αὐτοῦ ταῦτα λέγοντος. Wolf.

Εἰ ἐφ' οἷς] Εἰ ἐφ' οἷς οὗτοι ἠδικήκασιν. Lambinus. Nulla omnino necessitate. Taylor.

Ἀλλ' οὐ διὰ ταῦτα κ. τ. λ.] i. e. *Verum esto, ut non propter hæc te accusem: ob quid igitur te accuso? dices, per calumniam* etc. Markland.

Πότερον] F. πότερ' ἄν. Idem.

Καὶ μηδενὸς] *Et nihilominus istis*, i. e. non minus quam isti (nempe, legati sontes) dare poterant. Credo ironice dictum, pro, *multo plus quam isti dare poterant*. Auger.

λώτους ἐκ τῶν ἰδίων τοσούτων χρημάτων λύσασθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τούτων αἰσχρᾶς μετ' ἔχθρας λαμβάνειν; οὐκ ἔστι ταῦτα. ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ, καὶ ἀπεσχόμην τοῦ λαβεῖν, τοῦ δικαίου, καὶ τῆς ἀληθείας ἕνεκα, καὶ τοῦ λοιποῦ βίου, νομίζων, ὥσπερ ἄλλοι τινὲς, παρ' ὑμῖν, καὶ αὐτὸς, ὢν ἐπιεικὴς, [1] τιμηθήσεσθαι, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν, οὐδενὸς κέρδους. μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν, διὰ τὴν τούτων δωροδοκίαν πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων. κατηγορῶ δὲ νυνὶ, καὶ ἐπὶ τὰς εὐθύνας ἥκω, τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι παρ' ὑμῖν, ὅτι τἀναντία ἐμοὶ καὶ τούτοις πέπρακται. καὶ δέδοικα, δέδοι-
411 κα, — εἰρήσεται γὰρ, ὦ ἄνδρες δικασταὶ, [2] πάντα ἃ φρονῶ πρὸς ὑμᾶς —, μὴ τότε μὲν τούτοις συνεπισπάσησθέ με τὸν μηδοτιοῦν ἀδικοῦντα, νῦν δὲ ἀναπεπτωκότες ἦτε. παντάπασι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκλελῦσθαί μοι δοκεῖτε, καὶ παθεῖν ἀναμένειν τὰ δεινά· ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ [3] φυλάττεσθε, οὐδὲ φροντίζετε τῆς πόλεως πάλαι κατὰ πολλοὺς καὶ δεινοὺς τρόπους [4] ἀδικουμένης. οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές; καὶ γὰρ εἴ τι σιωπᾷν ἐγνώκειν, νῦν λέγειν ἐξάγομαι. ἴστε δήπου Πυθοκλέα τουτονὶ, τὸν

[1] τιμηθήσεσθαι, καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο, καὶ οὐκ [2] ἅπανθ'
[3] φυλάττεσθαι, οὐδὲ φροντίζειν [4] ἀδικουμένης,

Ὥσπερ ἄλλοι τινὲς,] Ita distinguendum cum commate post istam vocem. Quod rursus delendum, post δωροδοκίαν. v. 11. id monente Cl. Marklando. Verte autem locum hunc posteriorem: *Istos autem odi, quod improbos esse et sacrilegos in legatione animadverti, et quod etiam privato meo honore sum spoliatus, cum vos propter istorum corruptelas toti legationi succenseretis.* Taylor.

Τιμηθήσεσθαι] In Codd. Reg. et Harl. nostro, post hæc verba scribitur: καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο. Idem.

Μὴ τότε] Sensus videtur poscere, μή ποτε. Jurin.

Ἐκλελῦσθαι κ. τ. λ.] Laudat αὐτολεξεὶ Hermogenes, pag. 250. iterumque 252. Taylor.

Φυλάττεσθε κ. τ. λ.] Totus iste locus, ex MSS. sic legendus: ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθαι, οὐδὲ φροντίζειν τῆς πόλεως· πάλαι δὲ κατὰ τοὺς πολλοὺς καὶ δεινοὺς τρόπους διαφθειρομένης. Obsopœus. Vid. Var. Lect.

Ἀδικουμένης] F. ἠδικημένης. Markl.

Οὐκ οἴεσθε] Verti: *tametsi Resp. multis jamdiu et miris modis lædatur, neque id esse grave et immane putatis,* conjuncta hac clausula cum superiore periodo. Sed videtur ea pertinere potius ad illa, quæ sequuntur, et novam inchoare periodum. *Annon grave, ac pene incredibile videtur esse vobis?* Scil. id, quod de Pythocle dicturus sum. Wolf. Recte. Et Textum cum versione repræsentavi juxta saniorem mentem Wolfii, aliter ac distinguitur in Edit. Luteciana. Taylor.

Πυθοδώρου. τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ. καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. οὗτος ἐκτρέπεταί με νῦν ἀπαντῶν, ἀφ᾽ οὗ πρὸς Φίλιππον ἀφῖκται. κἂν ἀναγκασθῇ [1]πού συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντα ἐμοί· μετὰ δὲ Αἰσχίνου περιέρχεται τὴν ἀγορὰν κύκλῳ, καὶ βουλεύεται, καὶ σκοπεῖ. οὐκοῦν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τοῖς μὲν τὰ Φιλίππου πράγματα ᾑρημένοις θεραπεύειν, οὕτως ἀκριβῆ τὴν παρ᾽ ἐκείνου πρὸς ἑκάτερα αἴσθησιν ὑπάρχειν, ὥστε ἕκαστον [2]ὡσπερανεὶ παρεστηκότος αὐτοῦ, μηδ᾽ ὧν ἂν ἐνθάδε πράξῃ, μηδὲν ἡγεῖσθαι λήσειν, [3]ἀλλὰ φίλους τε νομίζειν οὓς ἂν ἐκείνῳ δοκῇ, καὶ μὴ φίλους ὡσαύτως· τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι, καὶ τῆς παρ᾽ ὑμῶν τιμῆς γλιχομένοις, καὶ μὴ προδεδωκόσι ταύτην, τοσαύτην κωφότητα καὶ [4]τοσοῦτο σκότος παρ᾽ ὑμῶν ἀπαντᾷν, ὥστε τοῖς [5]ἀλητηρίοις τούτοις ἐξ ἴσου νῦν ἐμὲ ἀγωνίζεσθαι, καὶ ταῦτα παρ᾽ ὑμῖν, τοῖς ἅπαντα εἰδόσι.

ξς΄. Βούλεσθε οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον; ἐγὼ δὴ φράσω, ἀξιῶ δὲ [6]μηδὲν ἄχθεσθαί μοι λέγοντι τἀ- 412
ληθῆ. ὅτι ἐκεῖνος μὲν ἕν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν, παντὶ θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας, καὶ μισεῖ τοὺς τἀναντία· ὑμῶν δὲ ἕκαστος [7]πρῶτον μέν, οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν, αὐτὸν εὖ ποιεῖν ἡγεῖται, οὔτε τὸν [8]κακῶς, ἀλλ᾽ ἕτερά ἐστιν ἑκάστῳ προυργιαίτερα, ὑφ᾽ ὧν παράγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργή, [9]χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία. ἂν γὰρ ἅπαντά τις ἐκφύγῃ τἆλλα, τούς γε οὐδένα βουλομένους εἶναι τοιοῦτον, οὐ διαφεύξεται.

[1] πον [2] ὥσπερ ἂν εἰ [3] ἀλλὰ καὶ φίλους νομίζειν [4] τοσοῦτον [5] ἀλιτηρίοις [6] μηδέν᾽ [7] [πρῶτον μὲν,] [8] κακῶς, κακῶς· ἀλλ᾽ [9] χαρίσασθαί τῳ

Φιλανθρώπως] F. τούτῳ πάνυ φιλῳ-πρώνη ἐκεχρήμην ἐγώ. Wolf.

Οὗτος ἐκτρέπεταί με νῦν ἀπαντῶν] Cum accusativo dixit ἐκτρέπεσθαι, pro *decedere via*, non tamen honoris causa, ut cum alicui occurrere nolumus. Cæsar, *Quibus ita interdictum est, iis omnes decedunt, aditum sermonemque defugiunt*, τούτους πάντες ἐξετράπησαν. Aristophanes, ἀλλ᾽ ἐξετρέποντο, κοὐκ ἐδόκουν ὁρᾷν με, id est, *oculis alio aversis transmittebant me, paululum via decedentes.* Ex edit. Hervag.

Οὐκοῦν] F. οὔκουν, *nonne igitur*, interrogationis nota post εἰδόσι posita, v. 17. Markland.

ξς΄. Μηδὲν] F. μηδέν᾽ *neminem.* Sic in Leptin. pag. 479. 7. Ed. Reisk. Sed et μηδὲν ibid. pag. 488. 7. et in Mid. pag. 533. 3. Nil igitur muto. Idem.

Πρῶτον μὲν] Videtur postulare ἔπειτα δ᾽ ἕτερα — sed oratores spernunt aliquando severas grammaticæ leges. Auger.

Χαρίσασθαι] F. τὸ χαρίσασθαι. Markland.

Οὐδένα βουλομένους] Apposite ad hæc

ἡ δ' ἐφ' ἑκάστου τούτων ἁμαρτία, κατὰ μικρὸν ὑπορρέουσα, ἀθρόως τῇ πόλει βλάβη [1]γίνεται. ὧν μηδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον, μηδ' [2]ἀνῆτε τοῦτον, ὃς ὑμᾶς τηλικαῦτα ἠδίκηκε. καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τουτονὶ, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. τί οὖν; ὁ μὲν, πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν, τοὺς αἰχμαλώτους ἐκ τῶν ἰδίων ἐλύσατο· ὁ δὲ, ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζε καὶ ἰχθῦς περιιών. καὶ ὁ μὲν, τὸν υἱὸν ἔπεμψε Φιλίππῳ πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρύνων· ὁ δ' οὐδὲν ἀνάξιον οὔτε τῆς πόλεως, οὔτε αὑτοῦ διεπράξατο. καὶ ὁ μὲν, χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ' ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν, λύεσθαι τοὺς αἰχμαλώτους, μηδένα
413 ἐν συμφορᾷ τῶν πολιτῶν δι' ἔνδειαν περιορᾶν· ὁ δὲ, τοσούτου δεῖ τῶν [3]ὑπαρχόντων τινὰ αἰχμάλωτον σῶσαι, ὥσθ' ὅλον τόπον, καὶ πλείους ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ δὲ [4]πλείους ἢ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων, ὅπως αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασε. τί οὖν

[1] *γίνεται βλάβη* [2] *ἀφῆτε* [3] [*ὑπαρχόντων*] *τινὰ αἰχμαλώτων*
[4] Desunt v. *πλείους ἢ*.

verba leve scholium, quod sequitur, exaratur in marg. Altemps. scil. *Οὐ γὰρ οἱ κακοὶ δικασταὶ, τῶν ἀγαθῶν τῷ φθόνῳ, καὶ οἱ ἀγαθοὶ, τῶν κακῶν τῷ μίσει, ἀποψηφίζονται· οὔτε κακὸς ἀγαθὸν, οὔτ' ἀγαθὸς κακὸν δικαστὴν διαφεύξεται.* Sed neque hoc rem attingit, neque quod produxit Ulpianus. Quid autem statuendum sit de hujus loci, vel sententia, vel sinceritate; de auctoris mente, vel scripturæ veritate, id judicent alii. Id interea scio: bene conjungi cum superioribus ea, quæ sequuntur, si totum hoc comma [*ἂν γὰρ—διαφεύξεται*] facesseret. Taylor.

Ἀθρόως] Opponitur *τῷ κατὰ μικρὸν*, ideoque non optime redditur a Wolfio. Potius, *Uno ictu*. Bene distinxit Hieron. Ferrus: *à poco à poco — à un tratto*. *Πάντων δ' ἀθρόως, καὶ ὑφ' ἕνα καιρὸν — κολασθέντων.* Philo de Providentia apud Euseb. Præpar. Evang. lib. 8. Taylor.

Ἀνῆτε] Vid. Var. Lect.

Πρὸς τῷ] Cum libris omnibus. Operarum fuisse vitium arbitror, cum Wolfius emisit *πρὸς τὸ — μηδὲν* — Taylor.

Ἀπέδοτο] Philocrates nempe. *Ἐκ τύχης δὲ καὶ διὰ τύχην Φιλοκράτης λαβὼν χρυσίον παρὰ Φιλίππου, πόρνας καὶ ἰχθῦς ἠγόραζε, καὶ Λασθένης καὶ Εὐθυκράτης ἀπώλεσαν Ὄλυνθον, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις εὐδαιμονίαν.* Plutarch. de Fortuna, init. Adde, quæ dicemus infra ad §. *οϛ'*. *a med.* v. *Λασθ.* Idem.

Οὔτε αὑτοῦ] Usitatius *οὐδ' αὑτοῦ*. Markland. Et ita edidit Reiske.

Τριηραρχῶν] Distinguas: *χορηγῶν καὶ τριηραρχῶν, ἔτι καὶ ταῦτ' ᾤετο δεῖν, ἐθελοντὴς* κ. τ. λ. Markland. Sic distinctum est in ed. Parisina, sed secus in Wolfiana. Reisk.

Τῶν ὑπαρχόντων] F. *ἐκ τῶν ὑπαρχόντων*. Markland.

Ὁμοῦ] Male Wolfius interpretatur *simul*. *Ὁμοῦ* in computo est *prope*, *pene*, etc. ut pluribus declaravi ad Orat. c. Aristogit. pag. 785. 23. ed. Reisk. Certe istud *πλείους ἢ*, quod sequitur, et quod meæ Crisi non mediocriter officit, natum est ex linea superiori, et abesse et potest, et debet. Deest in Lind. et Harl. *milites amplius decies mille, et pene mille equites*. Tayl.

μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες· ᾔδεσαν μὲν γὰρ πάλαι· τί [1]δέ; τοὺς μὲν χρήματα εἰληφότας, καὶ δῶρα, καὶ καταισχύναντας ἑαυτούς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας, ἀφίεσαν, καὶ νοῦν ἔχειν ἡγοῦντο, καὶ τὴν πόλιν εὐθηνεῖσθαι. τὸν δὲ κατηγοροῦντα τί; ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ [2]ῥίπτοι. καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ἰδὼν τὸ παράδειγμα, δίκαιον αὑτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν; εἰ μήτε λαβεῖν, μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; ὥστε οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ· ἀλλὰ καὶ νόμον [3]τούτοις τίθεσθε εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει, ἢ προῖκα ὑπὲρ ὑμῶν τὰ βέλτιστα ἀδωροδοκήτως. ἀλλὰ μὴν περὶ μὲν τῶν ἄλλων, οὐδενὸς προσδεῖσθε μάρτυρος· ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδα ἐπ' αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν· εἰ δέ τις ὢν ἐφ' [4]ἡλικίας, τὴν ἰδέαν ἑτέρου βελτίων, μὴ προειδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον τῷ μετὰ ταῦτα ἐχρήσατο βίῳ, τοῦτον ὡς πεπορνευμένον κέκρικε. 414

ξζ'. Φέρε δὴ περὶ τῆς ἑστιάσεως καὶ τοῦ ψηφίσματος εἴπω. μικροῦ γε, ἃ μάλιστά [5]με δεῖ πρὸς ὑμᾶς εἰπεῖν,

[1] δαί;
[2] ῥιπτοῖ
[3] Deest τούτοις.
[4] ἡλικίας ἑτέρου βελτίων τὴν ἰδέαν
[5] μ' ἴδει

Λαβόντες] Verte: *quid igitur secutum est? Athenienses, cum ii essent adducti (olim enim senserant)* etc. MARKLAND.

Ἀθηναῖοι λαβόντες] *Athenienses accipientes sontem*, i. e. cum is apud ipsos adductus esset reus. AUGER.

Τί δέ;] Est interrogatio alicujus qui gestit scire quid factum sit. Totus hic locus est vivida duorum colloquii assimulatio. IDEM.

Εὐθηνεῖσθαι] Vid. Var. Lect.

Ῥίπτοι] Iterum Wolfius ab omnibus tacitus discedit, qui ῥίπτοι habent, ῥιπτοῖ, et ῥιπτῇ. Qui ῥίπτοι nullus. TAYLOR.

Εἰ μήτε λαβεῖν κ. τ. λ.] *Si contingat ut non accipere non videatur apud vos fide dignius iis etiam qui accipiunt*, i. e. si non accipiens non videatur apud vos fide dignior iis etiam qui accipiunt. AUGER.

Τούτοις] Τούτους. MARKLAND.

Τούτων] Scribe τούτου, *hujus rei*. IDEM.

ΜΑΡΤΥΡΕΣ] Hic, ut paulo superius deleo, quia nondum testes prodeunt, sed antequam prodeant nonnulla dicit Orator. AUGER.

Ἔκρινεν] Ἔκρινεν hoc loco est κατηγόρησεν, *accusavit, reum detulit*, ut alibi etiam in eo significatu reperitur. PALMER. Nos uberrime ad Lycurgum, §. 2. TAYLOR.

ξζ'. Μικροῦ γε] Verba sic ordino: μικροῦ

παρῆλθον. τῆς πρώτης ἐκείνης πρεσβείας, γράφων τὸ προβούλευμα ἐγὼ, καὶ πάλιν ἐν τῷ δήμῳ, ταῖς ἐκκλησίαις, ἐν αἷς [1] ἐμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης, οὐδενὸς οὔτε λόγου πω παρὰ τούτων, οὔτ' ἀδικήματος ὄντος φανεροῦ, τὸν νόμον ἔθος ποιῶν, καὶ ἐπῄνεσα τούτους, καὶ εἰς τὸ πρυτανεῖον ἐκάλεσα· καὶ, νὴ Δί', ἔγωγε καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γε, ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς. ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς, καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους, ὡς εὐδαίμονας καὶ λαμπροὺς, εὐθὺς ἡγούμην ἐν τούτοις πρῶτος αὐτὸς περιεῖναι δεῖν αὐτῶν, καὶ μεγαλοψυχότερος φαίνεσθαι. ταῦτα δὴ παρέξεται νῦν οὗτος, λέγων, ὡς αὐτὸς ἐπῄνεσεν ἡμᾶς, καὶ αὐ-

[1] ἠμέλλετε

παρῆλθον τῆς πρώτης πρεσβείας (S. ταῦτα), ἃ μὲ μάλιστα εἰπεῖν πρὸς ὑμᾶς. Et postea v. 1. p. seq. ἐγὼ γράφων τὸ προβούλευμα (S. ἐν τῇ βουλῇ) καὶ πάλιν ποιῶν τὸν νόμον ἔθος, καὶ ἐπῄνεσα τούτους ἐν τῷ δήμῳ, οὐδενὸς οὔτε λόγου, οὔτε ἀδικήματος, παρὰ τούτων ὄντος φανεροῦ ταῖς ἐκκλησίαις, ἐν αἷς etc. καὶ εἰς τὸ πρυτανεῖον ἐκάλεσα. Pro μικροῦ γε malim μικροῦ γάρ. Hujus loci prima Conversio mea sic habet: *Age igitur, jam de convivio et decreto dicam. Propemodum sane, quæ potissimum ad vos dicenda sunt, preterissem. Primæ illius legationis S. C. ego cum scriberem, et rursus apud populum in iis concionibus, quibus deliberaturi eratis de pace, cum nullum isti etiamnum verbum fecissent, neque de ullo eorum facinore constaret, consuetudinis jure usus et laudavi istos, et in curiam invitavi.* Qua, cui visum fuerit, utatur. Est enim locus hic non ita planus, ut non aliis aliter interpretandus esse videatur. Sed hac Editione, hanc, quam posui, distinctionem sum secutus: quod ἐν τῷ δήμῳ ταῖς ἐκκλησίαις neque ἐξηγητικῶς, neque, si τὸ καὶ adderetur, conjungi commode viderentur. Sic igitur verto: *Nam parum abfuit, quin ea primæ legationis acta, quæ me in primis vobis referre oportet, præterirem. Ego, cum S. C. scriberem, ac rursus apud populum (cum quidem iis concionibus, in quibus de pace deliberaturi eratis, nihil dum neque de rationibus istorum, neque de injuriis, constaret) consuetudinis jure usus eos et laudavi, et in curiam invitavi.* Wolf. F. μικροῦ γάρ. Et ita legisse videtur Wolfius. Deinde, v. ult. pro με δεῖ fortasse μ' ἴδει. Markland. Μικροῦ γὰρ Ven. Et με ἴδει, vel μ' ἴδει plurimi. Taylor.

Τῆς πρώτης] F. ad. ἐπανελθούσης, reversa *prima illa legatione.* Auger.

Παρῆλθον] Satius est cum MStis, παρῆλθεν. Immo necessarium arbitror. Tayl.

Λόγου] *Rationibus* Wolfius. Ægre ferrem. *Cum nullus adhuc neque sermo de iis increbuit, neque facinus constaret:* Vel, cum Etrusco, *non essendo anchora nota niuna parola, ne ingiuria de costoro.* Quod præstat. Utcunque id sit, hæc verba parenthesi sunt includenda. Idem.

Τὸν νόμον ἔθος ποιῶν] *Ex lege consuetudinem faciens.* Videtur Ὑπαλλαγὴ, τὸ ἔθος νόμον ποιῶν. Nisi forte aliter legendus sit hic locus. Wolf. F. τὸ ἔννομον, *morem legitimum.* Markland. Variant MSti τὸ κοινὸν νόμιμον ἔθος ποιῶν, plurimi: id quod Obsopœo arrisit. Suspicor autem, vel κοινὸν, vel νόμιμον glossam esse. Quod confirmatur ab optimis exemplaribus Harl. et Aug. in quibus exaratur τὸ κοινὸν ἔθος ποιῶν. Taylor. *Consuetudinem pro lege accipiens.* Hic transfero καὶ et lego: καὶ τὸν νόμον ἔθος ποιῶν ἐπῄνεσα. Auger.

Μεγαλοψυχότερος] Ἀντὶ τοῦ, μεγαλοπρεπέστερος. Sic supra, in Satyri fabula, §. νέ. ἤ τινα ἐν αὐτῷ μικροψυχίαν ὑπεροπτικὸς εἴη, ἀντὶ τοῦ, μικροπρέπειαν. Unde Cicero: *Nihil*, inquit, *est animi tam angusti, tamque parvi, quam amare pecuniam.* Wolf.

Ὡς αὐτὸς] Inducit Æschinem directe loquentem. Αὐτὸς, ipse, nempe Demosthenes. Ὡς vacat, ut sæpius alias. Auger.

τὸς εἱστία τοὺς πρέσβεις· τὸ πότε, οὐ [1] διορίζων. ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι, καὶ φανεροὺς τούτους πεπρακότας [2] αὑτοὺς γενέσθαι· ὅτε ἄρτι μὲν ἧκον οἱ πρέσβεις [3] τὸ πρῶτον, ἀκοῦσαι δὲ ἔδει τὸν δῆμον τί λέγουσιν, οὐδέπω δὲ οὐθ' οὗτος συνεργῶν δῆλος ἦν τῷ Φιλοκράτει, οὔτ' ἐκεῖνος τοιαῦτα γράφων. ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους, ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι. μετὰ ταῦτα δὲ, οὐδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον, οὐδὲ κοινὸν γέγονε. λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

ξή. Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης, καὶ Ἀφόβητος· πρὸς οὓς ἀμφοτέρους ὑμῖν πολλὰ καὶ δίκαιά 415
ἐστιν εἰπεῖν. ἀνάγκη δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ παῤῥησίας διαλεχθῆναι, μηδὲν [4] ὑποστελλόμενον. ἡμεῖς, Ἀφόβητε, καὶ σὺ, Φιλόχαρες, [5] ἴσμεν σὲ μὲν τὰς ἀλαβαστροθήκας γράφοντα, καὶ τὰ τύμπανα, τούτους δὲ [6] γραμματέας καὶ τοὺς τυχόντας ἀνθρώπους—καὶ οὐδεμιᾶς κακίας

[1] προσδιορίζων [2] ἑαυτοὺς [3] τοπρῶτον [4] ὑποκρινόμενον [5] [ἴσμεν] [6] ὑπογραμματέας

Ἔστι δὲ ταῦτα] Adde vel subaudi πεπραγμένα, *hæc autem facta sunt*. i. e. latum est decretum. Idem.

ξή. Ὑποκρινόμενον] Fortassis allusit ad Æschinis Histrionicam. Alioqui dicere solet, μηδὲν ὑποστειλάμενον. Wolf. Editio autem Wolfiana ὑποστελλόμενον habet. Vid. Var. Lect.

Ἴσμεν] Quid si ὑμᾶς? Ut referatur ad ἠξιώσαμεν, et sit Prolepsis. Alioqui Constructio parum consentanea est, φαρμάκων δεομένη σοφῶν. Etsi autem veterem conversionem haud muto, malim tamen sic interpretari (quod quidem ad verborum proprietatem attinet): *Nos, Aphobete, vos, et Tu, Philochares, Te quidem, cum alabastrothecas et tympana pingeres, Istos autem* (Aphobetum et Æschinem, ut exponit Ulpianus) *notarios et vulgares homines (quæ ut ab omni improbitate remota sunt, sic neque imperii dignitatem merentur) legationibus, imperiis, maximis honoribus, ornavimus.* Wolf.

Ἀλαβαστροθήκας] Ἀλαβαστοθήκας Lambinus. Atque ita hanc vocem citat Suidas: Ἀλαβαστοθήκας, τὰς θήκας τῶν ἀλαβάστων, Δημοσθένης λέγει. Ita etiam legi voluit Maussacus ad Harpocrat. Vide Not. p. 22. ubi de hoc genere vasis disserit. Licet Suidæ Ἀλάβαστρον non sit ignotum, uti liquet ex proximo articulo istius Lexicographi. Utroque modo apud antiquos scribitur, verum Ἀττικώτερον est sine ῥῶ. Vid. doctissimum Alberti ad Hesych. v. Ἀλάβαστος. De Alabastrothecis vide Ulpianum ad h. l. Illustriss. Spanheimium ad Callimach. Hymn. in Lavacr. Pallad. v. 13. Taylor. Et sic, sine ρ, bis exhibet Harpocration v. ἀλαβαστοθῆκαι h. l. laudans. Reisk.

Τούτους] Scil. fratres tuos, Æschinem et Aphobetum. Markland.

Γραμματέας] Nulla auctoritate, nullis rationibus, discedit ab omnibus ubique exemplaribus Wolfius noster. Restitue ex iis dictum satis cum amaritudine, ὑπογραμματέας. Miror sane ridiculam hanc Wolfii licentiam. Taylor.

Καὶ οὐδεμιᾶς] Punge cum accuratissimo Marklando: τούτους — τυχόντας ἀνθρώπους· καὶ οὐδεμιᾶς κακίας ταῦτα; ἀλλ' οὐδὲ στρατηγίας γε ἄξια· πρεσβειῶν — ἠξιώσαμεν. Idem.

ταῦτα, ἀλλ' [1]οὐδὲ στρατηγίας γε ἄξια—πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν. εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκει μηδεὶς, οὐχ ἡμεῖς χάριν ὑμῖν οὐδενὸς, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων. πολλοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες ἡμεῖς ὑμᾶς ἐσεμνύνομεν. εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως, ἢ σώζοισθε; ἐγὼ μὲν οἶμαι πολλῷ. βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὸ, συγγνώμη ἀδελφῷ βοηθεῖν, προσειληφότες. ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖνο ἐνθυμούμενοι, ὅτι τούτοις μὲν, τούτου προσήκει φροντίζειν· ὑμῖν δὲ, τῶν νόμων, καὶ ὅλης τῆς πόλεως, καὶ παρὰ πάντα, τῶν ὅρκων, οὓς αὐτοὶ κάθησθε ὀμωμοκότες. καὶ γὰρ [2]εἴ τινων δεδέηνται τουτονὶ σώζειν, πότερ', ἂν μηδὲν ἀδικῶν φαίνηται τὴν πόλιν, ἢ κἂν ἀδικῶν, σκοπεῖτε. εἰ μὲν [3]γὰρ μὴ ἀδικῶν, κἀγὼ φημὶ δεῖν· εἰ δ' ὅλως κἂν ὁτιοῦν, ἐπιορκεῖν δεδέηνται. [4]οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ ψῆφος, λήσει τοὺς θεούς· ἀλλὰ [5]καὶ τοῦτο, καὶ πάντων ἄριστα ὁ τιθεὶς τὸν νόμον εἶδε, [6]τὸ κρύβδην ψηφίζεσθαι. διὰ τί; ὅτι τούτων μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κεχαρισμένον ὑμῶν· οἱ
416 θεοὶ δὲ εἴσονται καὶ τὸ δαιμόνιον, τὸν μὴ τὰ δίκαια ψηφι-

[1] οὐδέ γε στρατηγίας [2] εἰ τινῶν [3] γὰρ ἂν * μηδὲν ἀδικῶν [4] οὐδὲ γὰρ, [5] Deest καί. [6] τοῦ

Εἰ δὲ δὴ καὶ ἐν] Hermogenes de Ideis Oratt. Tom. II. bis hunc locum laudat: εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς, οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον μισοῖσθ' ἂν διὰ ταῦτα δικαίως, ἢ σώζοισθε; εἶτά ἐστιν ὁ ἀπόλυτος μερισμὸς, οὐδὲν ἀλλ' ἢ ἐπίκρισις ὤν· οἷον ἐγὼ μὲν οἶμαι πολλῷ. Pag. 353. Versus 368. εἰ δὲ καὶ ἐν αὐτοῖς, οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, πόσῳ μᾶλλον μισοῖσθ' ἂν, ἢ σώζοισθε δικαίως; εἶτα ἡ ἐνδοίασις μετ' ἐπικρίσεως· ἐγὼ μὲν οἶμαι πολλῷ. IDEM.

Τοιαῦτα] F. καὶ ταῦτα τὰ τοιαῦτα, *præsertim in talibus* et tantis *rebus*. MARKL.

Πόσῳ] Potius πῶς οὐ μᾶλλον ἂν μισοῖσθε δικαίως, ἢ σώζοισθε; Ita marg. Benenati; atque emendatissima exemplaria, Harl. et Aug. TAYLOR.

Καὶ τὸ] *Et illud jactantes*, nempe, *est venia fratri opitulari.* Subaudi ἐστὶ ad συγγνώμην. AUGER.

Συγγνώμην ἀδελφῷ βοηθεῖν] S. εἶναι. Videtur παροιμιῶδες εἶναι. WOLF. Lege συγγνώμη, uti habet margo Benenati, licet solus. Effatum illud, et quod Terentius vocat *honestam orationem*, (non enim, ut Wolfius, est Adagium aliquod) sæpius proferentes: *Ignoscendum est, si quis fratri opitulari nitatur.* TAYLOR.

Καὶ γὰρ] *Et enim si isti rogarunt vestrum aliquos.* AUGER.

Εἶδε] F. διεῖλε, ut c. Aristocrat. p. 637. 13. Ed. Reisk. Vel εἶπε, ut hac Orat. §. γ'. *in fin.* ὁ μέντοι τὸν νόμον τιθεὶς — ἁπλῶς εἶπε etc. MARKLAND.

Ὅτι τούτων μὲν κ. τ. λ.] *Quia nemo reus sciturus est, quis vestrum sibi gratiam contulerit.* ubi etiam αὐτῷ dicere poterat, hoc est, *quis vestrum ipsi suffragio suo indulserit.* ἑαυτῷ enim χαρίζεσθαι cum dico, hoc intelligi volo, *ipsum animo suo obsequi.* atque ita composita pronomina pro simplicibus, et simplicia pro compositis accipiuntur. *Ex edit.* HERVAO.

Οἱ θεοὶ δὲ εἴσονται καὶ τὸ δαιμόνιον] Post deos, τὸ δαιμόνιον, ut majus numen dixit.

σάμενον. παρ' ὧν κρεῖττόν ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς παισὶ καὶ ἑαυτῷ, τὰ δίκαια γνόντα καὶ τὰ προσήκοντα, περιποιήσασθαι, ἢ τὴν ἀφανῆ καὶ ἄδηλον χάριν [1] τούτοις καταθέσθαι, καὶ ἀφεῖναι τοῦτον, ὃς αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκε.

ξθ'. Τίνα γὰρ, Αἰσχίνη, μάρτυρα μείζω παράσχωμαι τοῦ πολλὰ καὶ δεινὰ πεπρεσβεῦσθαί σοι, ἢ σε κατὰ σεαυτοῦ; ὃς γὰρ ᾠήθης χρῆναι τὸν φανερόν τι ποιῆσαι βουληθέντα τῶν σοὶ πεπρεσβευμένων, τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλον ὅτι δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοινθ' οὗτοι τὰ πεπραγμένα σοι. τοῦτο τοίνυν, ἄνπερ ὑμεῖς εὖ φρονῆτε, καθ' αὑτοῦ συμβήσεται τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ τοῦθ', ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων· ἀλλ' ὅτι καὶ [2] κατηγορῶν, ἐκείνους τοὺς λόγους εἶπεν, οἳ κατ' αὐτοῦ νῦν ὑπάρξουσιν. ἃ γὰρ ὡρίσω σὺ δίκαια, ὅτε Τίμαρχον ἔκρινες, [3] ταῦτα δήπου ταὐτὰ καὶ κατὰ σοῦ προσήκει τοῖς ἄλλοις ἰσχύειν. [4] ἔλεγε τοίνυν τότε πρὸς τοὺς δικαστὰς, ὅτι Ἀπολογήσεται δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ, καὶ κατηγορήσει τῶν ἐμοὶ πε-

[1] τούτοις χάριν [2] κατηγορῶν *ἐκείνου, [3] ταὐτὰ δήπου ταῦτα [4] *ἔλεγες

Cum enim *τὸ δαιμόνιον καὶ τὸ θεῖον* dicebant, *deum supremum, divinitatemque mundi moderatricem* intelligebant. Sed et philosophi *deos* cum dicebant, *numina vulgi opinione consecrata* significabant, Dei vero appellatione unum intelligi, supremumque numen dignum esse censebant, cujus imperio et potestate omnia administrarentur, id cum Macrobius docuit, tum vero Plato in epistolis. Plura Bud. in Comment. Idem.

Ἢ τὴν ἀφανῆ καὶ ἄδηλον χάριν τούτοις καταθέσθαι] Id est, *quam ab istis occultam et incertam gratiam inire*, a reo scilicet absoluto, et ab ejus amicis, qui ignorabunt damnantes et absolventes. passiva voce usus est verbo *κατατίθημι*, quo Lucianus quoque pro *rependere gratiam*, et *paria facere* sæpe utitur. Idem Demosthenes alibi, *οἰόμενος εἰς τὴν ἄνθρωπον χάριν καταθέσεσθαι*, *existimans a muliere gratiam se initurum*, hoc est, *καταχαριεῖσθαι*. Latine *collocare gratiam* dicitur. Idem.

ξθ'. Τίνα] F. Τίνα γὰρ ἂν, Αἰσχίνη, κ.τ.λ. propter *παράσχωμαι*. Markland.

Πεπρεσβεῦσθαί σοι] Puto παραπεπρεσβεῦσθαί σοι. Alioquin ineptum esset τὸ πολλά. Jurin. Similiter etiam infra §. σγ'. *ad init.* erratum esse arbitror: Ἄνθρωπος πολλὰ καὶ δεινὰ πεπρεσβευκώς. Interea tamen minus necessaria conjectura illa Lambini, v. 8. φανερόν τι ποιῆσαι — τῶν σοὶ πεπρεσβευμένων, ubi commendavit παραπεπρεσβευμένων (voluit dicere παραπεπρεσβευμένων), atque etiam, quæ mihi olim placebat, v. 13. παμμέγεθες σημεῖον τῶν παραπεπρεσβευμένων. Licet hoc potius mutari debuit, quam illud. Taylor.

Ταῦτα δήπου ταὐτὰ] Αὐτὰ δήπου ταῦτα Wolf. Ταὐτὰ δήπου ταῦτα Cod. Aug. Cæteri omnes, tam cusi, quam manu exarati, (a qua lectione tacitus abire non debuit Wolfius in sua Impressione) ταῦτα δήπου ταῦτα cum emphasi et quadam vehementia. Taylor.

Τοῖς ἄλλοις] F. παρὰ τοῖς ἄλλοις. Markland.

Δὲ Δημοσθ.] Exsulare debere videtur istud δέ. Jurin. Deest quidem in Reg. a. Sed non recte. Vide præstantissimum D'Orvillium ad Chariton. Aphrodis. VII. 1. fin. Verba enim ita non sunt

πρεσβευμένων· εἶτα ἂν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται, καὶ περιϊὼν ἐρεῖ, πῶς; τί; τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως, ᾠχόμην τὸ πρᾶγμα αὐτῶν ὑφελόμενος. μὴ σύ γε· ἀλλ' ὑπὲρ ὧν ἀγωνίζῃ, ὑπὲρ τούτων ἀπολογοῦ —. τότε δὲ, ἡνίκα ἐκεῖνον ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ λέγειν ὅ, τι ἐβούλου. ἀλλὰ μὴν, καὶ ἐπὶ τοῖς δι-
417 κασταῖς ἔλεγες, οὐδένα μάρτυρα ἔχων, ἐφ' οἷς ἔκρινες τὸν ἄνθρωπον, παρασχέσθαι,

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
Λαοὶ [1]φημίζωσι· [2]θεός νυ τίς ἐστι καὶ αὐτή.

οὐκοῦν, Αἰσχίνη, καὶ σὲ πάντες οὗτοι χρήματα ἐκ τῆς πρεσβείας [3]φασὶν εἰληφέναι· ὥστε καὶ κατὰ σοῦ δήπουθεν

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
Λαοὶ [4]φημίζωσιν.

ὅσῳ γὰρ αὖ σε πλείους ἢ ἐκεῖνον αἰτιῶνται, θεώρησον ὡς

[1] φημίξωσι [2] θεός νύ τίς ἐστι [3] φασὶν ἐκ τῆς πρεσβείας
[4] φημίξωσι. θεός νύ τις ἐστὶ καὶ αὐτή. ὅσῳ

accipienda: ἔλεγε τότε, ὅτι ἀπολογήσεται Δημοσθένης — *Tum dixit, quod Demosthenes defensionem parabit*, vel, *Demosthenem defensurum esse*. Verum hoc potius pacto: scil. ἔλεγε τότε, ὅτι — (*Tum hac oratione usus est*, NEMPE) "Ἀπολογήσεται δὲ Δημοσθένης — Ea nempe voluit putari *ipsissima* verba Æschinis, et sunt: quæ, juxta distinctionem Italici Interpretis, continuantur usque ad vocem ἀπολογοῦ." v. 5. p. seq. TAYLOR.

Τῷ λόγῳ] Futilis Versio, *a causa abduxerit*. Quæ si mens Demosthenis fuisset, scripsisset procul dubio eadem syntaxi, qua statim scribit, τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως. Recte Anonymus Interpres: *si vos orando seduxerit*. TAYLOR.

Πῶς; τί;] Est dialogus inter Demosthenem et ipsius amicos. *Quomodo res peracta est? quid egisti?* Deinde responsio Demosthenis. AUGER.

Μὴ σύ γε] Wolfius, *nequaquam vero*. Potius, *Tu ne ita feceris*. JURIN. Est Demosthenis orationem convertentis ad Æschinem. AUGER.

Ὑπὲρ — ὑπὲρ] Melius utroque in loco περὶ cum MSS. TAYLOR.

Τὸν ἄνθρωπον παρασχέσθαι] Dubia est Distinctio, utrum ἔκρινες τὸν ἄνθρωπον, an, παρασχέσθαι τὸν ἄνθρωπον. Sed quia Æschines Fama nititur, loco Testium, legendum videtur: ἐφ' οἷς ἔκρινες τὸν ἄνθρωπον, τὴν φήμην παρασχέσθαι. Ut enim in Orat. Æschinis (aliter enim dixisse, quam scripsisse, probabile est) hæc verba ipsa non sint, sententia tamen est eadem. Quare vertere malim: *Atqui et apud judices dicebas, Te, qui nullo teste crimen homini objectum probare posses, Famam testem producere*. WOLF. Et meo quidem judicio emendatius: quia Æschines loco testium famæ innixus est. BROOK. Male Wolfius: *Quin et ad judices dicebas, Te, qui nullum actionis tuæ testem haberes, ipsum hominem exhibere*. Transferendum potius: *Quin et apud judices, cum earum rerum, quarum hominem accusabas, testem omnino nullum posses exhibere, dicebas*. JURIN.

Τὸν ἄνθρωπον, παρασχέσθαι] Aliter distinxit Wolfius, sed non bene. MARKLAND. Recte etiam Ulpianus: Οὐδένα μάρτυρα δυνάμενος παρασχέσθαι ἐπὶ τούτοις, ἐφ' οἷς Τίμαρχον ἔκρινες. TAYLOR.

Φημίζωσι] Codd. MSti, et Impressi, pariter ut in Orat. Æschinea, περὶ παραπρ. φημίξωσι vel φημίξουσι. Ita fere variatur in illa altera c. Timarch. Atque etiam eadem est inconstantia scribendi in MStis Hesiodi. IDEM.

ἔχει. τὸν μὲν Τίμαρχον, οὐδ' οἱ πρόσχωροι πάντες ἐγίγνωσκον· ὑμᾶς δὲ τοὺς πρέσβεις, οὐδεὶς Ἑλλήνων, οὐδὲ Βαρβάρων ἔσθ' ὅς τις οὐ φησὶ χρήματα ἐκ τῆς πρεσβείας εἰληφέναι. ὥστ' [1] εἴπερ ἀληθὴς ἡ φήμη, καὶ καθ' ὑμῶν ἐστὶν ἡ παρὰ τῶν πολλῶν. ἣν ὅτι πιστὴν εἶναι δεῖ, καὶ [2] θεός νυ τὶς ἐστὶ καὶ αὐτὴ, καὶ ὅτι σοφὸς ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.

ό. Ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέραινεν· οἷον,

Ὅς τις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὐ πώποτ' ἠρώτησα· γιγνώσκων, ὅτι
Τοιοῦτός [3] ἐστιν οἷς περ ἥδεται ξυνών.

εἶτα τὸν εἰς [4] τοὺς ὄρνις εἰσιόντα, καὶ μετὰ Πιτταλάκου περιϊόντα, καὶ τοιαῦτ' εἰπὼν, ἀγνοεῖτ', ἔφη, ποῖον τινα ἡγεῖσθαι δεῖ; οὐκοῦν, Αἰσχίνη, καὶ κατὰ σοῦ τὰ ἰαμβεῖα ταῦθ' ἁρμόσει νῦν ἐμοί· κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς καὶ προσηκόντως ἐρῶ. ὅστις δ' ὁμιλῶν ἥδεται, καὶ [5] ταὐτὰ πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γινώσκων, ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν. λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους, καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις 418
ὢν ἔνοχος. ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα ἐκ Φοίνικός ἐστιν Εὐριπίδου. τοῦτο δὲ τὸ δρᾶμα, οὐδεπώποτε, οὔτε Θεόδωρος, οὔτε Ἀριστόδημος ὑπεκρίνατο, οἷς οὗτος τὰ τρίτα λέγων

[1] εἴπερ ἐστὶν ἀληθὴς [2] θεός νύ τίς ἐστι [3] ἐστιν ἕκαστος οἷσπερ
[4] τὰς [5] ταῦτα

Ἀληθὴς] Restitue verbum cum Ulpiano et plurimis membranis: ὥστ' εἴπερ ἐστὶν ἀληθὴς ἡ φήμη. Idem.

Ὁ ποιητὴς] Abest ab uno exemplari. Cur non ab omnibus? Age consule auriculas, et judica: Σοφὸς ἦν ὁ ταῦτα ποιήσας. Et, Σοφὸς ἦν ὁ ποιητὴς, ὁ ταῦτα ποιήσας. Existimavit sedulus glossographus, lectorem latere potuisse notionem τοῦ ποιεῖν, i. e. *versus facere*: adeoque exadversum his verbis ὁ ποιήσας, admonuit, idem id esse, ac si scripsisset Auctor ὁ ποιητής. Idem.

6. Τοιοῦτος] Malim Τοιοῦτός ἐσθ' οἷοισπερ, ut et in Timarchea notavi. Wolf. Ita Markland.

Εἶτα τὸν τοὺς] Lego, εἶτα τὸν ὡς τοὺς ὄρνις, aut potius, ὄρνεις. Wolf. Vid. Var. Lect.

Ὄρνις] Dicitur pro ὄρνιθας. Hic, *gallos gallinaceos*. Ludus erat quidam Athenis in quo galli gallinacei pugnantes inter se committebantur. Auger.

Τὰ τρίτα λέγων] Egregie explicat eruditissimus Valesius, dum commentatur ad pag. 197. Notarum Maussaci. Similiter H. Stephanus Thes. L. Gr. Tom. I. col. 104. qui etiam anticipavit solertem illam conjecturam Valesii in hoc loco Plutarchi de Rep. bene gerenda, scil. Ἄτοπον γάρ ἐστι, τὸν ἐν τραγῳδίᾳ πρωταγωνιστὴν Θεόδωρον ἢ Πῶλον ὄντα μισθωτῷ τῷ τὰ τρίτα (non τρία) λέγοντι πολλάκις ἕπεσθαι καὶ προσδιαλέγεσθαι ταπεινῶς, ἂν ἐκεῖνος ἔχῃ τὸ διάδημα καὶ τὸ σκῆπτρον. Adjungere liceat Ulpianum ad Orat. de Pace, prout optime emendatur a Lambino: Οἱ ἀρχαῖοι ὑποκριτὰς ἐκάλουν τοὺς

διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο, καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν· Ἀντιγόνην δὲ Σοφοκλέους, πολλάκις μὲν Θεόδωρος, πολλάκις δὲ Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ πεποιημένα ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις οὗτος εἰρηκὼς, καὶ ἀκριβῶς ἐξεπιστάμενος, παρέλιπεν. ἴστε γὰρ δήπου τοῦθ᾽, ὅτι ἐν [1] πᾶσι τοῖς δράμασι τοῖς τραγικοῖς, ἐξαίρετόν ἐστιν, ὥσπερ γέρας [2] τί, τοῖς τριταγωνισταῖς, τὸ, τοὺς τυράννους, καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας εἰσιέναι. ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθε, ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ· ἃ οὔτε πρὸς [3] αὐτὸν οὗτος ὑπὲρ τῆς πρεσβείας διελέχθη, οὔτε πρὸς τοὺς δικαστὰς εἶπε. λέγε.

ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ ΕΞ ΑΝΤΙΓΟΝΗΣ.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
Ἐμοὶ γὰρ, ὅς τις πᾶσαν εὐθύνων πόλιν,
Μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
Ἀλλ᾽ ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
Κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
Καὶ μείζον᾽ ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
419 Φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
Ἐγὼ γὰρ, ἴστω Ζεὺς ὁ πάνθ᾽ ὁρῶν ἀεὶ,
Οὔτ᾽ ἂν σιωπήσαιμι, τὴν ἄτην ὁρῶν
Στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας·

[1] ἅπασι [2] τι [3] αὐτὸν

τῶν κωμῳδοὺς καὶ τραγῳδοὺς λεγομένους· οὗτοι δὲ ἦσαν τρεῖς, ὁ μὲν πρωταγωνιστὴς, ὁ δὲ δευτεραγωνιστὴς, ὁ δὲ τριταγωνιστής. Et tamen, licet Tertianus ille Actor infimæ erat conditionis, Æschines noster, qui istas partes egit, Creontem in Tragœdia fingitur repræsentasse. Id enucleabit Scriptor vetustissimus, ὁ τὰς θεατρικὰς ἱστορίας συγγράψας, ab Ulpiano in hoc loco conservatus: διὰ τοῦτο τοῖς τριταγωνισταῖς τὰς ὑποκρίσεις τῶν δυναστευόντων παρέχεσθαι, ἐπειδὴ ἧττόν ἐστι παθητικὰ τὰ ὑπέρογκα. Ita corrigerem, non, uti edi solet, ἧττόν ἐστι παθητικὰ καὶ ὑπέρογκα. Nam Longinus: Ἐγκώμια, καὶ τὰ Πομπικὰ καὶ Ἐπιδεικτικὰ τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ ἅπαντος περιέχει, πάθους δὲ χηρεύει κατὰ τὸ πλεῖστον. §. 8. TAYLOR.

Τοὺς τυράννους — εἰσιέναι] Si recte habet εἰσιέναι, transitivum hic videri potest, εἰσιέναι τοὺς τυράννους, *intrare tyrannos*, i. e. *intrando agere*, vel, *exhibere tyrannos*, ut *saltare Cyclopa*, pro, *saltando exhibere Cyclopa*, apud Horatium. Sin neutrum sit εἰσιέναι, hoc modo supplenda erit Constructio: ἐξαίρετόν ἐστιν — τὸ [αὐτοὺς ὄντας] τοὺς τυράννους, καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας εἰσιέναι. Quod verius. MARKL.

Οἷα λέγων] *Qualia dicens inductus est a Poeta.* AUGER.

Ἀμήχανον κ. τ. λ.] Vers. 175 seq. ed. Brunck.

Οὐδαμοῦ] *Nullius*, nempe, pretii. AUG.

Οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
Θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
Ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
Πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.

σά. Τούτων οὐδὲν [1] Αἰσχίνης εἶπε πρὸς αὑτὸν ἐν τῇ πρεσβείᾳ, ἀλλ' ἀντὶ μὲν τῆς πόλεως, τὴν Φιλίππου ξενίαν, καὶ φιλίαν, [2] πολλῷ μείζονα ἡγήσατο αὑτῷ, καὶ λυσιτελεστέραν, ἐῤῥῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ. τὴν δὲ ἄτην ὁρῶν στείχουσαν ὁμοῦ, τὴν ἐπὶ Φωκέας [3] στρατείαν, οὐ προεῖπεν, οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον, συνέκρυψε, καὶ συνέπραξε, καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν, οὐκ ἀναμνησθεὶς, ὅτι ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ, καὶ καθαίρουσα, καὶ καρπουμένη τὰς τῶν χρωμένων οἰκίας, ἐξέθρεψε τοσούτους τουτουσί· διδάσκων δ' ὁ πατὴρ γράμματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ Ἥρωος τοῦ ἰατροῦ, ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε ἔζη· ὑπογραμματεύοντες δὲ οὗτοι, καὶ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς, ἀργύριον εἰλήφεσαν, καὶ τὸ τελευταῖον, ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες, δύ' ἔτη διετράφησαν ἐν τῇ Θόλῳ· πρεσβεύων δ'

[1] Αἰσχίνης οὐδὲν [2] πολλῷ καὶ μείζονα [3] στρατιὰν

σά. Ἐῤῥῶσθαι] *Valedicens Sophocli.* Divagatur Wolfius et nugatur Scholiastes. Taylor.

Ὁμοῦ] F. στείχουσαν ὁμοῦ τῇ — στρατείᾳ, vel στείχουσαν χθονὶ, τὴν — στρατείαν — Markland.

Τὴν ἐπὶ Φ. στρατείαν] Potest accipi κατ' ἐπεξήγησιν. Sed quid si ὁμοῦ τῇ ἐπὶ Φωκέας στρατείᾳ? Wolf. Ita etiam legi voluit Vir celeberrimus in Animadvers. ad Chariton. pag. 540. Taylor.

Ἔπι τελοῦσα] Nonnulli conjunctim ἐπιτελοῦσα. Quos bene refutat Ulpianus. Idem.

Οἰκίας] F. οὐσίας. Nisi sit, quale istud Lucæ XX. 47. οἳ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν. Markland.

Ἥρωος] Ἥρω Codd. Regg. α. δ. et, emendatiores cæteris, Harl. et Aug. Arridere forte potest quibusdam Lectio Obsop. et Ask. πρὸς τὸ Ἡρῷον τοῦ ἰατροῦ. Contra tamen explicat σχ. cui conjungas Meurs. Athen. Attic. III. 1. Taylor.

Ἰατροῦ] Subaudi ἱερῷ, *fano.* Quis sit *Heros ille medicus* ignoratur, nominatur *Calamites* in oratione pro Ctesiphonte. Auger.

Ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε ἔζη] *Ut poterat quidem, sed tamen in hac urbe vivebat.* ἀλλ' οὖν, ἀντὶ τοῦ, ὅμως dixit, vel ἀλλ' ὅμως potius. ac si diceret, ὅπως μὲν ἠδύνατο, ὅπως δ' οὖν ἐν ταύτῃ ἔζη. Cicero *at certe* eodem modo usus est, sed interpositis aliis verbis inter *at* et *certe*, ut adderet gratiam, ut pro Marcello: "Itaque illam tuam præclarissimam vocem invitus audivi, satis te diu vel naturæ vixisse, vel gloriæ. satis, si ita vis, fortasse naturæ, addo etiam, si placet, gloriæ. at id quod maximum est, patriæ certe parum." προστιθείην δ' ἂν εἰ οὕτω δοκεῖ σοι καὶ εὐδοξίᾳ. τῇ δὲ πατρίδι τὸ μέγιστον, ὀλίγον γε, vel, ὅμως μέντοι ὃ δὴ μέγιστον, τῇ πατρίδι γε ὀλίγον. Dicitur et ἀλλ' ὅμως, et ὅμως δ' οὖν. Idem Demosthenes in eadem, ὅμως δ' οὖν ἔτι καὶ τόδε ἀκούσατε. *Ex edit.* Hervag.

Θόλῳ] Laudat Harpocr. ex Orat. π. Παραπρεσβ. Et occurrit etiam infra, §. σπ'. fin. De hac voce, fere nihil habeo,

ἀπέσταλτο νῦν οὗτος ἐκ [1] ταύτης. τούτων οὐδὲν ἐσκέψατο, οὐθ' ὅπως [2] ὀρθῇ πλεύσεται, προείδετο, ἀλλ' ἀνέτρεψε,
420 καὶ κατέδυσε, καὶ τὸ καθ' αὑτὸν, ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται, παρεσκεύασεν. εἶτ' οὐ σὺ σοφιστὴς καὶ πονηρός γε; οὐ σὺ λογογράφος, καὶ θεοῖς ἐχθρός; ὃς, ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς ἐξηπίστασο, ὑπερέβης· ἃ δὲ οὐδεπώποτε ἐν τῷ βίῳ ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι τινὰ, εἰς μέσον ἤνεγκας;

οβ'. Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον, σκέψασθε. ἔφη γὰρ τὸν Σόλωνα ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημένον, ἐπιπλήττων [3] τί καὶ λοιδορούμενος τῇ τοῦ Τιμάρχου προπετείᾳ. καί τοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι· ἀπὸ Σόλωνος δὲ, ὁμοῦ διακόσιά ἐστιν ἔτη καὶ τεττα-

[1] ταύτης αὐτῆς. [2] ὀρθὴ πλευσεῖται [3] τι

quod adjiciam exquisitæ doctrinæ H. Stephani Thes. Gr. L. T. I. col. 1573. qui omnia, quæ ad hanc vocem spectant, congessit ex Lexicis antiquis, ex Servio et Ulpiano nostro, aliisque Scriptoribus. Videtur Camera fuisse fornicata, ea fere figura, qua effigiebantur in sæculis sequentibus Ædes Capitulares in Ecclesiis et Monasteriis. Apud antiquos hic congregabantur, alebantur, et fortasse erudiebantur quoque, Ædium Sacrarum ministri famulique. Et, ut apparet, unumquodque Templum suam Tholon habebat, in qua Pueruli literis operam darent. Ἐν δὲ τῇ Θόλῳ τοῦ Πτῴου Ἀπόλλωνος μαθών τις ὑμῶν ἐνέγραψεν, Ἀχιλλεὺς καλός. Ita in schedis meis annotatum reperi ex Auctore, cujus nomen elapsum est: sive Synesius fuerit, ut arbitror fuisse, sive quispiam alius. De Tholo plurima etiam collegit diligentissimus I. Meursius Ceramici Cap. 7. ut alios prætoream. Taylor.

Ὀρθῇ] Ταύτης ἔστι.

Πλέοντες ὀρθῆς habet Poeta. Wolf. F. ἐπ' ὀρθῆς. Vid. supra v. 3. p. præc. Markland. Ὀρθὴ in recto casu excuderunt Parisienses. Taylor.

Εἶτ' οὐ σὺ κ. τ. λ.] Ita distinguendum: εἶτ' οὐ σὺ σοφιστής; καὶ πονηρός γε. οὐ σὺ λογογράφος; καὶ θεοῖς ἐχθρός. *Nonne Tu igitur literator es? Immo et improbus quidem. Nonne Tu scriptor Orationum? et quidem Diis invisus: qui*—Verba, καὶ πονηρός γε, et, καὶ θεοῖς ἐχθρὸς, sunt responsa ipsius Demosthenis. Markland. Vulgo enim hæc omnia velut una continua interrogatio, sine interjecta responsione efferuntur. Reisk.

οβ'. Εἴσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημένον] Ἀντὶ τοῦ, εἴσω τῆς ἀναβολῆς τῆς ἐσθῆτος. Sic Plato in Theæteto: ἀναβάλλεσθαι δ' οὐκ ἐπισταμένου ἐπὶ δεξιὰ ἐλευθέρως. Et Athenæus l. 1. Ἔμελε τοῖς παλαιοῖς, καὶ τοῦ κοσμίως ἀναλαμβάνειν τὴν ἐσθῆτα, καὶ τοὺς μὴ τοῦτο ποιοῦντας ἔσκωπτον. Wolf. Conjunge Vales. ad Excerpt. Polyb. pag. 34. Recte autem mihi videor distinxisse: εἴσω τὴν χεῖρα ἔχοντα, ἀναβεβλημένον: Quasi diceres: *Stat Solo paludatus*, vel *tunicatus, manum intra vestem habens.* Hoc neglexit in versione Wolfius, quia non intellexit. Eo *habitu* erat Solo. Adjuvat iste locus Plutarchi in Phocione T. IV. pag. 179. οὐδὲ ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς ὅτε τύχοι περιβεβλημένος. Et ex his locis inter se collatis lucis aliquantulum fœnerabitur Suidas: Ἀναβάλλεσθαι τὸ ἱμάτιον οἱ Ἀττικοὶ, οὐ Περιβάλλεσθαι λέγουσιν. Taylor.

Ἀπὸ Σόλωνος] Utrum a *nato*, an *mortuo*, an *florente?* In quo genere loquendi sæpe haud injuria majorum Scriptorum diligentiam requiras. Wolf. Recte. Meursius non animadvertit hanc inconstantiam veterum Scriptorum: adeoque retro computando ad Olymp. XLVI. 3. (quo tempore Solo Rempublicam istam

ῥάκοντα, εἰς τὸν [1] νυνὶ χρόνον. ὥσθ' ὁ δημιουργὸς, ὁ τοῦτο
πλάσας τὸ σχῆμα, οὐ μόνον οὐκ αὐτὸς ἦν κατ' ἐκεῖνον τὸν
χρόνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. τοῦτο μὲν τοίνυν εἶπε
τοῖς δικασταῖς, καὶ ἐμιμήσατο· ὃ δὲ τοῦ σχήματος ἦν
τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν
[2] τοῦ Σόλωνος ἰδεῖν, καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο,
ἀλλὰ πᾶν τοὐναντίον. ἐκεῖνος μέν γε, ἀφεστηκυίας Σαλα-
μῖνος Ἀθηναίων, καὶ θάνατον [3] τὴν ζημίαν ψηφισαμένων,
ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς, ἐλεγεῖα
ποιήσας ᾖδε, καὶ τὴν μὲν χώραν ἔσωσε τῇ πόλει, τὴν δ'
ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν· οὗτος δὲ, ἣν [4] ὁ Βασι-
λεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἔγνωσαν, Ἀμφίπολιν,
ταύτην ἐξέδωκε, καὶ ἀπέδοτο, καὶ τῷ ταῦτα γράφοντι
συνεῖπε Φιλοκράτει. [5] ἄξιόν γε. οὐ γὰρ ἦν Σόλωνος αὐτῷ 421
μεμνῆσθαι. καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλὰ
κἀκεῖσε ἐλθὼν, οὐδὲ τοὔνομα ἐφθέγξατο τῆς χώρας, ὑπὲρ
ἧς ἐπρέσβευε. καὶ ταῦτα αὐτὸς ἀπήγγειλε πρὸς ὑμᾶς. μέ-
μνησθε γὰρ δήπου λέγοντ' αὐτὸν, ὅτι [6] περὶ Ἀμφιπόλεως
εἶχον μὲν κἀγὼ λέγειν· ἵνα δ' ἐγγένηται Δημοσθένει περὶ
αὐτῆς εἰπεῖν, παρέλιπον. ἐγὼ δὲ παρελθὼν, οὐδὲν ἔφην
[7] τούτων ὧν ἐβούλετο εἰπεῖν πρὸς Φίλιππον, ἐμοὶ παραλι-
πεῖν· θᾶττον γὰρ ἂν τοῦ αἵματος, ἢ λόγου μεταδοῦναί
τινι· ἀλλ', οἶμαι, [8] τὸν χρήματ' εἰληφότα, οὐκ ἦν ἀντιλέ-
γειν πρὸς Φίλιππον, τὸν ὑπὲρ τούτου δεδωκότα, ὅπως ἐκεί-

[1] νυνὶ παρόντα χρόνον [2] τὴν [3] [τὴν] [4] Deest articulus. [5] ἄξιόν γε (οὐ γάρ;) [6] περὶ δ' Ἀμφ. [7] τοῦτον [8] χρήματ' εἰληφότι

latis legibus ordinavit) deprehendit annos excurrisse CCLII. Ad quem fere computum Auctoris nostri textum conformari voluit. Vide ejus Solonem cap. extremo. Sed melius cum Wolfio cogites, Demosthenem rem liberius supputasse, et more rotundiore; Anni sc. sunt CCXL. præterpropter. Atque ea est vis τοῦ ὁμοῦ, ut alibi annotavimus, sc. ad Aristogit. I. pag. 785. 23. Ed. Reisk. TAYLOR. Corsinii Fast. Att. III. 101. A morte Solonis anni 214. σ. ἔτη καὶ μ. 240. σ. καὶ ν. Meurs. potius σ. καὶ ι. vel κ. vel potius ιδ. quod librarii oscitantia mox in μ. abiit. Hæc Corsinius l. c. TAYLOR in schedis.

Καὶ τὴν διάνοιαν ταύτην] Ita distinguas. MARKLAND.

Σαλαμῖνος] F. Σαλαμῖνος, καὶ Ἀθηναίων θάνατον, etc. IDEM.

Οὐ γὰρ] Distingue: ἄξιόν γε (οὐ γάρ;) ἦν Σόλωνος etc. Sic contra Androt. pag. 616. 16. Ed. Reisk. ὁμοιόν γε (οὐ γάρ;) τοῦτο etc. Distingui quoque potest: ἄξιόν γε (οὐ γὰρ ἦν;) Σόλωνος etc. Respondet nostrati locutioni: *Was it not?* Contra Aristocr. pag. 673. 19. ed. Reisk. καλά γε (οὐ γάρ;) ὦ ἄνδρες Ἀθηναῖοι, etc. ubi vide Cl. Taylorum, qui et ibi hujus loci meminit. Vid. et De Coron. §. μγ'. *ad init.* IDEM.

Οὐδὲν ἔφην τούτων] Malim τοῦτον. WOLF.

Οὐκ ἦν] F. οὐ χρῆν. MARKLAND.

νην μὴ ἀποδῶ. λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί· ἵν᾽ εἰδῆτε, ὅτι καὶ [1] ὁ Σόλων ἐμίσει τοὺς, οἷος οὗτος, ἀνθρώπους. οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, δεῖ, οὔ· ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. σὺ δ᾽ ἐκεῖ προτείνας, καὶ ὑποσχὼν, καὶ καταισχύνας τούτους, ἐνθάδε σεμνολογῇ; καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας, οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων [2] ἀδικημάτων; κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν, περινοστῇς, καὶ ἐμοὶ [3] λοιδορῇ. λέγε σύ.

[1] Deest articulus. [2] ἀδικημάτων, ἂν [3] λοιδορῇ;

Ἐμίσει κ. τ. λ.] Id est, ἐμίσει τοὺς ἀνθρώπους [οἳ ἦσαν τοιοῦτοι] οἷος οὗτος [ἐστι]. Ita Æschines π. Παραπρεσβ. pag. 316. 11. ed. Reisk. τρισμυρίους κιναίδους, οἷός περ σύ. Idem.

Οὐ λέγειν κ. τ. λ.] Tangit hunc locum Eustathius ad Iliad. Γ. 216. Χειρῶν κινήσει — ἣν Δημοσθένης μὲν ἐπαινεῖτο, Αἰσχίνης δὲ ἀπέστεργεν, ὁ καὶ ἀκούσας ἐκ Δημοσθένους χρῆναι τοὺς Ῥήτορας πρεσβεύοντας ἔσω τὰς χεῖρας ἔχειν, οὐ μὴν ἐξ ἀνάγκης δημηγοροῦντας. Et Hermogenes quoque pag. 165. Edit. Porti. Taylor.

Κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν, περινοστῇς] Id est, *oberres, obambules, expatieris per urbem.* Hoc enim περὶ significat in compositione in quibusdam verbis. Synes. Theophilo, de vagis sacerdotibus compendia sua sacerdotiorum commutatione sectantibus: καρποῦνται δὲ τὰς τιμὰς, ἐκεῖ περινοστοῦντες ὅπου κερδαλεώτερον. Porro autem πιλίδιον hoc loco apud Demosthenem, τὴν ἐπιτηδευτὴν κόμην intelligo, id est, *adulterinam comam,* quem Latini uno verbo *galericulum* appellant, Tranquillus etiam *capillamentum.* dicitur Græce quoque φενάκη, a quo φενακισμὸς, et verbum φενακίζειν, pro *impostura* et *imponere,* qua Demosthenes identidem uti solet. Ex *edit.* Hervag.

Πιλίδιον] "Quod Græci πῖλον, πιλίον, πιλίδιον dicunt, hoc Latini *pileum* et *pileolum* vocant. Pollux: οὐ μόνον δὲ πιλίδιον, ὃ ἐπὶ τῶν κεφαλῶν ἐπιτιθέμενος πῖλος οὕτως ἐκαλεῖτο, ἀλλὰ καὶ ὁ παρὰ τοῖς ποσίν. Demosth. περὶ Παραπρεσβ. κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν, περινοστῇς. Budæus in Pandectis hunc Demosthenis locum exponens, τὴν ἐπιτηδευτὴν κόμην intelligit, quæ φενάκη etiam πρόσθετος et περίθετος κόμη dicitur. A quo ut invitus dissentiam, facit primum Interpres, deinde Aristophanes in Comœdia, quæ Ἀχαρνῆς inscribitur:

> Εὐριπίδη, ἐπειδήπερ ἐχαρίσω μοι ταδὶ,
> Κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
> Τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.

Ex his vocibus, ἀκόλουθα τῶν ῥακῶν, ut πιλίδιον petasum exponas, necesse est: id quod etiam Glossographus agnoscit. Plato Πολιτ. γ. Ἐὰν δέ τις αὐτῷ μακρὰν δίαιταν προστάττῃ, πιλίδιά τε περὶ τὴν κεφαλὴν περιτιθείς. An ulla ægrotationis generi conveniat adulterina coma, cuivis perspicuum esse potest." Hæc Brodæus Miscell. I. 12. Confer et quæ Junius item II. Animadv. 6. Quicquid demum sit, sive, ut isti volunt, Demosthenes noster adversario suo mollitiei notam his verbis inurere voluit, sive veræ sint hariolationes, quas Ulpianus produxit, liceat certe lectori ob oculos ponere, quæ Plutarchus in vit. Solon. pag. 180. T. I. Ed. Bryan. Ἐλεγεῖα δὲ κρύφα συνθεὶς, [Solo] καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος. ὄχλου δὲ πολλοῦ συνδραμόντος, ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον, ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστὶν ἀρχὴ,

> Αὐτὸς κῆρυξ ἦλθον ἀφ᾽ ἱμερτῆς Σαλαμῖνος,
> Κόσμον ἐπέων ᾠδὴν ἀντ᾽ ἀγορῆς θέμενος.

An ad hanc historiam Demosthenes hic alludat, viderit Annotator, qui id asseruit ad Plutarchum. Interea tamen habet lector meus ex hac narratione Plutarchi, quod displicere non possit. Taylor.

Πιλίδιον λαβὼν] *Pileolum accipiens.* Misere se torquent commentatores ut hæc verba explicent, neque ulla mihi arridet eorum explicatio. Ego supposui, forte gratuito, πιλίδιον esse gestamen capitis cum actor versus in scena recitaret, et ad hanc mentem huncce locum verti. Auger.

ΕΛΕΓΕΙΑ ΣΟΛΩΝΟΣ.

Ἡμετέρα δὲ πόλις, κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
Αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.

ΕΛΕΓΕΙΑ ΣΟΛΩΝΟΣ] Solonis Poeticen sive usum in versibus pangendis prædicant præter alios Æschines c. Ctesiph. pag. 500. 1. ed. Reisk. qui eum vocat *ἄνδρα περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότα*, et Plato in Timæo: *δοκεῖν οἱ τά τ' ἄλλα σοφώτατον γεγονέναι Σόλωνα, καὶ κατὰ τὴν ποίησιν αὖ τῶν ποιητῶν πάντων ἐλευθεριώτατον.* De ea multi, inquam, scripsere, et nonnulli quædam citaverunt. Vid. Plutarch. in vita Solonis — Compar. Solon. et Poplicol. — de amore Divitiar. — Præcept. bene gerendæ Reip. — Sept. Sapient. Conviv. — Orat. Amator. — de Tranq. Anim. — de Profectu in virtute etc. Adjiciatur maxime Philo Judæus, Clemens Alexandrinus, Aristoteles, Stobæus, Phrynichus, Laertius, Pausanias, Athenæus, Aristides, Gellius, Tertullianus, Eustathius, aliique. Ex Recentioribus Canter. V. Nov. Lect. 9. H. Steph. IV. Schediasm. 20, 21. Allat. de patr. Homeri, c. 5. Stanleius in vita Solonis, etc. In iis, quæ conservata sunt, elegantiam sane et nitorem, floremque illum Poeticum, quem sentimus, describit nemo, lector meus non maximum deprehendet: verum simplicitatem quandam, quæ primævos mores et ætatem redolet. Ejus *lascivissimos versus* memorat Apuleius in Apologia, et Plutarchus in vita. Et restant sane apud antiquorum nonnullos, quos modo adduxi, quædam ejus commatis et petulantiæ. Honestius sane fragmentum, et elegantius paulo ad nos duravit, I. Stobæo Serm. IX. id procurante: in quo varii humani generis quæstus, artificia, et rationes, quibus homo ab homine distinguitur, lepide depinguntur. Et quoniam Stobæi Chartæ, doctæ sane et laboriosæ, in hac nostra ætate, atque hac Sapientia, non assidue teruntur, aut saltem non ea assiduitate teruntur, quam merentur, depromam pauca, atque lectorem donabo meum illo Humanæ Vitæ Speculo Soloniano:

Σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον
  ἀλᾶται
 Ἐν νηυσὶν, χρήζων οἴκαδε κέρδος ἄγειν,
Ἰχθυόεντ' ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
 Φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος.
Ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
 Λατρεύει, τοῖσι καμπύλ' ἄροτρα μέλει.
Ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυ-
  τέχνεω
 Ἔργαλα εἰν χειροῖν ξυλλέγεται βίοτον.
Ἄλλος Ὀλυμπιάδων Μουσάων πάρα δῶρα δι-
  δαχθεὶς,
 Ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
Ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλ-
  λων,
 Ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
Ὧι συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάν-
  τως
 Οὔ τι τὶς οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
Ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
 Ἰητροὶ, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
Πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται
  ἄλγος,
 Κἂν τις λύσαιτο ἤπια φάρμακα δούς.
Τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις
  τε
 Ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.

Mendas, quibus obsiti sunt hi Elegi, tollere non vacat: ad alia festino. TAYLOR. Basilius de legendis Græcis citat tres versus Solonis, quos pariter laudat Plutarchus de sentiendo virtutis profectu, et in Solone. Exstant hodie inter Gnomas Theognidis versu 316. Verum in poesi non multum abludunt Solo et Theognis. See Plutarch. Prosaica of Theognis p. 9. ed. Gr. TAYLOR in schedis.

Ἡμετέρα] Poemation hoc esse ἀκέφαλον, annotatur in Altemps. Et continuo repræsentatur hoc Distichon:

Ἴσμεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου,
 Ἱμερτῆς χαλεπὸν αἶσχος ἀπωσάμενοι.

Qui hæc allevit margini Exemplaris Altempsiani, errorem magnum erravit. Arbitror enim, neque sine auctoritate, duo fuisse insignia et pervulgatiora Poemata Solonis, elegiacis versibus concinnata; quorum unum hoc aut simile initium habere potuit: scil.

Ἴσμεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου,
 Ἱμερτῆς χαλεπὸν αἶσχος ἀπωσάμενοι.

Alterum vero et diversum est id Fragmentum, quod beneficio Demosthenis hodie legimus. Hæc admonuit Ulpianus. Verum cum ille Annotator Altempsianus, et Scholiastes noster, Ulpianus, hæc scripserunt, quid hoc mali et infortunii in priore disticho, ubi Vox initialis et sensui et metro repugnat:

Ἴσμεν εἰς Σαλαμῖνα — ?

Lege itaque:

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου.

Τοίη γὰρ μεγάθυμος, ἐπίσκοπος, ὀβριμοπάτρη,
Παλλὰς Ἀθηναίη, χεῖρας ὕπερθεν ἔχει.
Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
422 Ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
Δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
Ὕβριος ἐκ μεγάλης, ἄλγεα πολλὰ παθεῖν.
Οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
Εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
[1] Χρήματα δ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι,
Πλουτοῦσι δ' ἀδίκοις ἔργμασι πειθόμενοι,

[1] [Χρήματα - - - - πεπᾶσθαι,]

Ἴομεν, *Eamus, Proficiscamur*, id quod exspectare fas erat ab homine, qui carmen προτρεπτικὸν canebat. Atque ita recte exaratur in Laertio. TAYLOR.

Τοίη γὰρ μεγάθυμος] Sed bello Persico nihil profecit Minerva, si oraculo quod in Polymnia [c. 141.] refert Herodotus, credimus:

Οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι,
Λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.

Ne tamen illa suam urbem prorsus destituisse videatur,

Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
Μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ' ὀνήσει.
WOLF.

Χεῖρας ὕπερθεν ἔχει] Festivissimus omnium et lepidissimus, qui scripsit, Poeta hos versus Solonis ita deridendos propinavit, Equit. 1168.

Κλ. Ἐγὼ δ' ἴπτος γε πίσινον, εὔχρων καὶ καλόν·
Ἐτόρυνε δ' αὔθ' ἡ Παλλάς, ἡ Πυλαιμάχος.
Αλ. Ὦ δῆμ' ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
Καὶ νῦν ὑπερέχει σου χύτραν, ζωμοῦ πλέαν.
Δη. Οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
Εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;
Κλ. Τουτὶ τέμαχός σοι δῶκεν ἡ Φοβεσιστράτη.
Αλ. Ἡδ' Ὀμβριμοπάτρα γ' ἐφθὸν ἐν ζωμοῦ κρέας.

Ubi recte σχ. τὴν χύτραν] Ἀντὶ τοῦ εἰπεῖν χεῖρα. Hæc animadvertit, Senatus Criticorum Princeps, ὁ μέγας Hemsterhusius ad Lucian. Timon. Tom. I. pag. 119. Edit. Nov. TAYLOR.

Χρήμασι πειθόμενοι] Δωροδοκοῦντες. WOLF.

Οἷσιν ἑτοῖμον] S. ἐστὶ παθεῖν ἄλγη πολλὰ ἐξ ὕβριος μεγάλης, sive ob petulantiam suam insignem; sive magnos cruciatus perferunt ab insolentia tyrannorum et crudelitate. IDEM.

Κατέχειν κόρον] *Continere* aut *reprimere satietatem*, [Ovid. 2. de art. aman. v. 437.]

Luxuriant animi rebus plerumque secundis:
Nec facile est æqua commoda mente pati.
IDEM.

Οὐδὲ παρούσας — ἡσυχίῃ] In conviviis elati voluptate modestiæ obliviscuntur: indulgent genio usque ad ebrietatem et insaniam. ἐν ἡσυχίῃ, ἡσύχως, μεθ' ἡσυχίας. IDEM.

Χρήματα] Hoc distichon videtur laudari, verbis diversis, a Plutarcho, in vit. Solon. p. 174. T. 1.

Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.

Sed non est hujus loci. Pertinet enim ad poema bene longum, cujus partem modo laudavimus ex Stobæo. Deerat prior Versus in Wolfio: restituit autem Benenatus. TAYLOR.

Πλουτοῦσι] F. πλουτῆσαι. MARKLAND.

Ἔργμασι] Ἕργμα, cum adspiratione, est περίφραγμα, κώλυμα, παρὰ τὸ ἔργω, unde ἕρκος et εἱρκτή. Ἔργμα, cum tenui, ἔργον, ut apud Hesiodum,

ἐπ' ἔργματι τούτῳ ἄριστοι.

Utraque Scriptura locum habere potest:

Οὔθ' ἱερῶν κτεάνων, οὔτε [1] τί δημοσίων

[1] τι

τὰ γὰρ ἄδικα ἔργα ἔργματά ἐστι. Sententia est, *injustis lucris eos ditari.* Hesiodus:

Κακὰ κέρδεα ἶσα ἄτῃσιν. WOLF.

Οὔθ' ἱερῶν] Hic occurrunt duo Pentametri nullo Hexametro interveniente; et v. ult. p. 312. eadem conditione vicissim duo Hexametri. Aliter credo, quam Lex et Ratio Elegiarum postulavit, saltem apud Antiquos. Fortasse ea res movit Editores, ut avellerent in his locis et discerperent hos Elegos Solonis, quasi defectum indicarent: vel fortasse putarunt tria hæc esse Solonis fragmenta, ex diversis locis sumta, et hic quasi consarcinata. Ea est, inquam, Facies Editionum omnium. An ita se res habeat, necne, ignoro. Illud saltem teneo, neutiquam posse fieri, ut multa in istis lacunis, si tamen lacunæ sint, deessent: adeo bene cohærent et consequuntur, quæ hodie habemus. Hoc in Poetica versione, qualem Wolfii subjecimus, non adeo facile apparet. Apponemus igitur Etruscam, quæ nec pura puta est Poetica, verum utcunque inter Prosam et Poeticen ambulat:

La Città nostra mai per fato iniqua
Non perirà, ne per voler di Giove.
Che quella che dal forte padre è nata
Pallade saggia, la difende, e regge.
Ma i cittadin, ch' all' oro sono intenti,
E la de gli ottimati ingiusta mente,
I quai sono a far mille ingiurie pronti,
Onde poscia patisce il popol tutto,
Corromper voglion la lor gran cittade,
Perche nel ben non sanno temperarsi,
Ne celebrar l' allegre feste in pace,
Ne s' astengon dal sacro, o dal profano,
Pur ch' adempian la lor ingorda voglia.
Ne servan la giustitia amica a Dio.
La qual tacendo, il presente, e'l passato
Vede, e tarda, ma al fin viene à punire.
Onde incurabil piaga la cittade
Assale tutta, onde ella poscia presto.
Sotto 'l giogo servile il collo pone;
E discordia civile, e guerra desta
Che dorme, laqual molti giovin spegne.
Perche la patria, è da' nimici offesa,
Ch' offendan quei che dianzi erano amici.
Hor questi mali tra'l popolo sono.
Altri miseri vanno a terra strana
Venduti, in brutti, e duri lacci avvolti.
Cosi il mal tutti va a trovare a casa.
E se la prima porta no'l riceve,
Egli in cima dell' alto tetto sale,
Talche ritruova ognun, se bene e' fusse
Ne' piu secreti penetrali ascoso.
Hor queste cose me le detta il genio
Per gli Athenìesi. Che le triste leggi
Di molti mali alla città son causa.
E le buone ogni cosa eguale, e piana
E ben composto fanno; e le medeme
Spesso avvolgan la fune al collo a' tristi:
E l' aspro molle fanno, e l' insolenza
Lievan, e fanno ancor cessar l' ingiuria,
E i fior seccar del mal, ch' ogni hora nasce:
E modrano i giuditii duri, e l' opre
Superbe humili fanno, e la civile
Discordia fan coll' ira altiera vana,
E da lor' ogni bene human deriva.

Versus hos Solonis plurimi Latinitate poetica donarunt: Wolfius noster, Philippus Melanchtho, cujus Versio ad finem I. Stobæi editur, pag. 632. Anonymus quidam, qui quinque has Orationes convertit, ediditque Venet. apud Hieron. Scotum 1545. Verum, ut credo, (namque in eo vertitur hæc Annotatio) licentiam istam in Elegiacis componendis, quam modo annotavi, non facile admiserunt Veteres. In plurimis sane, quæ reliquerunt, religio erat Hexametro Pentametrum suum subjicere et conjugare, ut per totam Elegiam pariter fieret. Recentiorum arbitror esse commentum, quos tamen ipsos in ea re parcos fuisse deprehendimus: sed quædam ex eo genere Saxis et Marmoribus adhærescunt.

ΕΚ ΓΕΝΕΗΣ ΠΕΡΙΒΩΤΟΝ ΑΠ' ΑΝΘΥΠΑΤΩΝ ΚΑΙ ΥΠΑΡΧΩΝ
ΠΛΟΥΤΑΡΧΟΝ ΚΑΘΑΡΗΣΙΝ ΑΟΙΔΙΜΟΝ ΕΥΝΟΜΙΗΣΙΝ
ΠΡΩΦΡΟΝΕΩΣ ΜΕΓΑΡΗΕΣ ΑΕΙΜΝΗΣΤΟΙΣ ΕΠΙ ΕΡΓΟΙΣ
ΕΙΚΟΝΙ ΑΑΙΝΕΗΙ ΣΤΗΣΑΝ ΑΓΑΣΣΑΜΕΝΟΙ
ΠΑΝΤΗ ΠΛΟΥΤΑΡΧΟΙΟ ΚΛΕΟΣ ΠΑΝΤΗ ΔΕ ΤΕ ΘΑΥΜΑ
ΠΑΝΤΗ Δ' ΕΥΝΟΜΙΗΣ ΕΥΧΟΣ ΑΠΕΙΡΕΣΙΟΝ
ΥΙΕΟΣ ΕΥΡΥΟΙΟ ΤΟΝ ΑΑΚΑΘΕΟΥ ΝΑΕΤΗΡΕΣ
ΠΟΛΛΩΝ ΑΝΤ' ΑΓΑΘΩΝ ΑΜΦΙ ΔΙΚΗΣ ΤΕΜΕΝΕΙ. Megaris.

Ex Schedis anecdotis Vernonii. Num hæc Inscriptio ab aliis edatur, necne, nescio sane, neque vacat consulere: et præterea omnes Auctores, qui in ea materia versantur, ad manus præsto non sunt. Sed pergo. Alia porro, cum simili licentia, et pariter inemendata, exstat in Reinesio, Inscript. XV. ult. Attamen, si fides sit habenda exemplaribus Plutarchi, antiquis etiam placebat hæc Inconstantia:

ΤΟΝΔΕ ΠΟΘ' ΕΛΛΗΝΕΣ ΝΙΚΑΣ ΚΡΑΤΕΙ ΕΡΓΩΙ ΑΡΗΟΣ
ΠΕΡΣΑΣ ΕΞΕΛΑΣΑΝΤΕΣ ΕΛΕΥΘΕΡΑΙ ΕΛΛΑΔΙ ΚΟΙΝΟΝ
ΙΔΡΥΣΑΝΤΟ ΔΙΟΣ ΒΩΜΟΝ ΕΛΕΥΘΕΡΙΟΥ.

Ita dedit Plutarch. in Aristid.

Quod tamen alibi, scil. de Herodot. malignit. emendatius hoc pacto:

ΤΟΝΔΕ ΠΟΘ' ΕΛΛΗΝΕΣ ΝΙΚΗΣ ΚΡΑΤΕΙ ΕΡΓΟΝ ΑΡΗΟΣ
ΕΥΤΟΛΜΩΙ ΨΥΧΗΣ ΛΗΜΑΤΙ ΠΕΙΘΟΜΕΝΟΙ
ΠΕΡΣΑΣ ΕΞΕΛΑΣΑΝΤΕΣ ΕΛΕΥΘΕΡΑΙ ΕΛΛΑΔΙ ΚΟΙΝΟΝ
ΙΔΡΥΣΑΝΤΟ ΔΙΟΣ ΒΩΜΟΝ ΕΛΕΥΘΕΡΙΟΥ.

Et quidem ea Consuetudo, binis Hexametris subdendi unum Pentametrum, (quale metrum excidimus modo ex inemendatis Plutarchi membranis) præ cæteris omnibus placuisse videtur iis Scriptoribus, qui senectutem Poetices viderunt. Gotfridus Viterbiensis, qui sæculo XIII^{tio}. floruit, eo tenore, per opus bene longum, Chronicorum scil. librum, partim ligata, partim soluta oratione scriptum, perpetuo est usus. Et eodem consilio, nam casu factum esse non existimo, exaravit quidam in marmore Epigramma, quod sequitur:

ΕΚ ΔΕΚΑ ΠΕΝΤ' ΑΝΔΡΩΝ ΦΟΙΒΟΥ ΤΕ ΦΑΝΗΦΟΡΟΣ ΙΡΕΥΣ
ΚΡΗΣΚΗΝΣ, ΗΓΑΘΕΟΣ ΤΕ ΛΕΟΝΤΙΟΣ, ΕΝΣΟΦΟΙ ΑΝΔΡΕΣ,
ΟΣ ΜΕΝ ΑΠ' ΑΝΤΟΛΙΗΣ, ΟΣ Δ' ΑΡ' ΑΦ' ΕΣΠΕΡΙΗΣ
ΟΡΓΙΑ ΣΥΝΡΕΞΑΝΤΕ ΘΕΑΙ ΠΑΜΜΗΤΟΡΙ ΡΕΙΗΙ
ΚΡΙΟΒΟΛΟΥ ΤΕΛΕΤΗΣ ΚΑΙ ΤΑΥΡΟΒΟΛΟΙΟ ΦΕΡΙΣΤΗΣ
ΗΜΑΣΙ ΜΥΣΤΙΠΟΛΟΙΣ ΒΩΜΟΝ ΥΠΕΡΤΙΘΕΣΑΝ. Reines. I. 41.

Ex omnibus exemplis, ubi legibus Elegiacis hujusmodi facta est Violentia, nullum habemus insignius, aut luculentius, quam suavissimum istud Epicedion, quod Athenis hodie exstans descripserunt plurimi, incorrecte, uti existimavi, omnes. Sed errores, qui sunt (sunt autem non pauci) non Exscriptoribus, sed Quadratariis esse adscribendos, docuit me Vir doctissimus et amicissimus D. Anton. Askew; qui mendarum memor, quæ isti saxo imputare solebant, maxima cura et sollicitudine descripsit. En exemplum antiquum Incuriæ et Negligentiæ! En pulcherrimum poemation, non sæpius describendo, sed semel exarando, misere et lacrymabiliter contaminatum!

Η ΠΟΤΕ ΚΥΔΙΟΩΣΑ ΞΑΝΘΑΙΣ ΕΠΙ ΚΡΑΤΟΣ ΕΘΙΡΑΙΣ
ΚΑΙ ΧΑΡΙΤΟΒΛΕΦΑΡΟΙΣ ΟΜΜΑΣΙ ΛΑΜΠΟΜΕΝΗ
ΧΙΟΝΕΟΙΣ ΤΕ ΠΡΕΠΟΥΣΑ ΠΡΟΣΩΠΟΙΣ ΗΔΕ ΠΑΡΕΙΑΙΣ
ΚΑΙ ΓΛΥΚΕΡΟΥ ΣΤΟΜΑΤΟΣ ΟΠΑ ΛΙΡΙΟΕΣΣΑΝ ΙΕΙΣΑ
ΧΙΛΕΞΙ ΠΟΡΦΥΡΕΟΙΣ ΕΛΕΦΑΝΤΙΝΕΟΝ ΔΙ ΟΔΟΝΤΩΝ
ΠΑΝΤΟΙΗΝ ΤΕ ΑΡΕΤΗΝ ΠΕΡΙΚΑΛΛΑΕΙ ΣΩΜΑΤΙ ΘΕΙΣΑ
ΗΝ ΤΕΚΕΝ ΕΥΤΥΧΙΔΗ ΣΘΕΝΑΡΩ ΚΙΛΙΚΙΑ ΧΑΡΙΤ
ΕΙΚΟΣΙΠΕΝΤΑΕΤΗΣ ΤΡΥΦΕΡΑ ΤΗΔ ΕΝ ΧΘΟΝΙ ΚΕ
ΕΡΜΕΡΩΣ ΔΕ ΑΡΙΣΤΟΜΑΧΟΙΟ ΠΑΤΡΟΣ ΚΑΙ ΜΗΤΡΟ
ΜΝΗΜ ΑΛΟΧΩ ΦΙΛΙΗ ΘΗΚΑΤΟ ΚΟΥΡΙΔΙΗ.

Coronidem huic Annotationi satis prolixæ jam sum impositurus. Idem Vir præstantissimus, quem modo memoravi, cui tantum debent Græcæ literæ, secum etiam ex iis regionibus adsportari fecit Marmor, novi sane et insoliti argumenti

Φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
Οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα.
Ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα, πρό τ' ἐόντα,
Τῷ δὲ χρόνῳ πάντως ἦλθ' [1] ἀποτισαμένη.
Ταῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
Εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην.
Ἣ στάσιν ἔμφυλον, πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
Ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
Τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν,
Ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
Πραθέντες, δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

[1] ἀποτισομένη

pariter et Græcismi: et quod Nemo ex nostra Familia non ad originem suam corrigere et revocare festinaret, ni admoneretur, autographum istud, ita inemendatum, aut saltem obscurum, hisce ipsis literis domi apud eundem hodie conservari. Age, Lector, explica.

ΣΟΙ ΠΛΑΚΑ ΝΗ *** ΑΝΗΚΕ ΚΟΡΗ ΔΙΟΣ ΥΔΑΤΟΕΣΣΑ
ΠΗΓΗ ΝΥΜΦΑΩΝ ΟΡΦΙΤΕ ΝΑΜΑ ΦΙΛΟΝ
ΕΝΘΑ ΠΑΛΑΙ ΒΑΣΙΛΗΕΣ ΑΠΟ ΠΤΟΛΕΜΟΙΟ ΚΑΜΟΝΤΕΣ
ΕΝΧΕΑ ΚΑΙ ΚΟΡΥΝΑΣ ΚΑΘΘΕΣΑΝ ΙΠΠΟΛΟΦΟΥΣ
ΕΞ ΟΥ ΔΗ ΔΟΡΥΚΝΑΜΑ ΤΕΟΣ ΛΑΧΕΝ ΟΥΝΟΜΑ ΧΩΡΟΣ
ΧΩΡΟΣ ΕΛΛΙΗΡΗ ΤΕΡΠΟΜΕΝΟΣ ΛΙΒΑΔΙ
ΠΑΝΤΑ ΔΕ ΣΟΙ ΝΥΝ ΤΑΥΤΑ ΔΙΕΡΓΑΤΙΝΑΙΣ ΠΑΛΑΜΑΙΣΙΝ
ΤΡΙΣΣΟΝ ΥΠΟΛΛΥΚΑΒΑΝ ΓΡΑΜΜΑΤΙΚΟΣ ΤΕΛΕΩ.

TAYLOR.

Κλέπτουσιν ἐφ' ἁρπαγῇ] Μετὰ τὴν ἁρπαγὴν ἁρπάζουσι καὶ κλέπτουσι. WOLF.

Θέμελα] F. θέμεθλα, τὰ θεμέλια. Nisi forte θέμελον ἀντὶ θεσμοῦ ponatur. *Non observant augustas justitiæ sanctiones.* IDEM. Vid Var. Lect.

Ἣ σιγῶσα σύνοιδε] Hinc dii dicuntur habere laneos pedes, et ferreas manus. Val. Max. Lento gradu ad vindictam sui procedit ira divina: et tarditatem, supplicii gravitate, compensat. WOLF.

Τῷ δὲ ---- ἀποτισαμένη] Ἔρχεται καὶ ἀποτίεται. Similis est huic ille versus:

Ὀψὲ θεῶν ἀλέουσι μύλοι· ἀλέουσι δὲ λεπτά.
IDEM.

Ἀποτισαμένη] F. ἀποτισομένη. MARKLAND.

Ταῦτ' ἤδη] F. ταύτῃ δὴ, *hoc pacto igitur.* IDEM.

Ἤλυθε] S. ἡ πόλις. WOLF.

Ἐπεγείρει] Utrum ἡ Δίκη, an ἡ Πόλις? IDEM.

Ἐρατὴν ἡλικίην] Pericles τὴν ἥβην τὸ ἔαρ τῆς πόλεως appellavit. IDEM.

Ἐκ γὰρ δυσμενέων κ. τ. λ.] Sic intelligo hos duos versus: *ab hostibus enim externis urbs vexatur, in societatibus quæ amicos injuria afficiunt.* AUGER.

Τρύχεται] Ἄστυ πολυήρατον τρύχεται ταχέως ἐκ δυσμενέων, τοῖς ἀδικοῦσι τοὺς φίλους ἐν συνόδοις. Id est; *Urbs eorum, qui cives suos in congressibus et commerciis afficiunt injuriis, opportuna et obnoxia est hostium insultui.* WOLF.

Ἱκνοῦνται πολλοὶ] Est legendum. IDEM. Alii enim πολλήν. TAYLOR. Qui nullos nominat. REISK.

Πραθέντες] Videtur in Pentametro, quod deest, etiam divitibus pœnam esse minatus. Quare ausus ego sum distichon addere:

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ·
Αὔλειαι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
Ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ [1] πάντων,
Εἴ [2] γε τίς ἢ φεύγων ἐν μυχῷ, ἢ θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
Ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει·
Εὐνομία δ' εὔκοσμα, καὶ ἄρτια πάντ' ἀποφαίνει,
Καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
423 Τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
Εὐθύνει δὲ δίκας σκολιὰς, ὑπερήφανά τ' ἔργα
Πραΰνει, παύει δ' ἔργα διχοστασίης,
Παύει δ' ἀργαλέης ἔριδος χόλον. ἔστι δ' ὑπ' αὐτῆς
Πάντα κατ' ἀνθρώπους ἄρτια, καὶ πινυτά.

σγ'. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων, οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν πόλιν σώζειν. ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον [3] εἶναι τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρα οἱ θεοὶ σώζουσιν ἡμῶν τὴν πόλιν· τρόπον δέ [4] τινα ἡγοῦμαι καὶ βούλομαι, καὶ τὰ νῦν συμβεβηκότα πάντα ἐπὶ ταῖς εὐθύναις ταυταισὶ, δαιμονίας τινὸς εὐνοίας ἔνδειγμα τῇ πόλει γεγενῆσθαι. σκοπεῖτε γάρ.

[1] πάντως [2] γέ τις [3] εἶναι ἀληθῆ τὸν λόγον [4] τινα οἴομαι καὶ τὰ νῦν

Nec sunt expertes cladis, quos ampla beat res,
Et sua divitibus pœna luenda venit. WOLF.

Lege Αὔλειοι δ' ἔτ' ἔχειν] Ἔτι κωλύειν οὐ δύνανται. IDEM.

Ὑψηλὸν κ. τ. λ.] S. Τὸ δημόσιον κακόν. Potest hoc ad divites referri, quorum sunt altæ ædes. IDEM.

Εὗρε δὲ πάντων] F. πάντως, ut supra. MARKLAND. Vid. Var. Lect.

Εἴη γέ τις φεύγων] Vid. Var. Lect.

Ἐν μυχῷ] Pro εἰς μυχὸν, ἢ θάλαμον. Attica Enallage Præpositionum ἐν et εἰς. WOLF.

Τραχέα λειαίνει] Utrum ἤθη, an τὰ ἀτυχήματα? IDEM.

Αὐαίνει κ. τ. λ.] Venustissima et significantissima metaphora. Noxæ flores nascentes æquitas arefacit. IDEM.

Παύει δ' ἀργαλέης] Lege. IDEM. Nescio, quid sibi velit annotatio Wolfii, cum sic legatur in omnibus editionibus. ἐργαλέης, dat Ald. Tayl. REISK.

Ἄρτια] Ἀπηρτισμένα, τέλεια, προσηρμοσμένα: WOLF.

σγ'. Καὶ βούλομαι] Hæc duo verba videntur e scholio huc irrepsisse. IDEM. Bene Wolfius. Desunt etiam in Codd. β. δ. η. et Lindenb. Porro autem ista ἡγοῦμαι καὶ in v. præced. æque sunt importuna. Corrige ergo: ἀεὶ μὲν ἀληθῆ τὸν λόγον εἶναι τοῦτον βούλομαι, ὡς — τρόπον δέ τινα ἡγοῦμαι καὶ τὰ νῦν συμβεβηκότα κ. τ. λ. Vel si prius istud ἡγοῦμαι cuidam adblandiatur, et retinendum videatur in v. præc. ἡγοῦμαι καὶ βούλομαι tunc restitues cum Reg. δ. et Aug. in v. seq. τρόπον δέ τινα οἶμαι καὶ τὰ νῦν συμβεβηκότα κ. τ. λ. Meminerit Lector, prius καὶ βούλομαι deesse in Exemplaribus Ven. Aug. et Harl. atque etiam vocem εἶναι in omnibus. TAYLOR.

ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, καὶ χώρας ἐκδεδωκὼς, ἐν αἷς τοὺς θεοὺς ὑφ᾽ ὑμῶν καὶ τῶν συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά τινα αὐτοῦ [1] κατήγορον. διὰ τί; ἵνα μήτε ἐλέου, μήτε συγγνώμης, ἐφ᾽ οἷς αὐτὸς ἠδίκησε, τύχῃ. ἀλλὰ καὶ κατηγορῶν ἐκείνου, κακῶς λέγειν προείλετο ἐμέ· καὶ πάλιν ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν, καὶ τοιαῦτα ἠπείλει. διὰ τί; ἵνα ὡς μετὰ πλείστης συγγνώμης παρ᾽ ὑμῶν, ὁ τὰ τούτου πονηρεύματα ἀκριβέστατα εἰδὼς ἐγὼ, καὶ παρηκολουθηκὼς ἅπασι, κατηγορῶ. ἀλλὰ καὶ διακρουόμενος [2] πάντα τὸν ἔμπροσθεν χρόνον εἰσελθεῖν, εἰς τοιοῦτον ὑπῆκται καιρὸν, ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τε, οὐδ᾽ ἀσφαλὲς ὑμῖν, δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι. [3] ἀεὶ μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν, καὶ κολάζειν τοὺς προδότας, καὶ 424
δωροδόκους· μάλιστα δὲ νῦν ἐπὶ καιροῦ τοῦτο γένοιτ᾽ ἂν, καὶ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ. νόσημα γὰρ, ὦ

[1] *κατηγορῶν [2] ἅπαντα [3] αἰεὶ

Πρεσβεύσας] Lege παραπρεσβεύσας. Nam πολλὰ πρεσβεύειν in nulla criminationis parte esse arbitror. Idem.

Ὑπακούσαντα] Τὸ ὑπακούσαντα videtur significare, Timarchum a populo delectum accusatorem Æschinis paruisse. Quod, ut verum non sit, quid vetat, a Demosthene, caussæ ut serviret, confictum esse? Wolf. Vide infra §. πα΄. a med. Markland. Ita se habet Italica versio: *ha privato del suo honore un suo accusatore* accusato poi da lui, e comparso in giudicio: Anonymus *quendam ejus accusatorem* ex animi sententia *infamia notavit*. Taylor. Vid. Var. Lect.

Ὑπακούσαντα] *Obedientem*, nempe, publico commodo, nullo privato odio adductum. Auger.

Καὶ πάλιν κ. τ. λ.] Supra *βοῶντα ἐν Πειραιεῖ ὡς εἰσαγγελεῖ με, καὶ γράψεται, καὶ ἰοὺ, ἰού*. Verba sic ordino: *ἠπείλει ἐν τῷ δήμῳ (ἐν τῇ ἐκκλησίᾳ) ἀποίσειν γραφὰς* (S. *πρὸς τὸν Ἄρχοντα, καὶ τοὺς Θεσμοθέτας, κατ᾽ ἐμοῦ*) *καὶ τοιαῦτα* (S. *ἠπείλει*). Wolf. Punge igitur post *δήμῳ*, ut sit *κατηγορῶν ἐκείνου, καὶ πάλιν ἐν τῷ δήμῳ, γραφὰς ἀποίσειν —ἠπείλει*. *et in curia, et in concione*. Infra §. πγ΄. *ad init*. Ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ. ἐν δὲ τοῖς δικαστηρίοις, οὐδείς πω κ. τ. λ. Taylor.

Ὑμῶν] Potius ὑμῖν, ut marg. Benenati, et Cod. Aug. Idem.

Ἀκριβέστατα] Malim ἀκριβέστατον. Jurin.

Καὶ παρηκολουθηκὼς ἅπασι κατηγορῶ] *Ut qui omnium arbiter fuerim et spectator, ut comes legationis*. Sic in epistola ad Athenienses cum exularet, *ὅσα τυγχάνω δι᾽ ἐμπειρίαν καὶ τὸ παρηκολουθηκέναι τοῖς πράγμασιν εἰδώς*. *Ex edit*. Hervag.

Παρηκολουθηκὼς ἅπασι] Frigide Wolfius interpretari videtur, *omnia comperta habeo*. Neque multo felicius cæteri. H. Stephanus, Thes. L. G. Tom. I. col. 282. exquisitius de eo, *qui rerum cognitionem studiose persecutus est, ita ut eam sit consecutus*. Ita De Coron. §. *ιγ΄*. *in fin*. *παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς*. Vide, quæ protulit Vir ille doctissimus; et quam pulcre consonat locus ille D. Lucæ (ab illo non præteritus) I. 3. Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς —. Neque tamen interpretibus id vitio verti, quasi mentem Auctoris non omnino attigerint, sed quod vim et emphasin non adeo dilucide expresserint. Taylor.

Διακρουόμενος] Ἀντὶ τοῦ, διακρουσάμενος εἰσελθεῖν εἰς τὸ δικαστήριον. Wolf.

Τῶν ἐπιόντων] Τῶν μελλόντων καὶ προσδοκωμένων κινδύνων καὶ συμφορῶν. Idem.

Νόσημα] *Jam quid audentius illo pulcherrimo ac longissimo excessu? Νόσημα γὰρ* — Plin. IX. Epist. 26. Taylor. Aristides T. p. 274. sic e memoria recitat *νόσημα δεινὸν καὶ χαλεπὸν, καὶ φυλακῆς πολ-*

ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπὸν, καὶ πολλῆς τινὸς εὐτυχίας, καὶ [1] τῆς παρ' ὑμῶν ἐπιμελείας δεόμενον. οἱ γὰρ ἐν ταῖς πόλεσι γνωριμώτατοι, καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι, τὴν αὑτῶν προδιδόντες ἐλευθερίαν, οἱ δυστυχεῖς, αὐθαίρετον αὑτοῖς ἐπάγονται δουλείαν, Φιλίππου ξενίαν, καὶ ἑταιρίαν, καὶ [2] φιλίαν, καὶ τοιαῦθ' ὑποκοριζόμενοι· οἱ δὲ λοιποὶ, καὶ τὰ κύρια

[1] Deest articulus. [2] φιλίαν, καὶ ξενίαν, καὶ ἑταιρίαν, καὶ τὰ τοιαῦθ'

λῆς, καὶ τῆς παρ' ὑμῶν ἐπανορθώσεως δεόμενον. Citat h. l. quoque Hermogenes cap. περὶ ἀκμῆς. Reisk.

Δεινὸν] Deerat in Aldo, neque excudit Wolfius. Restitui e cæteris. Taylor.

Εὐτυχίας] Arridere potest εὐλαβείας. Ut modo de eadem re scribitur, §. οδ'. in *fin.* Ταῦτα, νὴ τὴν Δήμητρα — εὐλαβείας οὐ μικρᾶς δεῖται. Sed Hermogenes περὶ ἀκμῆς, ubi hunc locum laudat, diserte habet εὐτυχίας. Dionysius interea Halicarn. qui pariter citat, de admir. vi dicendi in Demosth. §. 14. habet συντυχίας. Stet igitur vulgata lectio: *ad Remp. servandam opus est cum fortunæ auxilio, tum providentia vestra.* Ita Etruscus: *d' una divina gratia, e della vostra diligenza ha di bisogno.* Idem.

Ἐπάγονται κ. τ. λ.] 2 Pet. I. 1. ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν. Mox τὰ τοιαῦθ' v. ult. Markland. Uti habent Parisienses, et Suidas. Taylor.

Φιλίππῳ] Forte Φιλίππου ξενίαν — ὑποκοριζόμενοι. Τουτέστιν, ἀντὶ προδοσίας ξενίαν εὐφημοτέρως ὀνομάζοντες. Wolf. Φιλίππῳ Editi omnes cum Harleiano: In paucissimis MSS. Φιλίππου: quod tamen debuit legi. Taylor.

Καὶ τοιαῦθ' ὑποκοριζόμενοι] Id est, *honestis appellationibus rem sceleratam et pudendam velantes, et prætexentes.* est enim *ὑποκορίζεσθαι rem odiosam specioso nomine appellare,* aut *minus invidioso,* hoc est, εὐφήμως ὀνομάζειν. Sic Virgil. [Æn. IV. 172.] Conjugium vocat, hoc prætexit nomine culpam, τοῦτο τὸ ὑποκόρισμα τῇ ἁμαρτίᾳ προβαλλόμενος. *Ex edit.* Hervag.

Ὑποκοριζόμενοι —] Ὁ δὲ Δημοσθένης ἐχρήσατο τῇ λέξει, ἐπὶ τοῦ, εὐφημοῦντες, καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες. Λέγει γὰρ ἐν τῷ περὶ Παραπρεσβείας· Αὐθαίρετον αὐτοῖς ἐπάγονται δουλείαν, Φιλίππου ξενίαν, καὶ ἑταιρείαν, καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι. Suidas. ὑποκρινόμενοι Harl. Sed perperam. Nemo ex Interpretibus hæc probe intellexit. *Quam serviunt servitutem illiberalem, blando nomine dissimulant: vocant enim amicitiam cum Philippo initam.* Ea est vis τοῦ ὑποκορίζεσθαι, atque ea mens hujus commatis. Taylor.

Τὰ κύρια] Οἱ τὸ κῦρος, καὶ τὴν ἐξουσίαν ἔχοντες, οἱ ἄρχοντες, οἱ ἐν τέλει. Intelligo hæc de variis appellationibus Magistratuum in aliis atque aliis Civitatibus. Wolf. Wolfius: *Magistratus singularum urbium.* Potius: *Ii, quicunque sint, penes quos est summa potestas in singulis urbibus*: sc. Populus in Democratia, in Aristocratia Nobiles Jurin. Recte omnino et feliciter Vir, dum viveret, mihi amicissimus. Τὸ Κῦρος non significat Magistratus, sive τοὺς ἐν τέλει, sed, quod Nos emphatice in Lingua Anglicana, *The Constitution.* Eo modo intelligendi, distinguit Scriptor noster in hoc loco, inter τοὺς γνωριμωτάτους, τοὺς προεστάναι τῶν κοινῶν ἀξιουμένους, *eos, qui Remp. administrant,* et, τὰ κύρια — ἐν ἑκάστῃ τῶν πόλεων, sive *Remp. ipsam.* Dilucida hæc omnia et distincta. Verum interea, quinam sint illi λοιποὶ, paulo ante, eod. v. ult. qui tam odiose se his rebus admiscent, et conturbant omnia, quæ enarravimus? Et, quorum ope tam bellam versionem nobis procudit Wolfius? Sc. *ii, in quos collata est Reip. auctoritas, — cæteri autem, et magistratus singularum urbium.* Non potuit optare, non ausus est, ut, qui Græce nescivere, existimarent, Oratorum principem tam futilia, tam inania, tam insulsa blaterasse. Quid ergo? Pro οἱ λοιποὶ, omnino restituas οἱ πολλοί. Ex iis enim *constituta* erat Resp. Atheniensis. Et benigne sane nobiscum actum est, quod hæc mea Divinatio præsidium quoddam nacta esse videretur ab Auctore nostro, exeunte hac Oratione, sc. §. ϟζ'. ubi legimus ἡμῖν τοῖς πολλοῖς, καὶ πάντων κυρίοις. Parem omnino huic præ manibus locum habemus §. οα'. *a med.* ubi Lasthenes et Euthycrates erant οἱ προεστηκότες, οἱ ὑπὲρ ἄλλων λέγοντες, et sequitur deinde, οἱ δὲ πολλοὶ — οὐχ ὅπως ὠργίζοντο. Similiter in Oratione De Corona §. ιδ'. *post med.* Αἱ μὲν πόλεις ἐνόσουν, τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων — τῶν δὲ

ἅττα ποτ᾽ ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν, καὶ παραχρῆμα ἀποκτιννύναι, τοσοῦτον ἀπέχουσι τοῦ τοιοῦτόν τι ποιεῖν, ὥστε [1] καὶ θαυμάζουσι, καὶ ζηλοῦσι, καὶ βούλοιτ᾽ ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι.

οδ᾽. Καί τοι τουτὶ τὸ πρᾶγμα, καὶ τὰ τοιαῦτα ζηλώματα, Θετταλῶν μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν ἐχθὲς καὶ πρώην, τὴν ἡγεμονίαν, καὶ τὸ κοινὸν ἀξίωμα ἀπολωλέκει, νῦν δ᾽ ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται. τὰς γὰρ ἀκροπόλεις αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν. εἰς Πελοπόννησον δὲ εἰσελθὸν, τὰς ἐν [2] Ἤλιδι σφαγὰς πεποίηκε, καὶ [3] τοσαύτης παρανομίας, καὶ μανίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους, ὥσθ᾽, ἵνα ἀλλήλων ἄρχωσι, καὶ Φιλίππῳ χαρίζωνται, [4] τοὺς συγγενεῖς αὐτῶν, καὶ πολίτας μιαιφονεῖν. καὶ οὐδ᾽ ἐνταῦθ᾽ ἕστηκεν, ἀλλ᾽ εἰς Ἀρκαδίαν εἰσελθὸν, πάντ᾽ ἄνω καὶ κάτω τἀκεῖ πεποίηκε. καὶ νῦν Ἀρκάδων πολλοὶ, προσῆκον αὐτοῖς ἐπ᾽ ἐλευθερίᾳ μέγιστον φρονεῖν, ὁμοίως ὑμῖν,— μόνοι [5] γὰρ ἁπάντων ὑμεῖς αὐτό-

[1] Deest καί. [2] Ἦλιδι [3] τοσαύτης μανίας καὶ παροινίας [4] Deest articulus. [5] γὰρ τῶν ἁπάντων

ἰδιωτῶν καὶ πολλῶν κ. τ. λ. Iterum [in ead. §.] Συμβέβηκε τοῖς μὲν πλήθεσιν — τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς δὲ προεστηκόσι κ. τ. λ. Ita Noster Philippic. II. §. γ᾽. in *fin.* φυλακτήριον — τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. Ita Æschines c. Ctesiph. Λέγει γάρ που παιδεύων τὰ πλήθη, καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι, pag. 525. 14. ed. Reisk. Et antea p. 454. 9. ed. Reisk. εἴ τινες προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ. Scriptores enim antiqui indifferenter eam Remp. designant, sive per τοὺς πολλοὺς, sive per τὸ πλῆθος. Ita Lysias c. Agorat. Αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος καταλυθησόμενον, pag. 454. 7. Add. 411. 412. 447. 451. 599. etc. ed. Reisk. Etiam Latini Scriptores, (ut id obiter admoneam) præsertim si Atticissant, ita rem describere solent. *Non idem ipsis*, qui summas imperii tenerent, *expedire, et* Multitudini. Corn. Nep. in Miltiade §. 3. Loquitur enim ibi Histiæus de Tyrannis, quos in unaquaque civitate constituerat Darius (in quo numero et ipse fuit) et de iis Civitatibus, quæ populari forma uterentur Remp. administrandi. Aliud porro et insigne exemplum habemus in eodem Auctore. Accidit, ut Athenis duæ essent Factiones, quarum una Populi causam agebat, altera Optimatium. In hac erat Phocio. *In quem*, ait Cornelius noster, *tantum fuit odium* Multitudinis, *ut nemo ausus sit eum sepelire.* Quid? Cave, ut vocem istam *Multitudinis* de *majore*, sed de *altera*, parte interpreteris. Ut redeam jam ad Demosthenem, quis non fatebitur, istas sordes fuisse a me feliciter expurgatas? Οἱ προεστάναι τῶν κοινῶν ἀξιούμενοι — et deinde, οἱ πολλοὶ, id est, τὸ πλῆθος, sive τὸ κῦρος. Verum, quia unaquæque Civitas non eadem forma utatur imperii, subjicit: καὶ τὰ κύρια ἅττα ποτ᾽ ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων. Harpocratio vocem ἅττα illustrans ait sumtam esse in hac Oratione Demosthenis pro ὅσα. Potius pro οἷα, si hic sit locus. Nam et occurrit §. πδ᾽. *post med.* Modo melius ἑκάστῃ τῶν πόλεων, (sine præpositione) uti habet MS. Reg. δ. Taylor. Πλῆθος spoken of a few. Lysiæ or. funebr. v. Demosth. or. 2. c. Aristogiton. initio. Magnus multitudini timor injectus. Corn. Nep. Alcib. c. 3. Taylor. in schedis.

οδ᾽. Μέχρι μὲν ἐχθὲς καὶ πρώην] Ἐπ᾽ ὀλίγον χρόνον. Wolf.

Μανίας] Vid. Var. Lect.

Αὐτῶν] Corrige αὑτῶν. Markland.

Ὑμεῖς] S. οἱ Ἀθηναῖοι καὶ Ἀρκάδες. Sui-

425 χθονές ἐστε, κἀκεῖνοι —, Φίλιππον θαυμάζουσι, καὶ χαλκοῦν ἱστᾶσι, καὶ στεφανοῦσι, καὶ τὸ τελευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν εἰσὶν ἐψηφισμένοι. ταὐτὰ δὲ ταῦτα Ἀργεῖοι. ταῦτα, [1] νὴ τὴν Δήμητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖται· ὡς βαδίζον γε κύκλῳ, καὶ δεῦρο εἰσελήλυθεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ νόσημα τοῦτο. ἕως οὖν [2] ἐστὲ ἐν ἀσφαλεῖ, φυλάξασθε, καὶ τοὺς πρώτους εἰσαγαγόντας ἀτιμώσατε· εἰ δὲ μή, [3] σκοπεῖτε ὅπως μὴ τηνικαῦτα εὖ λέγεσθαι δόξῃ τὰ νῦν εἰρημένα, ὅτε οὐδ᾽ ὅ, τι χρὴ ποιεῖν ἕξετε.

οέ. Οὐχ ὁρᾶτε ὡς ἐναργὲς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφὲς παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ᾽ οὐδὲν οὕτως, ὡς τὸ [4] τὰ τοιαῦτα ποιεῖν, ἀπολώλασιν οἱ δείλαιοι. ἔχοιτε δ᾽ ἂν ἐξετάσαι καθαρῶς, ἐκ τῶν συμβεβηκότων αὐτοῖς. ἐκεῖνοι γὰρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον, καὶ σύμπαντες οὐδὲν ἦσαν [5] πλείους πενταχισχιλίων τὸν ἀριθμὸν, οὔπω Χαλκιδέων πάντων εἰς ἓν συνῳκισμένων, Λακεδαιμονίων ἐπ᾽ αὐτοὺς ἐλθόντων, καὶ πεζῇ, καὶ ναυτικῇ [6] πολλῇ δυνάμει, — ἴστε γὰρ δήπου τοῦθ᾽, ὅτι γῆς καὶ θαλάττης ἦρχον, ὡς ἔπος εἰπεῖν, Λακεδαιμόνιοι κατ᾽ ἐκείνους τοὺς χρόνους —, ἀλλ᾽ ὅμως τηλικαύτης ἐπ᾽ αὐτοὺς ἐλθούσης δυνάμεως, οὔτε τὴν πόλιν, οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν, καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν, καὶ τὸ τελευταῖον, ὅπως ἠβούλοντο, οὕτω τὸν πόλεμον κατέθεντο. ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι᾽ ἀβελτηρίαν οἱ πολλοὶ, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ [7] αὐτῶν λεγόντων, καὶ Λασθένης μὲν

[1] μὰ [2] ἔστ᾽ [3] σκοπεῖσθ᾽ [4] Deest articulus. [5] πλείους τῶν πεντ. [6] πολλῇ πεζῇ καὶ ναυτικῇ [7] αὑτῶν

das addit Αἰγινήτας καὶ Θηβαίους (sic enim lego, non Ἀθηναῖοι) et eam affert causam, quod vel terram ante ignavam excoluerint, vel non aliunde advenerint. Wolf. Bene. Diximus ad pag. 489. 10. ed. Reisk. Taylor.

Ταῖς πόλεσι] F. ἐν ταῖς πόλεσι. Markland.

Ἀργεῖοι] Subaudi, vel potius adde, ἐποίησαν. Deinde ταῦτα cum circumflexo est repetitio ad vim augendam orationis. Auger.

Εἰσελήλυθεν] Mallem hanc vocem participii formam gessisse, et τῷ, βαδίζον ex aequo respondisse: utraque voce absolute sumta, ut solent Attici. Taylor. Tanti non est quaerere, utrum εἰσερχόμενον, an εἰσεληλυθὸς voluerit. nam tota illa annotatione carere poteramus. Reisk.

οέ. Αὐτῶν] Αὑτῶν. Markland.

Λασθένης] Plutarch. de Garrulitate: Εὐθυκράτης μὲν οὖν ἔρεψε τὴν οἰκίαν τοῖς ἐκ

ἤρειψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας δοθεῖσι ξύλοις, Εὐθυ- 426
κράτης δὲ βοῦς ἔτρεφε πολλάς, τιμὴν οὐδενὶ δούς, ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα, ἄλλος δέ τις ἵππους, οἱ δὲ πολλοί, καὶ καθ' ὧν ταῦτα ἐγίγνετο, οὐχ ὅπως ὠργίζοντο, ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦντο· [1] ἐπειδὴ ταῦθ' οὕτω προήγετο, καὶ τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δὲ ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις, καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι, ἀλλὰ πρὶν μὲν ἐξελθεῖν ἐνιαυτὸν τοῦ πολέμου, τὰς πόλεις ἁπάσας ἀπολωλέκεσαν τὰς ἐν τῇ Χαλκιδικῇ οἱ προδιδόντες, καὶ Φίλιππος οὐκ ἔτ' εἶχεν ὑπακούειν τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν ὅ, τι πρῶτον λάβῃ, πεντακοσίους δ' ἱππέας προδοθέντας ὑπ' αὐτῶν τῶν ἡγεμόνων ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος, ὅσους οὐδεὶς πώποτε ἄλλος ἀνθρώπων, καὶ οὔτε τὸν ἥλιον ᾐσχύνοντο οἱ ταῦτα ποιοῦντες, οὔτε τὴν γῆν, πατρίδα οὖσαν, ἐφ' ἧς ἕστασαν, οὔτε ἱερά, οὔτε τάφους, οὔτε τὴν μετὰ ταῦτα γενησομένην αἰσχύνην ἐπὶ τοῖς τοιούτοις ἔρ-

[1] ἐπειδὴ δὲ ταῦθ'

Μακεδονίας ξύλοις, ὥς φησι Δημοσθένης· Φιλοκράτης δὲ χρυσίον πολὺ λαβών, πόρνας καὶ ἰχθῦς ἠγόραζεν, Εὐφόρβῳ δὲ καὶ Φιλάγρῳ τοῖς Ἐρέτριαν προδοῦσι, χώραν ὁ βασιλεὺς ἔδωκε. Taylor.

Δοθεῖσι] Hæreo de hac voce, non solummodo, quod apud Plutarchum non appareat, sed quod otiosa est, vel potius importuna. Dedit curiosus aliquis Annotator, qui Lectorem admonere voluit, Lasthenem *largitione* Philippi esse corruptum, cum potuit aliquis citra culpam domum suam exstruere, vel reficere ex lignis, vel materia Macedonica: et ideirco observat, eam non solum a Macedonia esse asportaatm, verum etiam *dono datam*. Eam cautelam a Demosthene non utique exspectabant ejus Auditores. Ergo vocem elimino. Idem.

Τιμὴν οὐδενὶ δοὺς] Id est, *gratis acceptos*, dono datos a Macedonibus. Markland.

Ἐπειδὴ ταῦθ' οὕτω] Forte addendum ἐπειδὴ δὴ, vel γοῦν, vel τοίνυν, ταῦθ' οὕτω — propter prolixitatem periodi. Wolf. Immo cum Aug. Cod. ἐπεὶ δὲ κ. τ. λ. Taylor.

Κεκτημένοι] Observes ἀνακολουθίαν hujus sententiæ. χιλίους ἱππέας κεκτημένοι, πλείους δὲ ὄντες, ἢ μύριοι — οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι. Vis et Spiritus Oratoris Grammaticam prostravit. Taylor.

Οἱ προδιδόντες] F. Glossa. Markland. Id quoque credo. Hoc non potuit a Demosthene proficisci, scil. τὰς πόλεις ἀπολωλέκεσαν — οἱ προδιδόντες, καὶ Φίλιππος οὐκ ἔτ' εἶχεν ὑπακούειν τοῖς προδιδοῦσιν. Et glossam esse puto istorum verborum οἱ ταῦτα ποιοῦντες, quæ occurrunt infra v. antepen. Neque me magnopere afficit, quod hæc duo adeo locis essent disjuncta. Solet hoc fieri. Taylor.

Οὐκ ἔτ' εἶχεν] Vid. Var. Lect.

Ὁ Φίλιππος] Iterum glossam sapit. Ecce enim in una periodo: Φίλιππος οὐκ ἔτ' εἶχεν — πεντακοσίους δ' ἱππέας — ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος. An potuit inhonestius scribi? An ab omni, non dicam elegantia, verum a castitate sermonis alienius? Taylor.

Ἐφ' ἧς ἕστησαν] Lege. Wolf.

γοις. οὕτως ἔκφρονας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραπλῆγας τὸ δωροδοκεῖν ποιεῖ. ὑμᾶς οὖν, ὑμᾶς εὖ φρονεῖν δεῖ, τοὺς πολλοὺς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα· ἀλλὰ κολάζειν δημοσίᾳ. καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους προδόντων, πολλὰ καὶ δεινὰ ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας, μὴ κολάζοντες φαίνοισθε. λέγε οὖν τὸ [1] ψήφισμα τὸ περὶ τῶν Ὀλυνθίων.

427 ## ΨΗΦΙΣΜΑ.

Ταῦτα ὑμεῖς, ὦ ἄνδρες δικασταὶ, ὀρθῶς καὶ καλῶς πᾶσιν Ἕλλησί τε καὶ βαρβάροις δοκεῖτε ἐψηφίσθαι, κατ' ἀνδρῶν προδοτῶν, καὶ θεοῖς ἐχθρῶν. ἐπειδὴ τοίνυν τὸ δωροδοκεῖν, πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστὶ, καὶ δι' ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, δωροδοκοῦντα ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομίζετε. εἰ δὲ ὁ μὲν καιροὺς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, [2] ὧν ἂν ἕκαστος αὐτῶν, οἶμαι, κύριος γίγνηται, ταῦτα διαφθείρει. μισεῖν δὲ ὁμοίως τοὺς τοιούτους ἅπαντας προσήκει.

ος'. Ἔστι δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων μόνοις πάντων τῶν ἄλλων ἀνθρώπων, οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς προγόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. καὶ γὰρ εἰ μὴ τὰς μάχας, μηδὲ τὰς στρα-

[1] ψήφισμά μοι τὸ

[2] *ὧν μὲν ἂν ἕκαστος, οἶμαι, κύριος γένηται

Ἐψηφίσασθε] Scribe ψηφίσαισθε. Markland.

Εἰ δὲ κ. τ. λ.] Legendum arbitror: Εἰ δὲ ὁ μὲν καιροὺς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσι, καὶ ὧν ἂν ἕκαστος αὐτῶν, οἶμαι, κύριος γίγνηται, ταῦτα διαφθείρει, μισεῖν δὴ ὁμοίως τοὺς τοιούτους ἅπαντας προσήκει. Et sic mecum verto: *Quod si hic opportunitates, ille negotia, tertius milites prodit, et, ut uno verbo complectar, cuicunque res aliquæ fuerint commissæ, eas utique perdat, omnes demum istiusmodi pari odio digni esse censeantur.* Hic tacitus discedit Wolfius ab omnibus exemplaribus, ubi ἕκαστος ὑμῶν universe. Taylor. Cur tamen propagat errores Taylor. cur recoquit? ipse videns et arguens. Reisk.

ος'. Εἰ μὴ τὰς μάχας —] S. μιμεῖσθαι συμβαίνει καιρὸς, ἀλλ' εἰ ἄγετε ἡσυχίαν etc. Hunc locum videtur imitatus Cicero I. de Offic. ubi de imitatione parentum agit. Si, inquit, *non poterit sive causas defensitare, sive populum concionibus tenere, sive bella gerere, illa tamen præstabit, quæ erunt in ipsius potestate, justitiam, liberalitatem, fidem, modestiam, temperantiam, quo minus ab eo id, quod desit, requiratur.* Wolf.

Εἰ μὴ τὰς μάχας — συμβαίνει καιρὸς] Sc. καιρὸς [τοῦ μιμεῖσθαι] τὰς μάχας etc. Quod infinitivum subintelligendum est ex τῷ μιμεῖσθε ad finem sententiæ, si hæc integra sint. Markland. Acute hæc, ut omnia, Vir ingeniosissimus. Verum locum *haud integrum* ita restituunt MSti: καὶ γὰρ εἰ μὴ τὰς μάχας — ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς. Ita disco ex marg. Benen. et Altemps. Ita etiam Codd. Aug. Ven. Harl. Ital. Tayl.

τείας, μηδὲ τοὺς κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι [1] λαμπροὶ, συμβαίνει καιρὸς, ἀλλ' ἄγετε ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γε εὖ φρονεῖν αὐτῶν μιμεῖσθε· τούτου γὰρ πανταχοῦ χρεία. καὶ οὐδέν ἐστι πραγματωδέστερον, οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς. ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν ἕκαστος, ἂν μὲν ἃ χρὴ γιγνώσκῃ περὶ τῶν πραγμάτων καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει, καὶ ἄξια τῶν προγόνων πράξει· ἂν δ' ἃ μὴ δεῖ, [2] φαυλότερα καὶ ἀνάξια τῶν προγόνων ποιήσει. τί οὖν ἐκεῖνοι περὶ τούτων ἐφρόνουν; ταυτὶ λαβὼν ἀνάγνωθι, γραμματεῦ. δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι ἐπὶ τοῖς τοιούτοις ἔργοις ῥαθυμεῖτε, ὧν θάνατον [3] κατεγνώκασιν οἱ πρόγονοι. λέγε ταῦτα.

[4] ΓΡΑΜΜΑΤΑ ΕΚΛΟΓΗΣ. 428

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν γραμμάτων λεγόντων,

[1] λαμπροὶ, ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς, ἀλλ' ἄγεθ' [2] φαυλότερά τε καὶ [3] κατεγνώκασιν ὑμῶν οἱ [4] ΓΡΑΜΜΑΤΑ ΕΚΛΟΓΗΣ] Στήλη

Ἐν τῷ ἴσῳ χρόνῳ] Quicquid statuatur de hoc Textu, dubio sane, atque, ut videtur, inficeto, nemo integræ mentis absolverit mirabilem istam conversionem, *pari spatio temporis*. Sed locus sine dubio est contaminatus. Nonnihil proficimus, sublata voce χρόνῳ. *Vos nunc in deliberationibus, æqualem partem Reip. sustinentes, ac illi militantes.* Pene videor tenere mentem Auctoris. Idem.

Ψηφίζηται] Recte. Male editur a Parisiensibus ψηφίζεται. Idem.

ΓΡΑΜΜΑΤΑ ΕΚΛΟΓΗΣ] Qui sit delectus iste, me ignorare fateor. Wolf. An ΓΡΑΜΜΑΤΩΝ ΕΚΛΟΓΗ? Markland. Lege omnino ΓΡΑΜΜΑΤΑ ΕΚ ΣΤΗΛΗΣ, ut annotatum est in margine Benenati. Leges, Plebiscita, Fœdera, omnia denique cujuscunque generis Monumenta, fuisse apud Antiquos columnis lapideis, æreis, ligneisve exarata, nemo est, qui ignorat. Leges. Ἀνάγνωθι, inquit Lysias, Orat. I. 31. 11. ed. Reisk. p. 17. ed. Tayl. δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου. Ita Demosth. c. Neær. p. 1370. 25. Τοῦτον τὸν νόμον γράψαντες ἐν στήλῃ λιθίνῃ ἔστησαν ἐν τῷ ἱερῷ — καὶ αὕτη ἡ στήλη ἔτι καὶ νῦν ἕστηκεν. Adde p. 1381. 10. ed. Reisk. Ita Andocid. Orat. I. p. 12. Edit. Steph. Ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τοῦ βουλευτηρίου; Atque hinc loco Lysiæ deploratissimo, sc. Orat. c. Nicomachum p. 852. ult. ed. Reisk. p. 478. ed. Tayl. si memineris, mi Lector, aut ea res te ceperit, Lux olim plenissima a me affusa. Fœdera porro. Ita in Epistola Philippi, §. γ. in init. Ἐγὼ δὲ τούτους οὔτε τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας ὑμῖν, οὔτ' ἐν ταῖς στήλαις ἀναγεγραμμένους. Deinde Æschines c. Ctesiph. p. 460. 3. ed. Reisk. Ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' Ἀθηναίων, καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν. Harpocratio denique v. Ἀττικοῖς γράμμασι. Θεόπομπος ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν Βάρβαρον συνθήκας, ἃς οὐ τοῖς Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι, ἀλλὰ τοῖς τῶν Ἰώνων. Postremo Obæratorum nomina, maxime autem proscriptorum (*Relegatos* vocat Jurisprudentia nostra) cippis et saxis frequenter, cum titulo et causa condemnationis, inscribi solebant. Isocrates in Orat. de Bigis. Εἰς τοσοῦτον ὕβρεως ἦλθον, ὥστ' ἔπεισαν ὑμᾶς ἐλαύνειν αὐτὸν ἐκ πάσης τῆς Ἑλλάδος, καὶ στήλην ἀναγράφειν. Diodorus Siculus, l. 16. Ὁ δὲ Φιλόμηλος ἐπαρθεὶς τῇ νίκῃ, τὰς τῶν Ἀμφικτυόνων ἀποφάσεις ἔκ τε τῶν στηλῶν ἐξέκοψε, καὶ τὰ περὶ τῶν καταδικῶν

Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην, ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος ἅπαν. διὰ τί; ὅτι τὸν [1] χρυσὸν ἐκ τῶν Βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. οὐκοῦν ἐστὶν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν, ὅτι οἱ πρόγονοι μὲν ὑμῶν, ὅπως μηδὲ ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι μηδὲν ἐργάσηται κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον· ὑμεῖς δὲ οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν ἀδικήσῃ, προορᾶσθε. νὴ Δί',

[1] χρυσὸν, τὸν ἐκ

γράμματα. Unde factum est, ut στηλιτεύεσθαι idem esset, ac *Proscribi*: et λόγοι στηλιτευτικοὶ apud Antiquos pro *Invectivis* passim haberentur. Cujusmodi sunt Gregorii Nazianzeni Orationes duæ adv. Julianum: Istius posterior his verbis clauditur: Αὕτη σοι παρ' ἡμῶν στήλη τῶν Ἡρακλείων στηλῶν ὑψηλοτέρα τε καὶ περιφανεστέρα — ἣν καὶ ὁ μέλλων ὑπολήψεται χρόνος, εὖ οἶδα, σέ τε καὶ τὰ σὰ στηλιτεύουσαν, καὶ τοὺς λοιποὺς πάντας παιδεύουσαν, μή τινα τοιαύτην κατὰ Θεοῦ τολμᾷν ἐπανάστασιν, ἵνα μὴ τὰ ὅμοια δράσαντες, τῶν ἴσων καὶ ἀντιτύχωσιν. Omnino Lycurg. c. Leocratem p. 234. 235. Plato. περιϊόντες ὥσπερ οἱ ἐν ταῖς στήλαις. At quid in his moramur? Hoc in Arthmio esse factum, et hæc ipsa verba, quæ hic memorat Noster, esse in ejus *cippo* insculpta, abunde docemur. Orator noster in Philipp. III. [§. 9.] Οὐ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο, εἰς στήλην χαλκῆν γράψαντες — τί οὖν λέγει τὰ γράμματα;

ΑΡΘΜΙΟΣ, φησι, Ο ΠΥΘΩΝΑΚΤΟΣ
Ο ΖΕΛΕΙΤΗΣ
ΑΤΙΜΟΣ ΕΣΤΩ ΚΑΙ ΠΟΛΕΜΙΟΣ ΤΟΥ ΔΗΜΟΥ ΤΩΝ ΑΘΗΝΑΙΩΝ
ΚΑΙ ΤΩΝ ΣΥΜΜΑΧΩΝ
ΑΥΤΟΣ ΚΑΙ ΓΕΝΟΣ.

Εἶθ' ἡ αἰτία προσγέγραπται, δι' ἣν τοῦτ' ἐγένετο,

ΟΤΙ ΤΟΝ ΧΡΥΣΟΝ ΤΟΝ ΕΚ ΤΩΝ ΜΗΔΩΝ ΕΙΣ ΠΕΛΟΠΟΝΝΗΣΟΝ
ΗΓΑΓΕΝ.

Sed hoc unico testimonio contentus non ero. Addere liceat Aristidem: Θεμιστοκλῆς μὲν Ἀρίθμιον (Ita Aristidis ubique exemplaria, Tu corriges mecum) ἐστηλίτευσεν, ὅτι τὸν ἐκ Μήδων etc. Iterum. Τοῦ δ' αὐτοῦ φρονήματός ἐστι καὶ ἡ στήλη, ἣν ὕστερον τούτων ἔστησαν, λέγουσαν τάδε·

ΑΡΙΘΜΙΟΝ ΤΟΝ ΠΥΘΩΝΑΚΤΟΣ ΤΟΝ ΖΕΛΕΙΤΗΝ
ΑΤΙΜΟΝ ΚΑΙ ΠΟΛΕΜΙΟΝ ΕΙΝΑΙ ΤΟΥ ΔΗΜΟΥ ΤΩΝ ΑΘΗΝΑΙΩΝ
ΑΥΤΟΝ ΚΑΙ ΓΕΝΟΣ
ΟΤΙ ΤΟΝ ΕΚ ΜΗΔΩΝ ΧΡΥΣΟΝ ΕΙΣ ΠΕΛΟΠΟΝΝΗΣΟΝ
ΗΓΑΓΕΝ.

Vid. Aristid. Tom. II. pag. 218. 303. Edit. postrem. Coronidis loco adjiciantur hæc ex Nonno, qui Historica Ὑπομνήματα Gregorii Nazianzeni collegit, et illustravit. Στήλη δέ ἐστιν ἡ λίθος ἢ χαλκὸς, ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾗ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. Οἷον Ἀθηναῖοι τὸν Ζελείτην Ἄρθμιον, τὸν διαφθείροντα τοὺς Ἕλληνας χρήμασιν, ἐπὶ τῷ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἐν στήλῃ ἀνέγραψαν, ἀτιμώσαντες καὶ αὐτὸν, καὶ ἅπαν τὸ γένος αὐτοῦ, ἐξουσίαν δεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ αὐτὸν ἀποκτεῖναι, ἐγγράψαντες καὶ τὴν αἰτίαν ἐν αὐτῇ τῇ στήλῃ, ἥτις ἦν αὐτῷ τῷ Ἀρθμίῳ ψόγος· ὅτι, φησὶ, τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων εἰς Πελοπόννησον ἤγαγεν. Εἰδέναι δὲ χρὴ, ὅτι πολλάκις καὶ εὐεργετῶν αἱ εὐεργεσίαι ἐν ταῖς στήλαις ἀνεγράφοντο, ὥσπερ ἡ τοῦ Λεύκωνος, τοῦ ἄρχοντος Βοσπόρου, ἀνεγράφη ἐν Ἀθήναις.

ἀλλ' ὅπως ἔτυχε ταῦτα τὰ γράμματα ἕστηκεν; ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ, καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐν δεξιᾷ ἕστηκεν· ἣν, ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, [1] δόντων Ἑλλήνων τὰ χρήματα ταῦτα, ἀνέθηκε. τότε μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον, καὶ τὸ κολάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό, τε ἀριστεῖον τῆς θεοῦ, καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτα ἀδικούντων τιμωρίαι· νῦν δὲ, [2] γέλως, ἄδεια, αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς.

οζ΄. Νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ καὶ κατὰ πάντα, ὅσα ἔπραττον ἐφεξῆς. ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες εὖ οἶδ' ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου, [3] τὸν ταύτην τὴν ὑπὸ πάντων θρυλλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ καταβαίνειν ἐπὶ [4] τὴν θάλατταν βασιλέα, 429
ἐντὸς δὲ Χελιδονέων καὶ Κυανέων, πλοίῳ μακρῷ μὴ πλεῖν,

[1] δόντων τῶν ἑλλήνων [2] γέλως, *ὅση ἄδεια Αἰσχίνῃ, εἰ μὴ, τὴν ἄγαν ἐξουσίαν ταύτην
[3] Deest articulus. [4] [τὴν]

Plura de Arthmio præstabunt Plutarch. in Themistocle Vol. 1. p. 253. Harpocrat. v. Ἄτιμος, Dinarchus, Æschines, Vales. ad Harpocrat. pag. 26. aliique. Taylor.

Ἀλλ' ὅλης] Videtur deesse μηδαμῶς in subjectione, ante ἀλλ' ὅλης: aut τὸ ἀλλὰ pro *immo vero* ponitur. Wolf. Ellipsis est Negativæ οὐχὶ ante ἀλλ'. Unde explicatur par omnino locus D. Pauli, 1. Cor. X. 19, 20. Τί οὖν φημι; ὅτι εἴδωλόν τι ἐστὶν, ἢ ὅτι εἰδωλόθυτόν τι ἐστίν; Respondet ipse [Οὐχί·] Ἀλλ' [φημὶ] ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ Θεῷ. Confer loca. Markland. Suppletur Negativa in marg. Morel. οὐ μὰ Δία. Taylor.

Ἐν δεξιᾷ] Ἐκ δεξιᾶς in MSS. fere cunctis. Atque ita laudat Hermog. de formis Orat. Tom. I. pag. 272. Idem.

Τὸ δίκαιον καὶ τὸ κολάζειν] Lege. Wolf.

Τὸ ἀριστεῖον τῆς θεοῦ] Simile est istud σημεῖον Ἰωνᾶ τοῦ προφήτου apud Evang. sc. Matth. XII. 39. et alibi. Nam hæc Statua Deæ erat ipsissimum ἀριστεῖον. Taylor.

Ἀριστεῖον τῆς θεοῦ] *Præmium fortitudinis Divæ*. i. e. Statua Divæ quæ erat præmium, monimentum fortitudinis. Auger.

Νῦν δὲ, γέλως, ἄδεια] S. τὸ τοιαῦτα ἀδικεῖν. Quod vero sequitur, αἰσχύνη, videtur ad sequentia pertinere, εἰ μὴ ὑμεῖς σχήσετε νῦν τὴν ἄγαν ταύτην ἐξουσίαν, αἰσχύνη ἐστί. Wolf. Disputo, quæ hic scripsit Wolfius. Totum enim (non vocem αἰσχύνη solam) pertinere video ad sequentia. Sed tum quid erit ἄδεια? Nimirum ex loco suo exturbatur, quem occupavit. Vox alia et similis ἄγαν. Lege itaque: νῦν δὲ γέλως, αἰσχύνη, εἰ μὴ τὴν ἄδειαν ταύτην καὶ ἐξουσίαν σχήσετε νῦν ὑμεῖς. Taylor. Lego νῦν δὲ γέλως καὶ ἄδεια (ἔσται) αἰσχύνη opprobrium quo quis se donis corrumpi sinit. Auger.

οζ΄. Ὡς ἅπαντες] Εὖ οἶδ, ὡς (ὅτι) ἅπαντες τὸν λόγον τοῦτον ἀκηκόατε. Wolf.

Ἵππου κ. τ. λ.] Dixi ad Lycurg. §. 17. de hoc fœdere. Taylor.

Βασιλέα] Lege τὸν βασιλέα, ut §. μβ΄. *post med*. et ubique. Nam Rex Persarum ὁ βασιλεὺς Græcis appellabatur. Markland.

Χελιδονέων] Stephanus Χελιδονίας πέτρας appellat per ι. Κυάνεαι, Συμπληγάδες, Συν-

ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν, ἐν δὲ ταῖς εὐθύναις πεντήκοντα ἐπράξαντο [1] τάλαντα. καίτοι καλλίω ταύτης εἰρήνην, οὔτε πρότερον, οὔθ᾽ ὕστερον, οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν πόλιν. ἀλλ᾽ οὐ τοῦτο ἐσκόπουν. τούτου μὲν γὰρ ἡγοῦντο τὴν ἑαυτῶν ἀρετὴν, καὶ τὴν τῆς πόλεως δόξαν, αἰτίαν εἶναι· τοῦ δὲ προῖκα, ἢ μὴ, τὸν τρόπον τοῦ πρεσβευτοῦ. τοῦτον οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκητον, τὸν προσιόντα τοῖς κοινοῖς. ἐκεῖνοι μὲν οὖν οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν, καὶ ἀλυσιτελὲς τῇ πόλει, ὥστε μήτ᾽ ἐπὶ πράξεως μηδεμιᾶς, μήτε ἐπ᾽ ἀνδρὸς ἐᾶν γίγνεσθαι· ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν εἰρήνην ἑωρακότες, τὰ μὲν τῶν συμμάχων τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων οἰκίας οἰκοδομοῦσαν, καὶ τὰ μὲν τῆς πόλεως κτήματα ἀφῃρημένην, τούτοις δ᾽ ἃ μηδὲ ὄναρ ἤλπισαν πώποτε, κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ κρίνετε, ὧν ἔργῳ [2] τὰ ἀδικήματα πάντες ὁρῶσιν. οὐ τοίνυν τὰ παλαιὰ ἄν τις ἔχοι μόνον εἰπεῖν, καὶ διὰ τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι, ἀλλ᾽ ἐφ᾽ ὑμῶν τουτωνὶ τῶν ἔτι ζώντων ἀνθρώπων πολλοὶ δίκην δεδώκασιν· ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω, τῶν δ᾽ ἐκ πρεσβείας, ἢ πολὺ ταύτης ἐλάττω κακὰ τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων, ἑνὸς ἢ [3] δυοῖν ἐπιμνησθήσομαι. καί μοι λέγε τουτὶ τὸ ψήφισμα [4] λαβών.

430 ΨΗΦΙΣΜΑ.

Κατὰ τουτὶ τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πρέσβεων ἐκείνων ὑμεῖς θάνατον κατεγνώκατε· ὧν εἷς ἦν Ἐπικράτης,

[1] τάλαντα ἐπράξαντο. [2] τἀδικήματα [3] δυεῖν [4] λαβών. λέγε.

δρομάδες vel ex Homeri Scholiaste notæ sunt. Wolf.

Ὅτι δῶρα λαβεῖν] At in Cimonis vita Plutarchus contra asserit; et Calliam, de quo hic sermo, dicit multum honoris et reverentiæ adeptum fuisse ex hac legatione apud Athenienses. Cui credendum? Utrique, ut credo. Callias accusatus vitæ periculum adiit; at crimine δωροδοκίας absolutus multum honoris adeptus est. Palmer.

Τοῦτον οὖν δίκαιον] S. τὸν τρόπον χρὴ παρέχεσθαι δίκαιον, τὸν προσιόντα τοῖς κοινοῖς. Wolf. Τοῦτον, sc. τὸν τρόπον. Vage interpretatur Wolfius. Markland.

Ἐπ᾽ ἀνδρὸς ἐᾶν γίγνεσθαι] Lege. Wolf. Aldus enim ἐᾷ. Taylor.

Ἢ πολὺ ταύτης] Lege, ut sit articulus postpositivus, cum adspiratione. Wolf.

Ἐπικράτης] Infra, §. οθ΄. ad init. dicit,

ἀνὴρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος, καὶ πολλὰ χρήσιμος τῇ πόλει, καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τὸν δῆμον, καὶ ἄλλως δημοτικός. ἀλλ᾽ ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων. δικαίως. οὐ γὰρ ἐφ᾽ ἡμισείᾳ χρηστὸν εἶναι δεῖ, τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδὲ τὸ πιστευθῆναι [1] προσλαβόντα παρ᾽ ὑμῶν, εἰς τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆσθαι· ἀλλ᾽ ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα.

οη΄. Εἰ τοίνυν [2] τί τούτων ἄπρακτόν ἐστι τούτοις, ἐφ᾽ οἷς ἐκείνων θάνατος κατέγνωσται, ἐμὲ ἀποκτείνατε ἤδη. σκοπεῖτε γάρ. ἐπειδὴ παρὰ τὰ γράμματά φησιν ἐπρέσβευσαν ἐκεῖνοι [3] καὶ τὸ ψήφισμα. καὶ τοῦτ᾽ ἔστι τῶν ἐγκλημάτων τὸ πρῶτον. οὗτοι δὲ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα Ἀθηναίοις, καὶ τοῖς Ἀθηναίων συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην· οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ μὲν ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν· οὗτοι δὲ οὓς ὁ Φίλιππος αὐτοῖς προσέπεμψε, τούτους [4] ὥρκωσαν; οὐ τὸ μὲν ψήφισμα οὐδαμοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ· οὗτοι δ᾽ οὐδὲν ἐπαύσαντο ἰδίᾳ χρηματίζοντες; [5] καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ ἀπαγγέλλοντες. οὗτοι

[1] προλαβόντα [2] τι [3] [καὶ τὸ ψήφισμα,] [4] ὥρκισαν [5] καὶ·

hunc Epicratem· ἐκπεσεῖν, *exsilio mulctatum fuisse*, vel, *urbe pelli*, Wolfio vertente. Dubito, an ibi recte. Vid. init. Androt. ubi ἐκπεσεῖν vertit *honore dejicere*. Latine dici posset *excidere*. Sub quo comprehenditur vel Mors, vel Exsilium, vel Mulcta. MARKLAND. Harpocr. et Suid. v. Ἐπικράτης, ad hunc locum digitum intendunt. Male ergo Cod. Paris. δ. Εὐθυκράτης: Quo pacto etiam habet infra, §. οθ΄. *ad init.* De hoc Epicrate multa Maussacus ad glossam Harpocrationis, et Valesius ad Annotata Maussaci. Alius porro erat Epicrates, Æschinis affinis, ut observarunt iidem Lexicographi, οὗ ἐπώνυμον Κυρηβίων, ὡς Δημ. ἐν τῷ κατ᾽ Αἰσχίνου. Vid. §. π΄. in *fin.* TAYLOR.

Χρήσιμος] F. πολλὰ χρήσιμος γενόμενος τῇ πόλει. WOLF.

Καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τὸν δῆμον (S. εἷς) καὶ ἄλλως δημοτικὸς] Lege. WOLF. Ald. valde insincere τὸν et ἄλλος. TAYLOR.

Ἐφ᾽ ἡμισείᾳ] Malim ἐξ ἡμισείας, ut Aristot. ὅτι οἱ Λακεδαιμόνιοι ἐξ ἡμισείας δυστυχοῦσι γυναικοκρατούμενοι. WOLF. γρ. ἡμίσεια et ἡμισείᾳ. Quod si hoc postremum obtineat, annotavit alibi Wolfius intelligendum esse μερίδι. TAYLOR.

Καταχρῆσθαι] S. τῷ πιστευθῆναι. WOLF.

οη΄. Ἄπρακτόν ἐστι τούτοις] Lege. IDEM. Quidam enim εἰ τοίνυν τι τούτων ἄπρακτόν ἐστι τούτων. Optime hæc verba ordinantur in nonnullis exemplaribus: εἰ τοίνυν τι τούτοις ἄπρακτόν ἐστι τούτων, ἐφ᾽ οἷς κ. τ. λ. Lind. Ven. Obsop. TAYLOR.

Ὁρκοῦν — ὥρκισαν] Ergo τὸ ὁρκοῦν et ὁρκίζειν idem valent: nisi, ut existimo, legendum sit ὥρκωσαν. WOLF. Quænam est hæc petulantia, et prurigo emendandi! Quare exterminanda est ὥρκισαν, ab ὁρκίζω, vox ab omnibus confirmata Codd. quæ æque valet *jusjurandum deferre*, ac ὥρκωσαν, quæ profecta est ab ὁρκόω. Noster De Corona §. ι. ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν. TAYLOR.

Καὶ ἠλέγχθησάν τινες] Lege. WOLF. Aldus enim ἠλέχθησαν. Restituerunt et alii. TAYLOR.

δέ γε καὶ ἐν τῷ δήμῳ· καὶ ὑπό του; — τοῦτο γάρ ἐστι τὸ λαμπρὸν — ὑπ' αὐτῶν τῶν πραγμάτων. οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα δήπου γέγονε τἀναντία. οὐδὲ ἐπιστέλ-
431 λοντές φησι [1] τὰ ἀληθῆ. οὐκοῦν οὐδ' οὗτοι. καὶ καταψευδόμενοι τῶν συμμάχων καὶ δῶρα λαμβάνοντες. ἀντὶ μὲν τοίνυν τοῦ καταψεύδεσθαι, παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δή που τοῦτο τοῦ καταψεύσασθαι δεινότερον· ἀλλὰ μὴν, ὑπέρ γε τοῦ δῶρα εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν τὸ λοιπὸν ἂν ἦν, ἐπειδὴ δὲ ὁμολογοῦσιν, ἀπάγειν δή που προσῆκε.

οθ'. Τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτων οὕτως ἐχόντων, ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καί τινες αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου, καὶ [2] τῶν ἐκ Πειραιῶς, Ἐπικράτην, ἐκπεσεῖν καὶ κολασθῆναι, καὶ πάλιν πρώην [3] Θρασύβουλον ἐκεῖνον, τὸν Θρασυβούλου τοῦ δημοτικοῦ υἱὸν, [4] καὶ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι, καὶ [5] τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, [6] καὶ τῶν τὰ μέγιστα ἀγαθὰ ὑμᾶς [7] ἐργασαμένων, οὓς νόμῳ διὰ τὰς εὐεργεσίας, ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς, ἐπὶ ταῖς θυσίαις, σπονδῶν,

[1] τἀληθῆ [2] τὸν [3] Θρασύβουλον, *ἐκείνου τοῦ Θρασυβούλου [4] καὶ τοῦ ἀπὸ [5] τὸν [6] [καὶ] [7] ἐργασαμένων ὑμᾶς

Οὐδ' οὗτοι] Ita f. distinguendum: οὐδ' οὗτοι; cum Interrogatione. Sensus est: Οὐδ' οὗτοι, sc. ἠλέγχθησαν οὐ τἀληθῆ ἀπαγγέλλοντες, οὐδὲ ἐπιστέλλοντες τὰ ἀληθῆ. Markland.

Ἐπειδὴ δὲ ὁμολογοῦσιν, ἀπάγειν δήπου προσῆκε] *Cum vero fateantur, nimirum ad supplicium par est ut rapiantur.* Id enim ἀπάγειν significat, ut κατ' Ἀριστοκράτ. etiam, ἀπάγειν ἔξεστιν εἰς τὸ δεσμωτήριον dixit. *Ex edit.* Hervag.

οθ'. Οἱ δὲ καί τινες αὐτῶν ἔτι ζῶντες] Ὑμεῖς τινες, ἀντὶ τοῦ, ὑμῶν τινες αὐτῶν. S. τῶν προγόνων. Wolf.

Καὶ τῶν ἐκ Πειραιῶς] Iterum lege. S. ἕνα. Idem. i. e. καὶ ἕνα τῶν ἐκ Πειραιῶς. Ut §. πδ'. *ante med.* τῶν ἀπιστούντων Φιλίππῳ, pro ἕνα τῶν etc. Et supra, §. οζ'. *in fin.* Markland. Melius hoc multo, quam quod legitur in Benenato, aliisque Editis, sc. τὸν ἐκ Πειραιῶς. Taylor. Correctio hæc est, quæ nemini non facile occurrat. nolim tamen ideo probare. Reisk.

Ἐκπεσεῖν] *Excidisse*, nempe, de vita. Auger.

Καὶ τὸν ἀπὸ Φυλῆς] Καὶ τοῦ ἀπὸ Φυλῆς. Etsi malim abesse articulum. Wolf. Necessarium sane articulum, τοῦ ἀπὸ Φυλῆς, prout legitur in MSS. præfocavit Wolfius. Male τὸν Ald. Felician. et Harl. Taylor.

Τάλαντα δέκα ὠφληκέναι] Id est, *decem talentis damnari.* Idem, ὦφλε τὴν δίαιταν, *ab arbitris damnatus est.* Et rursum alibi, καὶ δίκην ἐξούλης ὠφληκὼς ταύτην, οὐκ αὐτὸς ὠφληκέναι φησὶν, ἀλλ' ἐμὲ, *atque in hac controversia de vi damnatus, non se damnatum, sed me esse contendit. damnati* enim dicuntur οἱ ὠφληκότες et οἱ ὄφλοντες. *Ex edit.* Hervag.

Καὶ τῶν ἀφ' Ἁρμοδίου] Si hoc ad Thrasybulum non refertur, cujus mihi genealogia nota non est, subintelligendum est, aut omissum, τινάς. Ulpianus Proxenum intelligit. Wolf.

Καὶ τῶν τὰ] F. delendum *καί*. Vel legendum τῶν καὶ τὰ etc. Markland. Recte deest καὶ in Cod. δ. Taylor.

καὶ κρατήρων κοινωνοὺς πεποίησθε, καὶ ᾄδετε καὶ τιμᾶτε
ἐξ ἴσου τοῖς ἥρωσι, καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας τὴν
ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην, μήτε
ἔλεον, μήτε παιδία κλάοντα, ὁμώνυμα τῶν εὐεργετῶν, μήτ᾽
ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι· τὸν δὲ Ἀτρομήτου τοῦ γραμ-
ματιστοῦ, καὶ Γλαυκοθέας, τῆς τοὺς θιάσους συναγούσης,
ἐφ᾽ οἷς ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον ὑμεῖς [1] λαβόντες, τὸν
τῶν τοιούτων, τὸν οὐδὲ καθ᾽ ἓν χρήσιμον τῇ πόλει, οὐκ αὐ-
τὸν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου, [2] ἀφήσετε;
ποῖος γὰρ ἵππος, ποία τριήρης, ποία στρατεία, ποία χο- 432
ρηγία, τίς χορὸς, τίς λειτουργία, τίς εἰσφορὰ, τίς εὔνοια,
ποῖος κίνδυνος, τί [3] τούτων ἁπάντων, ἐν [4] παντὶ χρόνῳ γέ-
γονε παρὰ τούτων τῇ πόλει; καίτοι, κἂν εἰ ταῦτα πάντα
ὑπῆρχεν, ἐκεῖνο δὲ μὴ προσῆν, τὸ, δικαίως, καὶ πρᾶκα πε-
πρεσβευκέναι, ἀπολωλέναι δή που προσῆκεν [5] αὐτῷ· εἰ δὲ
μήτε ταῦτα, μήτε ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ ἀναμνη-
σθήσεσθε, ὧν οὗτος κατηγορῶν ἔλεγε Τιμάρχου; ὡς οὐδέν
ἐστιν ὄφελος πόλεως, ᾗ τις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας
ἔχει, οὐδὲ πολιτείας, ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν
νόμων μεῖζον ἰσχύουσιν. οὐδὲ ἐλεεῖν ὑμᾶς οὔτε τὴν μητέρα
[6] δεῖν τὴν Τιμάρχου, γραῦν γυναῖκα, οὔτε τὰ παιδία, οὔτε
ἄλλον οὐδένα, ἀλλ᾽ ἐκεῖνο ὁρᾶν, ὅτι εἰ προήσεσθε τὰ τῶν νό-
μων, καὶ τὰ τῆς πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς
ἐλεήσοντας. ἀλλ᾽ ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτίμωται,
ὅτι τοῦτον εἶδεν ἀδικοῦντα· τούτῳ δ᾽ ἀθῴῳ δώσετε εἶναι; διὰ
τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς ἐξαμαρτανόντων τηλικαύ-

[1] λαβόντες ἀφήσετε, τὸν [2] Deest ἀφήσετε. [3] τῶν [4] παντὶ τῷ χρόνῳ [5] αὐτὸν [6] δεῖ

Καὶ κρατήρων] Κρατῆρες fortasse additi sunt, quod unicuique Deo sui peculiares crateres fuerunt. WOLF.

Ἱέρεια] Quædam hic non inutilia habet Scholiastes. Meminerit autem lector meus, hæc et ejusmodi omnia, quæ ad Æschinis genus et familiam pertinent, quemadmodum et ea, quæ ad Demosthenis pariter, studiose a me in vita Auctorum recenseri. TAYLOR.

Χορηγὸς] Lege χόρος. Alioqui χορηγία et χορηγὸς inanis erit nugatio. WOLF. Vid. Var. Lect.

Αὐτῷ] Rectius αὐτόν. Ita optimi Reg. a. Aug. Harl. TAYLOR.

Ἐκεῖνα] L. ἐκεῖνο. Vide, quæ præcedunt. MARKLAND.

Οὐδὲ ἐλεεῖν κ. τ. λ.] Hæc cum non sint in Æschinis oratione, satis apparet, eum, ut et cæteros oratores, aliter dixisse, aliter scripsisse; ipsoque eventu edoctos et detraxisse et addidisse et mutasse complura. Nisi forte et hoc sit Demosthenicæ licentiæ mendacium. WOLF.

Οὐδὲ ἐλεεῖν] F. οὐ δὴ — non igitur. Ut §. λα΄. in fin. οὐ δὴ δίκαιον. MARKLAND.

την ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν, παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦτα ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν, τοὺς ὀμωμοκότας καὶ δικάζοντας; νὴ Δί'. οἱ νέοι γὰρ [1]ὑμῶν δι' ἐκεῖνον ἔσονται [2]τὸν ἀγῶνα βελτίους; οὐκοῦν καὶ [3]διὰ τόνδε οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. προσήκει δὲ καὶ τούτων φροντίζειν.

π'. Ἵνα τοίνυν εἰδῆτε, ὅτι καὶ τοῦτον ἀπώλεσε τὸν Τίμαρχον, οὐ, μὰ Δία, οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως
433 ἔσονται σώφρονες, προορῶν, — εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ νῦν σώφρονες, μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ πόλει, ὥστε Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους —, ἀλλ' ὅτι βουλεύων ἔγραψεν, ἄν τις ὡς Φίλιππον ὅπλα ἄγων ἁλῷ, ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν. σημεῖον δέ. πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος; πολύν. οὐκοῦν τοῦτον ἦν Αἰσχίνης ἅπαντα ἐν τῇ πόλει, καὶ [4]οὐδὲ πώποτε ἠγανάκτησεν, οὐδὲ δεινὸν ἡγήσατο εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν ἐλθών, ἑαυτὸν [5]ἐμίσθωσε. λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ τοῦ [6]Τιμάρχου.

ΨΗΦΙΣΜΑ.

Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας, μὴ ἄγειν ἐν τῷ πολέμῳ

[1] ὑμῖν [2] τὸν ἀγῶνα ἔσονται βελτίους. [3] διὰ τοῦτόν γε οἱ [4] οὐδεπώποτε
[5] ἐμίσθωσε Φιλίππῳ. [6] Τιμάρχου. λέγε.

Ὑμῶν] Ὑμῖν legit marg. Edit. Paris. Ven. Harl. Ital. cum Edit. Felician. (ἡμῖν Harl.) solita et nota syntaxi. Ἐστασίαζε μὲν αὐτῷ τὰ Θετταλῶν, infra §. πθ'. post med. et alibi passim. Atque ita hic interpretatur Wolfius. Taylor.

Διὰ τόνδε] Vertendum, *propter hoc*, judicium nempe, non, *propter hunc*, sc. Æschinem, ut Wolfius. Opponuntur enim δι' ἐκεῖνον τὸν ἀγῶνα, et διὰ τόνδε. Jurin. Omnino recte Vir doctissimus. Animadverti velim hic, in Edit. Morel. legi διὰ τῶνδε, atque in Codd. Regiis, α. β. ε. διὰ τούτων γε. Atqui id inde enatum, quia Scriba, aut malus Corrector, existimabat, intercessisse aliquid inter τόνδε et δι' ὧν, quod sequitur. Quod tamen verum non est: quia δι' ὧν pertinet ad τοὺς πολιτευομένους. Et recte alicubi Wolfius: Malim, διὰ τόνδε, sc. ἀγῶνα τῆς παραπρεσβείας. Διὰ τοῦτόν γε Aug. Harleianus autem, ut editur. Taylor.

π'. Σημεῖον δὲ] *Hujus rei argumentum est.* Nam σημεῖον δὲ cum dicunt, hoc significant, hujus rei quam dico signum est et argumentum, et sine verbi substantivi aut alius adjectione dicitur. Simile est ἀπόδειξις δὲ, et τεκμήριον δέ. *Ex edit.* Hervag.

Πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος;] *Quanto igitur tempore concionari licuit Timarcho? multo. At omni eo tempore Æschines in urbe fuit, nec unquam conquestum est, quod Timarchus publice concionaretur.* δημηγορεῖν et λέγειν pro eodem dixit, h. e. *oratorie loqui, concionari.* Idem.

πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μὴ, θανάτῳ ζημιοῦσθαι, ἀπόλωλε, καὶ ὕβρισται· ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλα ἐκείνῳ παραδοὺς οὑτοσὶ, κατηγόρει, καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοὶ, δυοῖν μὲν κηδεσταῖν παρεστηκότοιν, οὓς ἰδόντες ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν [1] εἰς Αἴγυπτον Χαβρίᾳ, καὶ τοῦ καταράτου [2] Κηρυβιῶνος, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ [3] προσωπείου κωμάζει. καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. ἀλλὰ δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες ὅσοι οἱ περὶ πορνείας ἐρρύησαν λόγοι.

πα΄. Καὶ μὴν εἰς [4] ὅσην ἀτιμίαν τὴν πόλιν ὑμῶν ἡ τούτου πονηρία, καὶ ψευδολογία καταστήσασα ἔχει, πάντα

[1] εἰς Αἴγυπτον ἐμίσθωσε [2] Κηρυβίωνος [3] προσώπου
[4] ὅσην αἰσχύνην καὶ ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτου πονηρία

Εἰ δὲ μὴ, θανάτῳ ζημιοῦσθαι] Hoc loco εἰ δὲ μὴ significat εἰ δὲ μὴ πειθαρχήσει, *quod si non pareat. sin minus* enim et *alioqui* significat. Idem.

Κατηγόρει] Recte, ut exemplaria optima, propter sequens ἔλεγεν. Mala fide nobiscum egit Wolfius, qui κατηγορεῖ legit, in præsenti tempore, et pariter interpretatur. Taylor.

Οὓς ἰδόντες ἂν] Quia alii illius causæ judices fuerunt, quotannis mutari soliti. Istos ergo affines in hoc judicio non affuisse, τὸ δυνητικὸν μόριον, ἰδόντες ἂν, τουτέστιν, εἰ ἴδοιτε, arguit. Wolf.

Κηρυβιῶνος] Ad hanc vocem ita annotavit I. Meursius, I. Attic. Lect. 4. "Τοῦ καταράτου Κυρηβίωνος. Ita rescribo. Hodie editur τοῦ καταράτου Κηρυβιῶνος. Nam Κυρηβίωνος scripsisse Demosthenem certum ex Suid. in Ἐπικράτης, et Harpocr. in Κηρυβίων. Quibus addo Athen. l. 6. Κυρηβίων δ' ἐπεκαλεῖτο Ἐπικράτης, ὁ Αἰσχίνου τοῦ ῥήτορος κηδεστὴς, ὥς φησι Δημοσθένης, ἐν τῷ περὶ τῆς Παραπρεσβείας. Idem mendum apud Ulpianum in eandem Orat. καὶ τοῦ καταράτου Κηρυβιῶνος] Τὸ μὲν ὄνομα, Ἐπικράτης, τὸ δὲ Κηρυβιῶνος, Ἀττικῶς. λέγει δὲ τὸ κάθαρμα, καὶ εὐτελές. Κηρύβια γὰρ τὰ ἀποκαθάρματα τοῦ σίτου λέγουσι. Rescribe Κυρηβίωνος et Κυρήβια. Scio ego, κηρύβια scribi apud nonnullos Grammaticos Græcos, sed tamen apud potiores κυρήβια. Corruptus quoque Alexis in Pancratiaste, apud Athen. l. c. et Themist. in Orat. Πῶς τῷ φιλοσόφῳ λεκτέον." Hactenus Vir doctissimus. Taylor.

Ἄνευ τοῦ προσωπείου] Consule Ulpianum ad loc. Harpocr. v. Πομπείας, ceteros. Annotavit hic σχόλιον, in antiquis libris reperiri πρόσωπον, non προσωπεῖον. Vide quantum auctoritatis tribuat Cod. Augustano, qui ex istis veterrimis describi videtur, cum retineat προσώπου! Idem.

Καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν] Ἀποδίωξις καὶ Ἀποσιώπησις, quasi præ indignatione flagitia Aphobeti commemorare non possit. Wolf.

Καὶ τί ταῦτα;] *Et quid hæc?* i. e. hæc sunt levia, ecce aliquid majus. Auger.

Ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον] Referenda hæc sunt et conjungenda cum superioribus: περὶ πορνείας ἔλεγεν, δυοῖν μὲν κηδεσταῖν παρεστηκότοιν—ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον, cum indignatione. *Accusavit,* inquit, *Æschines Timarchum impudicitiæ coram duobus suis affinibus, Nicia et Cerybione, multo impurioribus. Sed hoc parum est. Accusavit eum etiam coram suo fratre Aphobeto.* Amare! Markland.

Ὅσοι οἱ] Vid. Var. Lect.

πά. Καταστήσασα ἔχει] Ἀντὶ τοῦ, κατέστησεν, ut φλυαρεῖς ἔχων, πλεονασμῷ Ἀττικῷ. Wolf. Non admodum est simile, quod produxit Wolfius. Propius illud Lucretii I. 1068.

Sed vanus stolidis hæc omnia finxerit error,
Amplexi *quod* habent *perversa prima viai.*

Huic locutioni ortum debere Neotericorum verbum, quod dicunt, *auxiliare,* habere, notavit H. Stephanus Conformité du lang. Franc. avec le Grec. Taylor.

τὰ ἄλλα ἀφεὶς, [1]ὃ πάντες ὑμεῖς ἴστε, ἐρῶ. πρότερον μὲν
434 γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' ὑμῖν ἐψήφισται, τοῦτο ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δὲ δὴ περιερχόμεθα ἡμεῖς, τί δέδοκται τοῖς ἄλλοις σκοποῦντες, καὶ ὠτακουστοῦντες, τί τὰ τῶν Ἀρκάδων; τί τὰ τῶν Ἀμφικτυόνων; ποῖ πάρεισι Φίλιππος; ζῇ, ἢ τέθνηκεν; οὐ [2]τοιαῦτα ποιοῦμεν; ἐγὼ δὲ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ· ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν, καὶ τιμωρεῖσθαι. οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' [3]ὑμῶν ὑγιαίνῃ, ἀλλ' εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τινες τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου, νῦν ἀναβήσονται· ταῦτα φοβεῖ με. τί γὰρ δή ποτε, Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ πρώην, τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι καλούμενος ἠθέλησας, [4]εἴς τε τὸ τίμημα ἀναβὰς, ὑπὲρ μὲν ἐκείνων

[1] ἃ [2] ταῦτα [3] ὑμῖν [4] εἰς δὲ

Ὃ πάντες ὑμεῖς ἴστε] Nove hoc, ut *cætera omnia dissimularet*, id solum, *quod omnes norant, proferre vellet*. Lege cum MStis δ. et Aug. πάντα τὰ ἄλλα ἀφεὶς, ἃ πάντες ὑμεῖς ἴστε — *omissis iis, quæ vos bene nostis*. Parisienses neque ὃ, neque ἃ. Idem.

Τοιαῦτα] Ταῦτα potius, ut habent Reg. δ. et Aug. Idem.

Ἐγὼ δὲ] Locum hunc aliquanto plenius laudat Hermogenes περὶ δεινότητος. so. Ἐγὼ δὲ οὐ τοῦτο δέδοικα, εἰ Φίλιππος ζῇ, ἢ τέθνηκεν, ἀλλ' εἰ — T. II. p. 334. Idem.

Παρ' ὑμῶν] F. ὑμῖν. Et vicissim modo, παρ' ὑμῶν ἄδεια γενήσεται. Vid. §. 47. *a med.* Markland. Vid. Var. Lect.

Νῦν ἀναβήσονται] *Nunc ascendent*, nempe Æschini et ejus similibus auxiliaturi. Auger.

Ἡγησίλεῳ] Incorrecte. Ratione accentus formam habet Genitivi, ratione autem τοῦ Ἰῶτα subscripti, Dativi quidem. Ulpianus cum margine Benenati, accuratius Ἡγησίλεω κρινομένου. Quod si recte fit, quid statuemus de Θρασυβούλῳ, τῷ — θείῳ? An hæc etiam in eundem casum vertentur? Mihi quidem videtur, propter constructionem totius commatis. Taylor.

Θείῳ] S. σοῦ, sive patruo, sive avunculo tuo. Πάτρως γὰρ, ὁ πρὸς πατρὸς, μήτρως δὲ, ὁ πρὸς μητρὸς θεῖος. Quæ, incognita genealogia, discerni per se non possunt. Sed quid hæc nostra? Neque enim hæreditatem illorum cernemus. Wolf. Punge igitur post Νικηράτου. Θρασυβούλῳ τῷ Νικηράτου, θείῳ so. σοῦ, et pariter distingue in versione, ut distinxerat quidem Wolfius, dum nos Editioni Lutecianæ adhæsimus. Ita tamen, si viri doctissimi Genealogia se recte habeat. Ulpianus quidem in ea est sententia; et utrosque, Hegesilaum et Thrasybulum, modo vocat Noster Eubuli cognatos et necessarios. Taylor.

Ἐπὶ μὲν τῆς πρώτης ψήφου] Cum, ut conjicio, teneaturne reus, pronunciatur. ἡ δευτέρα ψῆφος, cum lis æstimatur, et mulcta dicitur. Wolf. Recte conjicis. Confirmo in proximis. Taylor.

Εἴς τε τὸ τίμημα] Lege, εἴς τε τὸ τε βῆμα, sensu manifesto. Et ita habet Editio Benenati in margine adscriptum. Palmer. Habet quidem τὸ βῆμα ex Cod. β. adscriptum, quo pacto et marg. Altemps. et Bodl. sed nullo commodo. Wolfius hæc vidit et vertit recte. Sed nemo melius hæc explanabit, quam Æschines in ea, quæ est c. Ctesiphontem, p. 586. ed. Reisk. Εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα — ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον

οὐδ᾽ ὁτιοῦν ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοι· εἶτα ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ Αἰσχίνου δὲ ἀναβήσῃ; ὅς, ἡνίκα ἔκρινεν Ἀριστοφῶν Φιλόνεικον, καὶ δι᾽ ἐκείνου τῶν σοὶ πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ᾽ ἐκείνου σοῦ, καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο· ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ [1] δεξάμενος, καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη, καὶ χρήματα εἰσφέρειν, καὶ τὰ θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν, ἃ συνεῖπε μὲν οὗτος, ἔγραψε δὲ ὁ βδελυρὸς Φιλοκράτης, ἐξ ὧν ἀντὶ καλῆς αἰσχρὰν συνέβη γενέσθαι τὴν εἰρήνην, οὗτοι δ᾽ ἐπειδὴ τοῖς μετὰ ταῦτα ἀδικήμασι πάντα 435

[1] δεδεξάμενος

ὕδωρ τῷ κατηγόρῳ — τὸ δὲ δεύτερον — τῷ τὴν γραφὴν φεύγοντι —. Ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δὲ ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, νόμον αἰτεῖ κ. τ. λ. TAYLOR.

Συγγνώμην ἔχειν σοι] Queat dicere Eubulus, eo se hæc facere, quod habeat religioni, nocentem et nefarium impiumque defendere. Causam autem aliam esse Æschinis, quem Demosthenes innocentem in judicium capitis arcessierit, et eloquentiam a natura ad salutem hominum, et ad conservationem datam, ad boni viri pestem perniciemque convertat. WOLF.

Ἀναγκαίων] Nota, ἀναγκαίους hic, ut et Latinis, dici *Necessarios*. Sic et Isocrates τὴν *συγγένειαν*, *ἀνάγκην* vocat his verbis: *μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας. ἡγεῖτο γὰρ πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης*. IDEM.

Ὅς — συγκατηγόρει] Sic alienare studet Eubulum ab Æschine. IDEM.

Συγκατηγόρει μετ᾽ ἐκείνου σοῦ] Explicatio marginalis præcedentis sententiæ. MARKLAND. Quanquam hæc Oratio istiusmodi glossis et quisquiliis ultra modum sit referta, hic tamen rem ita se habere, multum dubito. Videor enim videre ita sententiam progredientem: *Cum Aristopho Philonicum in judicium adduxit, et per illum tua quoque, Eubule, crimina attigit, iste Æschines una cum Aristophonte te accusabat, et inter inimicos tuos numerabatur. Cur igitur istum Æschinem nunc adjuvas? cur defendis?* TAYLOR.

Τουτουσὶ δεξάμενος] Ποτέρους; τοὺς δικαστὰς, ἢ τοὺς περὶ τὸν Αἰσχίνην; adhibitis judicibus, aut populo? Vel ἀποδεξάμενος τουτουσὶ, suffragatus Æschini et Philocrati, vel approbatis istis? Ego hæc verba, quæ non satis intelligo, notavi asterisco. Pro μὲν τουτουσὶ, Versio mea declarat, me aut alicubi notatum legisse, aut legi oportere suspicatum esse, σὺ μετὰ τούτους λεξάμενος. Sed nihilo magis hoc placet. WOLF. Cum his ultimis dictis pene consentit Etruscus Interpres: *Ma poi che tu dopo che costoro hebbero finito*, parlasti, *e dicesti* — Licet δεξάμενος cum ista interpretatione stare possit. διαδεξάμενος, διδαξάμενος, etc. alii. Sed neque *Excipere*, neque *Dicere*, neque *Docere*, quidquam valent. Corrige periculo nostro δεδεξάμενος. Oratio Eubuli erat *comminatoria*. Dixit enim, *aut* extrema esse subeunda, sc. descendendum in Piræeum, et Theatralem pecuniam in Militarem convertendam (quod nisi in summo discrimine Reip. fieri non solebat) *aut* statuenda esse ea, quæ Philocrates suadebat, τουτουσὶ δεδεξάμενος, hos nempe, qui adstant, digito monstratos, Cives Athenienses, *hos*, inquam, *perterrefaciens*. Et præterea δεδεξάμενος est Lectio Codd. omnium, qui aut ævitate valent, aut sinceritate scribendi, Ital. Ven. Harl. et Aug. Et in hoc postremo additur scholiolon, sc. Δεδεξάμενος] εἰς δέος καταστήσας. Illud habe. TAYLOR.

Τουτουσὶ] Αἰσχίνην καὶ Φιλοκράτην· ἢ τοὺς περὶ τὸν Αἰσχίνην. *Ex edit.* BROOK.

Οὗτοι δ᾽ ἐπειδὴ] M. οὗτοι δὴ ἐπειδὴ, ut sit repetitio ἐν τῇ ἀποδόσει propter prolixitatem τῆς προτάσεως. WOLF. Deleri suadeo istud ἐπειδή. Et deest quidem

ἀπολωλέκασι, τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν τῷ δήμῳ [1] κατηγορῶν Φιλίππου, καὶ κατὰ τῶν παίδων ὤμνυες, ἦ μὴν ἀπολωλέναι Φίλιππον, ἂν [2] βούλησθε· νῦν δὲ βοηθήσεις τούτῳ; πῶς οὖν ἀπολεῖται, ὅταν τοὺς παρ' ἐκείνου δωροδοκοῦντας σὺ σώζῃς; τί γὰρ δήποτε, [3] Μυροκλέα μὲν ἔκρινας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου, καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς· τοὺς δὲ ἔχοντας, ὁμολογοῦντας, ἐξελεγχομένους ἐπαυτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας, τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σώζειν κελεύεις;

πβ'. Καὶ μὴν, ὅτι ταῦτα μέν ἐστι φοβερὰ, καὶ προνοίας καὶ φυλακῆς πολλῆς δεόμενα· ἐφ' οἷς δὲ ἐκείνους σὺ [4] ἔκρινας, γέλως, ἐκεῖθεν ὄψεσθε. ἦσαν ἐν Ἤλιδι κλέπτοντες τὰ κοινά τινες; καὶ μάλα εἰκός γε. ἔστιν οὖν ὅς τις μετέσχεν αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. τί δέ; ἦσαν, ὅτε ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; ἐγὼ μὲν οἶμαι. ἆρ' οὖν διὰ τούτους ἀπώλετο Ὄλυνθος; οὔ. [5] τί οὖν;

[1] κατηρῶ Φιλίππῳ   [2] βούλεσθαι   [3] Μοιροκλέα   [4] ἔκρινες   [5] τί δ' ἐν Μεγάροις

in binis Regg. δ. ε. in Lind. et Aug. Cohærent hæc cum prioribus, v. 6. ἐπειδὴ δὲ σὺ μὲν — οὗτοι δ' — Wolfius locum non intellexit. Taylor.

Φιλίππου] Recte, si obtineat κατηγορῶν. Sed quæ mens tum fuerit tot legentium Φιλίππῳ? Mirum, ni sinceriora sint, quæ habent MSS. Ald. et Felician. ἐν μὲν τῷ δήμῳ κατηρῶ Φιλίππῳ, *Diris insectabaris*. Idem.

Ἀπολωλέναι Φ.] F. ἀπολωλέναι ἂν Φίλιππον, *fore, ut pereat*. Ut, ἂν ἑαλωκέναι, §. πζ'. *post med.* Markland.

Τί γὰρ δήποτε Μυροκλέα μὲν ἔκρινας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου] Vel hic aliquid subaudiendum, vel εἰ ἀντὶ τοῦ ὅτι ponitur et διότι. Idem in eadem, [§. πδ'. *post med.*] καὶ τοὺς Ἀρκάδας ὑμῖν ἀπήγγειλεν, ὡς ἔχαιρον εἰ προσέχει τοῖς πράγμασιν ἤδη ἡ τῶν Ἀθηναίων πόλις. Et rursus in eadem, οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ. ἀλλ' ἡ εἰρήνη δι' Αἰσχίνην διαβέβληται. σημεῖον δέ. εἰ γὰρ, &c. *Ejus autem quod dico argumentum est quod sequitur*. Simile est τεκμήριον δὲ, quod pro eodem ponitur. *Ex edit.* Hervag.

Μυροκλέα] Alii non per υ, sed per οι scribunt, Μοιροκλέα. Sed parum refert, sive παρὰ τὸ τοῦ μύρου, sive τὸ τῆς μοίρας κλέος, appellatus fuerit. Wolf.

Παρ' ἑκάστου] Ἑλληνικώτερον erit, si priorem vocem eliminaveris: παρὰ τῶν — ἐωνημένων — ἑκάστου. Taylor.

Γραφὴν ἱερῶν χρημάτων] Fortassis pecuniæ sacræ quæstor aliquid inde mutuatus fuit. Wolf.

Ἐπὶ τὴν τράπεζαν ἔθηκεν] Utrum τὴν ἱερὰν, an τὴν τῶν τραπεζιτῶν? Num et sacram pecuniam fœnore occuparunt? Idem.

Πεποιηκότας] F. πεπρακότας. Markland.

πβ'. Ἦσαν] Lambinus, nulla cogente necessitate: τί δέ; οὐκ ἦσαν ἐν Ὀλύνθῳ, ὅτε ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; Taylor.

Τοιοῦτοί τινες ἄλλοι;] Pro quo alias ἕτεροι. Quod non semper conduplicationem præcedentis numeri significare, alibi notatum est. Wolf.

Τί οὖν;] F. τί; ἐν Μεγάροις, ut ἐν Ἤλιδι, v. 15. et ἐν τοῖς Μεγάροις, v. 8. p. seq. Nam τί οὖν non convenit huic loco. Markland. Vid. Var. Lect.

Μεγάροις οὐκ οἴεσθ' εἶναί τινα κλέπτην, καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη καὶ πέφηνε. τίς οὖν αἴτιος αὐτόθι νῦν τούτων τῶν συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς. ἀλλὰ ποῖοι, καὶ τίνες εἰσὶν οἱ τὰ τηλικαῦτα, καὶ [1] τοιαῦτα ἀδικοῦντες; οἱ νομίζοντες [2] αὑτοὺς ἀξιόχρεως εἶναι, τοῦ Φιλίππου ξένοι, καὶ φίλοι προσαγορεύεσθαι, οἱ στρατηγιῶν τε, καὶ [3] προστασίας ἀξιούμενοι, οἱ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. οὐ Περίλαος ἐκρίνετο ἔναγχος ἐν [4] τοῖς Μεγάροις ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς Φίλιππον ἀφίκετο, 436
καὶ παρελθὼν Πτοιόδωρος αὐτὸν ἐξῃτήσατο, καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ πρῶτος [5] ὢν Μεγαρέων, καὶ πάλιν ὡς Φίλιππον [6] ἐξέπεμψε; καὶ μετὰ ταῦτα, ὁ μὲν ἧκεν, ἄγων τοὺς ξένους, ὁ δ' ἔνδον [7] ἐτύρευε τοιαῦτα. οὐ γάρ ἐστιν, οὐκ ἔσθ' ὅ, τι τῶν πάντων μᾶλλον [8] εὐλαβεῖσθαι δεῖ, ἢ τὸ, μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι. μή μοι σωζέσθω, μηδ' ἀπολλύσθω μηδεὶς, ὃν ἐὰν ὁ δεῖνα βούληται, ἀλλ' ὃν ἂν τὰ πεπραγμένα σώζῃ, καὶ τοὐναντίον, τούτῳ τῆς προσηκούσης ψήφου παρ' ὑμῶν ὑπαρχέτω τυγχάνειν. τοῦτο γάρ ἐστι δημοτικόν.

πγ'. Ἔτι τοίνυν, πολλοὶ παρ' ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροὶ, Καλλίστρατος ἐκεῖνος, αὖθις Ἀριστοφῶν, Διόφαν-

[1] τοιαῦτα καὶ τηλικαῦτ' [2] ἑαυτοὺς [3] προστασιῶν [4] Deest articulus.
[5] Deest ὢν. [6] ἐξέπεμψε, [7] ἐτύρευε. τοιαῦτα. [8] εὐλαβεῖσθαι δεῖ μᾶλλον

Τίς οὖν αἴτιος αὐτόθι νῦν τούτων, τῶν συμβεβηκότων πραγμάτων] Sic puto legendum, ut τούτων referatur ad κλέπτας: Τίς τούτων αἴτιος τῶν νῦν αὐτόθι συμβεβηκότων πραγμάτων; Wolf. Recte. Quis igitur eorum? In marg. Altemps. ad hunc fere modum: ἀνάγκη, καὶ πέφηνέ τις αἴτιος αὐτόθι νῦν τούτων. Taylor.

Ἀλλὰ ποῖοι κ. τ. λ.] Incuriosius hæc edidit Benenatus: ἀλλὰ ποῖοι, καὶ τίνες εἰσὶν οἱ τὰ τοιαῦτα τηλικαῦτα, καὶ τοιαῦτα ἀδικοῦντες; Idem.

Πτοιόδωρος] "Πτυόδωρος Harpocr. Edit. Maussac. Ποιόδωρος Edit. Ald. Πτοιόδωρος recte apud Suidam. Hic est, quem memorat Thucyd. l. 4. et Plutarch. Dione." Hæc Meurs. IV. Attic. Lect. 2. Idem.

Ὢν] Non admodum necessaria Vox. Ita tamen tacitus Wolfius, omnibus invitis exemplaribus. Quod non oportuit fieri. Idem.

Ἐξέπεμψε] Κατεσκεύαζε Cod. ϛ. Mira sane varietas. Sed neque varia est lectio, neque huic loco convenit. Quid ergo? Sane Glossa est insolitæ vocis, quæ proxime sequitur, ἐτύρευε. Ecce enim: τυρεύων, κατασκευάζων. καὶ τυρεύσαντες, κατασκευάσαντες, Suid. Ita Ulpianus quoque: Ἐτύρευε] κατεσκεύαζε, ἐμηχανᾶτο. Cæterum notatu dignum est, quod legitur in Polluce VI. 32. Εἰ δὲ καὶ Δημοσθένης φησὶν, ὁ δὲ ἔνδον ἐτύρευεν, ἀλλ' οὐκ ἔγωγε ἀποδέχομαι τὸ τυρεύειν. Idem.

Μή μοι κ. τ. λ.] Vid. Var. Lect.

Τοὐναντίον, τούτῳ] Τῷ Αἰσχίνῃ. Thesin enim transfert ad Hypothesin. Wolf. Wolfius sequitur suam distinctionem Textus, quam et Ego repræsentavi. Quæ si præstare videbitur, hic erit Sensus: *Neminem alicujus Gratia vel eripiat, vel perdet. Unusquisque autem vel ex rebus gestis servetur, vel, si ita res tulerit, condemnetur, uti hicce Æschines.* Vide, quæ diximus ad Æschin. c. Timarchum, pag. 45. Not. 66. ed. Reisk. Taylor.

τος, τούτων ἕτεροι πρότερον. ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ. ἐν δὲ τοῖς δικαστηρίοις, οὐδείς πω μέχρι τῆς τήμερον ἡμέρας ὑμῶν, οὐδὲ τῶν νόμων, οὐδὲ τῶν ὅρκων κρείττων γέγονε. μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. ὅτι γὰρ ταῦτα φυλάττοισθε ἂν εἰκότως μᾶλλον ὑμεῖς, ἢ τούτοις πιστεύοιτε, τῶν θεῶν ὑμῖν μαντείαν ἀναγνώσομαι, οἵ περ ἀεὶ σώζουσι τὴν πόλιν πολλῷ τῶν προεστηκότων μᾶλλον. λέγε τὰς μαντείας.

ΜΑΝΤΕΙΑΙ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν, οἷα ὑμῖν προλέγουσιν; εἰ μὲν τοίνυν πολεμούντων ὑμῶν ταῦτ' ἀνῃρήκασι, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι· πολέμου γάρ εἰσιν ἡγεμόνες οἱ στρατηγοί· εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας. οὗτοι γὰρ ἡγοῦνται, τούτοις
437 πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε. καὶ τὴν πόλιν δεῖν συνέχειν φησὶν ἡ μαντεία, ὅπως ἂν μίαν γνώμην ἔχωσιν ἅπαντες, καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι. πότερον οὖν οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοσαῦτα κακὰ εἰργασμένον, σωθέντα, ἢ δίκην δόντα, [1] ἡδονὴν Φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶμαι σωθέντα. φησὶ δέ γε ἡ μαντεία, [2] ἀεὶ δεῖν, ὅπως ἂν μὴ χαίρωσιν οἱ ἐχθροί, ποιεῖν. ἅπασι [3] τοίνυν μιᾷ γνώμῃ παρακελεύεται κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς, ὁ Ζεύς, ἡ Διώνη, πάντες οἱ θεοί.

[1] ἡδονὴν ἂν Φιλίππῳ [2] [ἀεὶ] [3] τοίνυν ὑμῖν μιᾷ

πγ'. Τοῦτον] Refero ad Eubulum. Aug.

Τῶν θεῶν] F. τὰς τῶν θεῶν ὑμῖν μαντείας ἀναγνώσομαι, ex sequentibus. Markl.

Πολλῷ - - - μᾶλλον] *Multo magis.* Auger.

Ἡγοῦνται] Videtur deesse εἰρήνης, vel τότε. Markland.

Πότερον] F. πότερ' ἂν οὖν, ut lingua postulat. Idem.

Διώνη] Δωδώνη reponit Gul. Canter. VIII. Nov. Lect. 12. idque confirmat auctoritate Dinarchi. Hominem vide. Taylor. Reperi hoc in margine Lessing. Reisk. Canter. sic: "Datum fuit Atheniensibus quondam a Dodonæo Jove oraculum, quo jubebantur inter cætera suos principes cavere, civitatemque ita constituere, ut una sententia cuncti uterentur, nec hostibus lætandi occasionem præbere. Hoc oraculum Demosthenes quidem de Falsa legat. de Æschine interpretatur. Dinarchus autem in Demosthenem de ipso Demosthene, qui pecuniam ab Harpalo inter alios acceperit. Sed in utroque vocabulum unum corruptum legitur, in priore loci, in posteriore oraculi. Demosthenes enim post factam oraculi mentionem, hæc subjungit, ἅπασι κ. τ. λ. at hic Δωδώνη pro Διώνη reponendum est. Dinarchus vero recitaturus oraculum ait, λέγε τὴν μαρτυρίαν πρῶτον. at hic μαντείαν scribendum fuerat. Et illum quidem locum ita corrigendum esse docet apertissime Dinarchus, qui prodiisse dicit hoc oraculum ἐκ

ἔξωθεν οἱ ἐπιβουλεύοντες, ἔνδοθεν δὲ οἱ συμπράττοντες.
οὐκοῦν τῶν ἐπιβουλευόντων μὲν ἔργον, τὸ διδόναι· τῶν συμ-
πραττόντων [1] δὲ, λαμβάνειν, καὶ τοὺς εἰληφότας ἐκσώζειν.

πδ΄. Ἔτι τοίνυν κἂν ἀπ᾽ ἀνθρωπίνου λογισμοῦ [2] τοῦτο
ἴδοι τίς, ὅτι πάντων ἐχθρότατον καὶ [3] φοβερώτατον τὸ, τὸν
προεστηκότα ἐᾶν οἰκεῖον γίγνεσθαι τοῖς μὴ τῶν αὐτῶν ἐπι-
θυμοῦσι τῷ δήμῳ. τίσι γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέ-
γονε Φίλιππος ἁπάντων, καὶ τίσι τὰ μέγιστα κατείργα-
σται τῶν πεπραγμένων, σκέψασθε. τῷ παρὰ τῶν πωλούν-
των τὰς πράξεις ὠνεῖσθαι, τῷ τοὺς προεστηκότας ἐν ταῖς
πόλεσι διαφθείρειν, καὶ [4] ἐπαίρειν τούτους. ταῦτα τοίνυν
ἐφ᾽ ὑμῖν ἐστὶν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα ποιῆσαι
τήμερον, ἐὰν τῶν μὲν, μὴ ἐθέλητε [5] ἀκούειν, τοῖς τοιούτοις
συνηγορούντων, ἀλλ᾽ ἐπιδείξητε ἀκύρους ὄντας ὑμῶν· νῦν
γάρ φασιν εἶναι κύριοι· τὸν δὲ πεπρακότα ἑαυτὸν κολάσητε,
καὶ [6] τοῦτον ἅπαντες ἴδωσι. παντὶ μὲν γὰρ εἰκότως ἂν
ὀργισθείητε, ὦ ἄνδρες Ἀθηναῖοι, [7] τοιαῦτα πεποιηκότι, καὶ 438
προδεδωκότι συμμάχους, καὶ φίλους, καὶ καιροὺς, μεθ᾽
[8] ὧν καλῶς, ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάντα· οὐ μὴν οὐ-
δενὶ μᾶλλον οὐδὲ δικαιότερον ἢ τούτῳ. ὃς γὰρ ἑαυτὸν τάξας
τῶν ἀπιστούντων εἶναι Φιλίππῳ, καὶ μόνος καὶ πρῶτος
ἰδὼν, ὅτι κοινὸς ἐχθρὸς [9] ἐκεῖνός ἐστιν ἁπάντων τῶν Ἑλλή-
νων, ηὐτομόλησε, καὶ προὔδωκε, καὶ γέγονεν ἐξαίφνης ὑπὲρ
Φιλίππου, πῶς οὐ πολλάκις ἔσθ᾽ [10] οὗτος ἄξιος ἀπολωλέ-

[1] δὲ τὸ λαμβάνειν [2] τοῦτ᾽ ἂν ἴδοι τις [3] φοβερώτατόν ἐστι τὸ
[4] ἐπαίρειν. *τούτοις. [5] ἀκούειν, τῶν τοῖς [6] τοῦτό *γ᾽ ἅπαντες [7] τὰ τοιαῦτα
[8] ὧν ἢ καλῶς [9] ἐκεῖνός ἐστιν ἐχθρὸς [10] οὗτος ἄξιός ἐστιν

Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου. hunc autem ita restituendum fuisse, cum Demosthenes hoc loco, tum Dinarchus ipse prioribus ac posterioribus verbis indicii satis dederat."

Ἔξωθεν] Lambinus: ἐχθροὶ δὲ, ἔξωθεν μὲν, οἱ ἐπιβ. κ. τ. λ. Ingeniose satis et feliciter. Prima ista vox, quam restituit, latebat in praecedenti. *Omnes hortatur ad puniendos eos, qui in re aliqua hostes Reip. adjuverunt.* Hostes autem quinam sunt? Illi *scil. qui* etc. Taylor. 2. Cor. VII. 5. ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. Markland.

πδ΄. Ἀπ᾽ ἀνθρωπ.] Usitatius credo ἐπ᾽ ἀνθρωπίνου λογισμοῦ. Taylor.

Τὸν προεστηκότα] Scil. τοῦ δήμου. Markland.

Ἐν ταῖς πόλεσι] *In liberis civitatibus et* αὐτονόμοις, quæ αἱ πόλεις frequenter appellantur. Markland. Istud confirmavi pluribus in notis ad Æsch. c. Ctesiph. pag. 392. ed. Reisk. Taylor.

Καὶ τοῦτον ἅπαντες] Τὸν Αἰσχίνην. S. κεκολασμένον. Vel, καὶ τοῦθ᾽ ἅπαντες. [Et, in alio loco] Vel, καὶ τοῦτον ἅπαντες κεκολασμένον ἴδωσι. Wolf. F. καὶ τοῦτ᾽ ἂν ἅπαντες. Markland. Puto καὶ τοῦτο. Jurin. Vid. Var. Lect.

Δικαιότερον] Addit Exemplar Altemps. ὀργισθείητε. Sed commode subintelligi potest. Idcirco nihil moveo. Verum cum istud οὐδὲ in melioribus desit, legendum arbitror (deleto etiam μᾶλλον) οὐ μὴν οὐδενὶ δικαιότερον, ἢ τούτῳ. Taylor.

ναι; ἀλλὰ μὴν, ὅτι ταῦτα οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τε ἀντειπεῖν ἔσται. τίς γάρ ἐστιν ὁ τὸν Ἴσχανδρον προσάγων ὑμῖν τοκαταρχὰς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει δεῦρο ἥκειν ἔφη; τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα καὶ Πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; τίς ὁ τοὺς καλοὺς, καὶ μακροὺς, [1] καὶ πολλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους ψήφισμα ἀναγινώσκων, καὶ τὸν ἐν τῷ τῆς Ἀγραύλου τῶν ἐφήβων ὅρκον; οὐχ οὗτος; τίς ὁ πείσας ὑμᾶς [2] μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν ὑπὸ Φιλίππου τῆς Ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν ταῦτα, καὶ μὴ προΐεσθαι τὰ τῶν Ἑλλήνων; οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον, Αἰσχίνης οὑτοσί; ἐλθὼν δὲ ἐκεῖσε ἅττα [3] μέν ποτε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη· ἃ δ' ἀπήγγειλε πρὸς ὑμᾶς, [4] ὑμεῖς οἶδ' ὅτι μέμνησθε πάντες. βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον ἀποκαλῶν, ἐδημηγόρει, καὶ τοὺς Ἀρκάδας ὑμῖν ἀπήγγειλεν ὡς ἔχαιρον,
439 εἰ προσέχει τοῖς πράγμασιν ἤδη, καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις. ὃ δὲ πάντων μάλιστα ἀγανακτῆσαι ἔφη· συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ παρὰ Φιλίππου πορευομένῳ,

[1] [καὶ πολλοὺς] [2] μονονοὺκ [3] μὲν τότε [4] ὑμεῖς εὖ οἶδ'

Φίλων] Utrum τῶν ἐν Ἀρκαδίᾳ φίλων. An ὃν — φίλον — δεῦρο ἥκειν? Nam et ita scribitur. Atque ita exhibent Editi omnes, improbante Lambino. Φίλων quidem Interpretes, ille Venetus innominatus, et alter, qui hanc Orationem Italice vertit. Et ita exaratur in optimo Augustano, et in Harleiano. Bonus Wolfius, dum sequitur *eam* lectionem in textu, *alteram* sequitur in versione. Sed ita solens est. Suo more id facit. Neque id exprobranti similis dico, sed ut lectorem meum admonerem, licet non semel de ea re a me admonitum. Idem est Ischander, de quo nonnulla superius ad §. ϛ'. Idem.

Τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα] Id est, *insidiis petere, imminere per insidias et captare*. Idem πρὸς Ζηνόθεμιν: ἀδίκημα τοιοῦτον μετ' ἐκείνου συνεσκευάσατο. pro *molior* enim *et capto*, et *insidiis aggredior*, et *negotium captiosum, insidiosumque adorno*, dicitur passiva tantum voce. Nam συσκευάζειν activa voce est *colligere in fasciculum*, vel *in unam sarcinam connectere*, ut idem supra in eadem, διόπερ ταῦτα πάντα εἰς ἓν ψήφισμα οὗτοι συνεσκεύασαν. *Ex edit*. Hervag.

Συσκευάζεσθαι] Marklandus vertit: *quis captare Græciam et Peloponnesum* Philippum *clamitabat, vos autem dormitare?* Fortasse Wolfii Interpretatio non est admodum improbanda. Euphemismus est insignis et notabilis in v. συσκευάζεσθαι: *non solum vasa colligere atque profectionem parare, verum etiam* vasa aliena; i. e. *prædari et diripere*. Usi sunt in hoc sensu, ut ante me observatum est, LXX. Interpretes, sc. Exod. III. 22. Καὶ ἐπιθήσετε, καὶ συσκευάσετε τοὺς Αἰγυπτίους. Ubi alii σκυλεύσατε. Quod poterat fuisse scholion, aut glossema vocabuli paulo insolentioris. Verum illa prior τοῦ συσκευάζεσθαι notio potius est Demosthenica: ut in init. Chersonesitanæ: Εἰ μὲν ἡσυχίαν Φίλιππος ἄγει — μήτε συσκευάζεται πάντας ἀνθρώπους ἐφ' ὑμᾶς. H. Steph. Th. Gr. L. T. III. col. 849. Taylor.

καὶ μετ᾽ αὐτοῦ γύναια καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν, αὐτὸς δὲ θαυμάσας, ἐρέσθαι τινὰ τῶν ὁδοιπόρων, τίς [1] ὁ ἄνθρωπός ἐστι, καὶ τίς [1] ὁ ὄχλος ὁ μετ᾽ αὐτοῦ. ἐπειδὴ δὲ ἀκοῦσαι, ὅτι Ἀτρεστίδας παρὰ Φιλίππου τῶν Ὀλυνθίων αἰχμάλωτα δωρεὰν ταῦτα ἔχων ἀπέρχεται, δεινὸν αὐτῷ τι δόξαι, καὶ δακρῦσαι, καὶ ὀδύρασθαι τὴν Ἑλλάδα, ὡς κακῶς διάκειται, [2] ἣ τοιαῦτα πάθη περιορᾷ γινόμενα, καὶ συνεβούλευσεν ὑμῖν, πέμπειν τινὰς εἰς Ἀρκαδίαν, οἵτινες κατηγορήσουσι τῶν τὰ Φιλίππου πραττόντων. ἀκούειν γὰρ ἔφη τῶν φίλων, ὡς ἐὰν ἐπιστροφὴν ἡ πόλις ποιήσηται, καὶ πρέσβεις πέμψῃ, δίκην ἐκεῖνοι δώσουσι.

πέ. Ταῦτα μὲν τοίνυν τότε καὶ μάλα, ὦ ἄνδρες Ἀθηναῖοι, καλὰ, καὶ τῆς πόλεως ἄξια ἐδημηγόρει· ἐπειδὴ δὲ ἀφίκετο εἰς Μακεδονίαν, καὶ τὸν ἐχθρὸν εἶδε τὸν ἑαυτοῦ, καὶ τῶν Ἑλλήνων, [3] τὸν Φίλιππον, ἆρά γε ὅμοια, ἢ παραπλήσια τούτοις; πολλοῦ γε καὶ δεῖ, ἀλλὰ μήτε τῶν προγόνων μεμνῆσθαι, μήτε τρόπαια λέγειν, μήτε βοηθεῖν μηδενὶ, τῶν τε κελευόντων μετὰ τῶν Ἑλλήνων περὶ τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι, θαυμάζειν [4] ἔφη, εἰ περὶ τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι, εἶναί τε τὸν Φίλιππον αὐτὸν, Ἡράκλεις, Ἑλληνικώτατον ἀνθρώπων, δεινότατον λέγειν, φιλαθηναιότατον, οὕτω δὲ ἀτόπους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶναι, ὥστε οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ, καὶ βάρβαρον αὐτὸν ἀποκαλοῦντας. 440

πς΄. Ἔστιν οὖν ὅπως ἂν ταῦτ᾽ ἐκεῖνα προειρηκὼς, ὁ αὐτὸς ἀνὴρ, μὴ διαφθαρεὶς, ἐτόλμησεν εἰπεῖν; [5] τίς δέ ἐστιν, ὅς τις ἂν τὸν Ἀτρεστίδαν τότε μισήσας, διὰ τοὺς τῶν Ὀλυνθίων παῖδας καὶ τὰ γύναια, ταῦτα Φιλοκράτει νῦν πράττειν

[1] Deest articulus. [2] εἰ [3] Deest articulus. [4] Deest ἔφη. [5] τί δέ; ἔστιν

Ἀκοῦσαι] Ἀκούσαι lege, cum acuto, ut sit tertia persona ἀορ. ᾱ. εὐκτικῆς. Wolf.

Αἰχμάλωτα δωρεὰν ταῦτα] S. σώματα, ἢ ἀνδράποδα, aut pro τούτους αἰχμαλώτους. Idem.

πέ. Κελευόντων] F. κελευόντων κοινῇ, ut §. πζ. *ante med.* et alibi. Markland.

Ἔφη] Ex penu et liberalitate Wolfiana. Nam in Editt. quæ præivere, ignoratur. Atque idem intelligo de MStis. Taylor.

πς΄. Ταῦτ᾽ ἐκεῖνα] F. τότ᾽ ἐκεῖνα. Et mox v. antepen. τίς δ᾽ ἐστὶν ὅστις ἂν videtur rectius legi, quam τί δέ; ἔστιν ὅστις ἂν —? *Quis vero est, qui, cum Atrestidam ob Olynthiorum puerulos et mulierculas tum odisset, nunc Philocratis adjutor esse vellet* etc. Wolf.

Τίς δέ ἐστιν] F. τί δέ; ἔστιν ὅστις —? Ut §. πβ΄. *ad init.* Markland. Vid. Var. Lect.

ὑπέμεινεν, ὃς γυναῖκας ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγε δεῦρο ἐφ' ὕβρει; καὶ οὕτως ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκεται, ὥς τε μηδὲν ἐμὲ αἰσχρὸν εἰπεῖν νυνὶ περὶ αὐτοῦ δεῖν, μηδὲ δυσχερὲς, ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι Φιλοκράτης γυναῖκας ἤγαγε, πάντας ὑμᾶς εἰδέναι, καὶ τοὺς περιεστηκότας τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν, εὖ οἶδ' ὅτι, τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους· ἃς οὐκ ἠλέησεν Αἰσχίνης, οὐδὲ ἐδάκρυσεν ἐπὶ ταύταις τὴν Ἑλλάδα, εἰ παρὰ τοῖς συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται, ἀλλὰ ὑπὲρ αὐτοῦ κλαήσει, τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος, καὶ τὰ παιδία ἴσως παράξει καὶ ἀναβιβᾶται. ὑμεῖς δὲ ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταὶ, πρὸς μὲν τὰ τούτου παιδία, ὅτι πολλῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες ἀλῶνται, καὶ πτωχοὶ περιέρχονται, δεινὰ πεπονθότες διὰ τοῦτον· οὓς ἐλεεῖν πολλῷ μᾶλλον ὑμῖν ἄξιον, ἢ [1] τοὺς τοσαῦτα ἠδικηκότας, καὶ προδότου πατρὸς, καὶ ὅτι τοὺς ὑμετέρους παῖδας οὗτοι, καὶ τοῖς [2] ἐκγόνοις προσγράψαντες τὴν εἰρήνην, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι. πρὸς δὲ τὰ αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετε ἄνθρωπον, ὃς εἰς Ἀρκαδίαν [3] ἐκέλευεν ἐπὶ

[1] τοὺς τοῦ τοιαῦτα ἠδικηκότος [2] ἐκγόνοις, προσγράψαντες τῇ εἰρήνῃ, [3] ἐκέλευσεν

Μετὰ ταῦτα] Non satis placet. Sed nihil occurrit melius. Abesse mallem et hoc. Παρέλκειν certe videtur. Wolf. τὰ μετὰ ταῦτα, consequentia. Markland.

Πεπρεσβευκότος] Distingue: πεπρεσβευκότος. Καὶ τὰ etc. Idem. Aliter distinxit Benenatus: sc. pungit ad ὑβρίζονται in linea superiori: — ὑβρίζονται· Ἀλλὰ ὑπὲρ αὐτοῦ κ. τ. λ. Verum neutra Distinctio satis placet. Totum enim, quod hic sequitur, ita cohæret cum ἐδάκρυσεν in v. 8. ut in novum paragraphum divelli et distrahi nequeat. Taylor.

Ἀναβιβᾶται] Ἀντὶ τοῦ, ἀναβιβάσεται, in *judicium et in locum editum scandere faciet*, ut sint conspicui coronæ populari, hoc est, παραστήσεται. *Ex edit.* Hervag.

Ἀναβιβᾶται] M. ἀναβιβάσεται. Wolf. Ut in margine Benenati, et MSS. Ald. Taylor.

Ὑμῖν ἄξιον] Πρέπον. F. ὑμᾶν. Wolf. Veritus nempe, ne ἄξιον cum dativo ὑμῖν minus bene conveniret. Reisk.

Ἠδικηκότας] Ἢ τοὺς τοῦ τοσαῦτα ἠδικηκότος καὶ προδότου πατρός. S. παῖδας. Wolf. ἠδικηκότος. Markland. Jurin. Ita Paris. Felio. Obsop.— γρ. ἢ τοὺς τὰ τοιαῦτα ἠδικηκότας, καὶ προδότου πατρὸς παῖδας, οἷς οὗτοι καὶ τοῖς ἐγγόνοις etc. Marg. Altemps. et similiter Aug. ἢ τοὺς τοῦ τοσαῦτα Ven. Lind. Harl. ἢ τοῦ τοσαῦτα Benenatus cum Ital. Bene hæc omnia vertit Etruscus, cum Wolfius pessime. *De' quali è molto piu convenevole, che voi habbiate compassione, che di questi, che sono figliuoli di padre, il quale ha fatte tante ingiurie, e traditore:* *E che eglino i vostri figliuoli delle speranze, che poteano havere, havendo scritto la pace anco per i posteri, hanno privato.* Taylor.

Καὶ ὅτι] Repeto ἐνθυμεῖσθε. Auger.

Τὴν εἰρήνην] Scr. καὶ τοῖς ἐκγόνοις προσγράψαντες τῇ εἰρήνῃ, vel, πρὸς τὴν εἰρήνην. Vid. §. ιθ'. *in fin.* Interpreteris autem, *qui verba ista*, [quæ literis majusculis etiam describi poterant] ΚΑΙ ΤΟΙΣ ΕΚΓΟΝΟΙΣ *paci addiderunt.* Markl. Vide supra, §. λ'. *post med.* Taylor. Vid. Var. Lect.

Ὅτι νῦν] Repeto adhuc ἐνθυμεῖσθε. Auger.

τοὺς ὑπὲρ Φιλίππου πράττοντας πέμπειν τοὺς κατηγορή-
σοντας.

πζ'. Νῦν τοίνυν ὑμᾶς οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν 441
πέμπειν, οὐδ' ὁδὸν μακρὰν βαδίσαι, οὐδὲ ἐφόδια ἀναλίσκειν,
ἀλλὰ ἄχρι τοῦ βήματος ἐνταυθοῖ [1] προσελθόντα ἕκαστον
ὑμῶν, τὴν ὁσίαν καὶ δικαίαν [2] ταύτην ψῆφον ὑπὲρ τῆς πα-
τρίδος θέσθαι κατ' ἀνδρὸς, ὃς, ὦ γῆ καὶ θεοὶ, ἐκεῖνα ἃ διεξ-
ῆλθον ἐν ἀρχῇ δεδημηγορηκὼς, τὸν Μαραθῶνα, τὴν Σαλα-
μῖνα, τὰς μάχας, τὰ τρόπαια, ἐξαίφνης, ὡς ἐπέβη Μακε-
δονίας, πάντα τἀναντία τούτοις ἔλεγε, μὴ προγόνων με-
μνῆσθαι, μὴ τρόπαια λέγειν, μὴ βοηθεῖν μηδενὶ, μὴ κοινῇ
μετὰ τῶν Ἑλλήνων βουλεύεσθαι, [3] μόνον οὐ καθελεῖν τὰ
τείχη. καί τοι τούτων αἰσχίους λόγοι οὐδένες πώποτε ἐν
τῷ [4] παντὶ γεγόνασι χρόνῳ παρ' ὑμῖν. τίς γάρ ἐστιν Ἑλ-
λήνων ἢ βαρβάρων [5] οὕτω σκαιὸς, ἢ ἀνήκοος, ἢ σφόδρα μι-
σῶν τὴν πόλιν τὴν ἡμετέραν, ὅς τις, εἴ τις ἔροιτο, εἰπέ μοι,
τῆς νῦν οὔσης Ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης, ἔσθ' [6] ὅτι
ταύτην ἂν τὴν προσηγορίαν εἶχεν, ἢ ᾤκεῖτο ὑπὸ τῶν νῦν
ἐχόντων Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν ἐκείνας
οἱ Μαραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο ἡμέτεροι πρόγονοι;
οὐδ' ἂν εἷς εὖ οἶδ' ὅτι φήσειεν· ἀλλὰ πάντα [7] ταῦθ' ὑπὸ
τῶν βαρβάρων ἂν ἑαλωκέναι. εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν μη-
δεὶς ἂν τούτων τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστερή-
σειε, τούτων Αἰσχίνης ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι, τοὺς ἐξ
ἐκείνων, ἵνα αὐτὸς ἀργύριον λάβῃ; καὶ μὴν τῶν μὲν ἄλλων
ἀγαθῶν, οὐ μέτεστι τοῖς τεθνεῶσιν· οἱ δὲ ἐπὶ τοῖς καλῶς
πραχθεῖσιν ἔπαινοι, τῶν οὕτω τετελευτηκότων ἴδιον κτῆμά
εἰσιν. οὐδὲ γὰρ ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτα ἐναντιοῦται. 442

[1] παρελθόντα [2] Deest ταύτην. [3] μονονοὺ [4] παντὶ τῷ χρόνῳ γεγόνασι
[5] οὕτω σφόδρα σκαιὸς, καὶ ἀνήκοος [6] ὅ, τι [7] ταῦτα πάντα

πζ'. Ἀλλ' ἄχρι τοῦ βήματος] S. τοῦ Ἄρχοντος. Etsi non satis mihi constat de consuetudine ferendi suffragia; quæ non una eademque in omnibus judiciis fuisse videtur. WOLF.

Διεξῆλθον] Distingue: ἐκεῖνα, ἃ διεξῆλθον, ἐν ἀρχῇ δ. MARKLAND. Corrige ergo Wolfii versionem, hoc pacto: *Qui cum illas, quas recensui, conciones initio habuerit*—Ita distinguit Hieron. Ferrus in versione Italica. TAYLOR.

Ὅτι] Scribendum ὅ, τι. Vid. ad §. πς'. *ad init.* MARKLAND. Et recte vertit Wolfius: *Ejus Græciæ estne ulla pars, quæ —?* TAYLOR.

Λάβῃ] Interrogative λάβῃ; MARKL.

ὧν ἀποστερῶν ἐκείνους οὗτος, αὐτὸς ἂν τῆς ἐπιτιμίας [1]δικαίως νῦν στερηθείη, καὶ ταύτην ὑπὲρ τῶν προγόνων ὑμεῖς δίκην [2]λάβητε παρ' αὐτοῦ.

πή. Τοιούτοις μέν τοι λόγοις, ὦ κακὴ κεφαλὴ, σὺ τὰ τῶν προγόνων ἔργα συλήσας, καὶ [3]διασύρας τῷ λόγῳ, πάντα τὰ πράγματα ἀπώλεσας. εἶτα γεωργεῖς ἐκ τούτων, καὶ σεμνὸς γέγονας. καὶ γὰρ αὖ τοῦτο, πρὸ μὲν τοῦ πάντα τὰ κακὰ εἰργάσθαι τὴν πόλιν, ὡμολόγει γεγραμματευκέναι, καὶ χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν ἑαυτόν· ἐπειδὴ δὲ μύρια εἴργασται κακὰ, τὰς ὀφρῦς ἀνέσπακε, κἂν, ὁ γεγραμματευκὼς Αἰσχίνης, εἴποι τις, ἐχθρὸς [4]εὐθέως, καὶ κακῶς φησιν ἀκηκοέναι, καὶ διὰ τῆς ἀγορᾶς πορεύεται, θοιμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων Πυθοκλεῖ, τὰς γνάθους φυσῶν, τῶν Φιλίππου ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλλα-

[1] δικαίως ἂν νῦν [2] λάβοιτε [3] *διασύρας καὶ συλήσας [4] εὐθέως ἐχθρὸς

Ἀποστερῶν — στερηθείη] Scholiastes, si ejus verba recte intelligam, acutam ponit harum vocum distinctionem, huic quidem loco satis convenientem, dubito autem, an a Veteribus religiose observatam. Juxta ejus sententiam Ἀποστερεῖσθαι erit *Carere*, Στερεῖσθαι, *Amittere*. In illo sensu *Defraudamur*, in hoc *Spoliamur*. Qui præ nobis otio abundant, viderint, an hæc rite discriminentur. Ego sane dubito. Consonat quidem hoc: Οὕτω γὰρ ἄν τις οὐ πλοῦτον, οὐ δόξαν, οὐ σοφίαν ἀγαπήσειε παραγενομένην, δεδιὼς στερεῖσθαι. Plutarch. in Solone. Iterumque: Οἷς οὐδ' ἀπόλαυσις ἐγγίνεται τοῦ ποθουμένου παρόντος, τοῦ μέλλοντος ὠδῖνας ἀεὶ, καὶ τρόμους, καὶ ἀγῶνας, εἰ στερήσονται, παρέχοντος αὐτοῖς. Ibid. Ita scripsit Demosthenes, aut scripsisse videtur: τῆς χάριτος ἀποστερεῖσθαι, *gratia et popularitate* defraudari, *non earum rerum compotem fieri*. Sed et scripsit quoque Idem τῆς ἡγεμονίας ἀποστερεῖσθαι, *de avito imperio deturbari*. Ita scribunt et alii quoque. Taylor.

πή. Λόγοις] F. ἔργοις, cui mox opponitur λόγῳ. Vid. Æschin. adv. Ctesiph. p. 639. 9. ed. Reisk. Markland. Fortasse mecum. Τοιούτοις μέντοι λόγοις, tali oratione, (nempe, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέγειν, quæ *verba* Æschinis sæpe perstringit, in aditu scil. hujus Orationis, §. ς'. *ad fin.* rursus §. πέ. et rursus denique §. πζ'. *ante med.*) τοιούτοις, inquam λόγοις σὺ τὰ τῶν προγόνων ἔργα συλήσας καὶ διασύρας, πάντα τὰ πράγματα ἀπώλεσας. Nam illud τῷ λόγῳ post διασύρας est inficetum, et pene expiandum. Taylor.

Γέγονας;] Ita distingue. Markland.

Μύρια εἴργασται κακὰ] Lege, [non εἰργάσθαι cum Aldo] et paulo ante [v. 7.] καὶ γὰρ αὖ τοῦτο, F. addendum εἰπεῖν δεῖ, nisi τὸ τοῦτο redundet. Referri quidem potest ad ὡμολόγει. Wolf.

Ἄχρι τῶν σφυρῶν] Vid. Victor. XI. Var. Lect. 11. Taylor.

Ἴσα βαίνων Πυθοκλεῖ] Hunc supra Æschinis amicum esse dixit. Qui, cum forte procerus homo esset, Æschines pusillus homuncio, æque μακροβαίνων præ indignatione esse studuit. Wolf. Vid. Harpocr. Suidam. Adducit Kusterus locum similem ex Athenæo, lib. 5. Ubi videbis Casaubonum. Constat quidem, parva fuisse statura Æschinem, si ulla fides habenda sit Ulpiano, dum interpretatur ista verba in Orat. De Corona, §. μ'. τὸν καλὸν ἀνδριάντα, καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε. Cæterum quis fuerit iste Pythocles, nescimus hodie et nescibitur. Hoc tantum scio, Valesium futiliter conjectasse, hunc esse Pythoclem, adolescentem ex Secta Epicurea, cujus meminere Plutarchus et Laertius. Quid, mi homo? In qua Olympiade acta erat hæc causa Athenis, ea ipsa in lucem editus est EPICURUS ipse, qui sectam et scholam condidit. Verba ea adagialia, Ἴσα βαίνειν, illustrarunt plurimi: omnium fortasse felicissime Homo eruditissimus, D. Langbænius ad Longini Caput ultimum. Taylor.

γῆναι τοῦ δήμου βουλομένων, καὶ κλύδωνα καὶ μανίαν τὰ καθεστηκότα πράγματα ἡγουμένων, ὃ τέως [1] ἔτι προσκυνῶν τὴν Θόλον.

πθ΄. Βούλομαι τοίνυν ὑμῖν ἐπὶ κεφαλαίων [2] ἐπελθεῖν, ὃν τρόπον ὑμᾶς κατεπολιτεύσατο Φίλιππος, προσλαβὼν τούτους τοὺς θεοῖς ἐχθρούς· πάνυ δὲ ἄξιον ἐξετάσαι καὶ θεάσασθαι τὴν ἀπάτην ὅλην. τὸ μὲν γὰρ ἀπ᾽ ἀρχῆς, τῆς εἰρήνης ἐπιθυμῶν, διαφορουμένης αὐτοῦ τῆς χώρας ὑπὸ τῶν λῃστῶν, καὶ κεκλεισμένων τῶν ἐμπορίων, ὥστε ἀνόνητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ φιλάνθρωπα λέγοντας ἐκείνους ἀπέστειλεν ὑπὲρ αὐτοῦ, τὸν Νεοπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα· ἐπειδὴ δὲ ἤλθομεν ὡς 443
αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο μὲν τοῦτον [3] εὐθέως, ὅπως συνερεῖ καὶ συναγωνιεῖται τῷ μιαρῷ Φιλοκράτει, καὶ τῶν τὰ δίκαια βουλομένων ἡμῶν [4] πράττειν περιέσται. συνέγραψε δὲ ἐπιστολὴν ὡς ὑμᾶς, ᾗ μάλιστα ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν. ἦν δὲ οὐδὲν μᾶλλον μέγα αὐτῷ καθ᾽ ὑμῶν οὐδ᾽ οὕτω πρᾶξαι, εἰ μὴ Φωκέας ἀπολῇ· τοῦτο δὲ οὐκ ἦν εὔπορον. συνῆκτο γὰρ αὐτῷ τὰ πράγματα, ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον, ὥστε ἢ μηδέν, ὧν ἐβούλετο εἶναι

[1] [ἔτι]   [2] ἐπανελθεῖν   [3] εὐθέως τοῦτον   [4] πράττειν ἡμῶν

Προσκυνῶν τὴν Θόλον] Significat, illi optatissimum fuisse scriptionis illud vile munus. Curia quædam Atheniensis Tholus dicta fuit. Wolf. Dixi supra, ad §. οά. *a med.* Unde liquebit, nihil hic sani protulisse Wolfium. Ad phrasin istam, προσκυνῶν τὴν Θόλον, quod attinet, notavit doctissimus Tiber. Hemsterhusius, conferri eam merito posse cum his verbis Lucianeis, in Timone, §. 23. Ὁ δὲ ἐμπεσὼν ἀθρόως ἐς ἐμὲ ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς, καὶ εἰ παριὼν ἄλλος μαστίξειέ τις, ὄρθιον ἐφιστὰς τὸ οὖς, καὶ τὸν μυλῶνα, ὥσπερ τὸ ἀνάκτορον, προσκυνῶν — Recte ergo τέως ἔτι, *qui nondum deposuit eos mores et vitæ rationem.* Wolfius vertit, quasi approbasset lectionem quamplurimorum Codd. πρώην προσκυνῶν τὴν Θόλον. Hoc explicabit mentem ejus, qui contulit Italicum Codicem: "Τὴν Θόλον quidam legendum putant" [nam Θόλον edi videbat] "et pro hoc alii ὑπερώην." Hoc erat istud πρώην, de quo modo dixi. Taylor.

πθ΄. Ἐπελθεῖν] Malim ἐπεξελθεῖν. Quod longe præstat. Licet Codd. ut puta Ven. Reg. α. et Aug. habeant ἐπανελθεῖν. Idem.

Διαφορουμένης] F. διαφθειρομένης. Wolf. Inutiliter sane et inauspicato: licet eam lectionem quoque commendet Cod. Harl. cum Regg. β. et ε. Vid. D'Orvill. ad Chariton. Aphrodis. III. 5. Tayl.

Ὑπὸ τῶν λῃστῶν] Prima Philippica [§. θ΄.] monuit, ὅτι λῃστεύειν ἀνάγκη, καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην. Wolf.

Ὥστε ἀνόνητον etc.] Ὥστε οὐχ οἷόν τ᾽ εἶναι ὄνασθαι καὶ ἀπολαύειν τῶν ἀγαθῶν. Vid. II. (I.) Olynth. Idem.

Ἦν δὲ οὐδὲν μᾶλλον μέγα] F. ἦν δ᾽ οὐδενὸς μᾶλλον οὐδὲν μέγα. Wolf. F. οὐδὲν ἄλλο μέγα, ut §. ξ΄. μηδὲν ἄλλο δίκαιον. Markland. Vid. Var. Lect.

Ὧν ἐβούλετο εἶναι] Otiosum sane istud εἶναι, ne dicam molestum—ὧν ἐβούλετο εἶναι, διαπράξασθαι, ἢ ἀνάγκην εἶναι. Credo ergo, ortum esse ex ea vicinia. Nam nunquam alibi sic loquitur. Infra v. 18. p. seq. διεπράξατο, ὧν ἠβουλήθη: et sic satis. Rursus, v. penult. πάνθ᾽, ὅσα βούλομαι, διαπράξομαι. Et §. ϛ΄. *ad fin.* πάντα, ὅσα ἂν

διαπράξασθαι, ἢ ἀνάγκην εἶναι ψεύσασθαι, [1] ἐπιορκῆσαι, καὶ μάρτυρας τῆς αὑτοῦ κακίας [2] πάντας Ἕλληνας καὶ Βαρβάρους ποιήσασθαι. εἰ μὲν γὰρ προσδέξαιτο Φωκέας συμμάχους, καὶ μεθ' ὑμῶν τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ Θηβαίους ὅρκους παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν, ὧν τοῖς μὲν, τὴν Βοιωτίαν συνεξαιρήσειν ὀμωμόκει, τοῖς δὲ, τὴν Πυλαίαν συγκαταστήσειν· εἰ δὲ μὴ προσδέχοιτο, ὥσπερ οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς παρελθεῖν [3] αὐτὸν ἡγεῖτο, ἀλλὰ βοηθήσειν εἰς Πύλας. ὅπερ, εἰ μὴ παρεκρούσθητε, ἐποιήσατε ἄν. εἰ δὲ τοῦτο γένοιτο, οὐκ ἐνεῖναι παρελθεῖν ἐλογίζετο. καὶ ταῦτα οὐ παρ' ἄλλων αὐτὸν ἔδει πυθέσθαι, ἀλλ' αὐτὸς ὑπῆρχε μάρτυς ἑαυτῷ τοῦ πράγματος. ὅτε γὰρ τὸ πρῶτον ἐκράτησε [4] Φωκέας ὁ Φίλιππος, καὶ διέφθειρε τοὺς ξένους αὐτῶν, καὶ τὸν ἡγούμενον, καὶ στρατηγοῦντα Ὀνόμαρχον, τότε τῶν ὄντων ἀνθρώπων ἁπάντων οὐδενὸς οὔτε Ἕλληνος, οὔτε Βαρβάρου βοηθήσαντος [5] Φωκεῦσι, πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν,
444 ἢ διεπράξατο ὧν ἠβουλήθη τι παρελθὼν, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἠδυνήθη. ᾔδει δὲ σαφῶς, οἶμαι, τοῦτο, ὅτι νῦν, ἡνίκα [6] ἐστασίαζε μὲν αὐτῷ τὰ Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ συνηκολούθουν, ἐκρατοῦντο δὲ Θηβαῖοι, καὶ μάχῃ ἥττηντο, καὶ τρόπαιον ἀπ' αὐτῶν εἱστήκει, οὐκ ἔνεστι παρελθεῖν, εἰ βοηθήσεθ' ὑμεῖς· οὐδὲ, ἂν [7] ἐπιχειρῇ τοῖς ὅπλοις, δυνήσεται, εἰ μή τις τέχνη προσγενήσεται. πῶς οὖν μήτε ψεύσομαι φανερῶς, μήτε ἐπιορκεῖν δόξας, πάνθ' ὅσα βούλομαι, διαπράξομαι; πῶς; οὕτως. [8] ἐὰν Ἀθηναίων

[1] καὶ ἐπιορκῆσαι [2] ἅπαντας [3] αὐτὸν παρελθεῖν [4] φωκέας ἐκράτησεν [ὁ Φίλιππος,] [5] φωκεῦσι βοηθήσαντος [6] ἐστασιάζετο μὲν αὐτῷ τὰ τῶν θετταλῶν [7] ἐπιχειρῇ, τοῖς ὅπλοις *γ' αἱρήσειν δυνήσεται [8] ἂν

βούλονται, νομίσαντες ὑπάρχειν. Et §. 44. ad fin. πάντα, ὅσα ἐβουλήθη, διαπέπρακται. Ita §. μθ'. a med. πᾶν, ὅ, τι ἂν βούλωνται, παρ' ὑμῖν ῥᾳδίως διαπράξεται. Et sic in locis sexcentis. Inutile enim erat et insolitum, adjicere τὸ εἶναι. Taylor.

Συγκαταστήσειν] M. συναποκαταστήσειν. Erepta enim erat eis Pylaea sive Amphictyonica dignitas a Phocensibus. Wolf.

Ὁ Φίλιππος.] Vid. Var. Lect.

Ἐκρατοῦντο δὲ Θηβαῖοι] Ἐνικῶντο καὶ ἡττῶντο ὑπὸ Φωκέων. Wolf.

Καὶ τρόπαιον ἀπ' αὐτῷ] F. ἀπ' αὐτῶν S. τῶν Θηβαίων. Sin de Philippo, nam et is semel a Phocensibus profligatus est, lego ἐπ' αὐτῷ. Verba sic ordino: ᾔδει δὲ σαφῶς, οἶμαι, τοῦτο, ὅτι νῦν οὐκ ἔνεστι παρελθεῖν (S. εἴσω Πυλῶν), ἡνίκα ἐστασίαζε. Wolf. Quid hoc somnii! ἀπ' αὐτῷ nullus est, qui legit, aut impressus, aut manu exaratus. Taylor.

Ἐπιχειρῇ] Marg. Altemps. et Aug. γρ. οὐδ' ἂν ἐπιχειρῇ — χειρήσειν. Suspicor aliquid hujusmodi. οὐδ', ἂν ἐπιχειρῇ τοῖς ὅπλοις, δυνήσεται χωρήσειν. Idem.

τινὰς εὕρω τοὺς Ἀθηναίους ἐξαπατήσοντας. ταύτης γὰρ οὐκ ἔτ᾽ ἐγὼ τῆς αἰσχύνης κληρονομῶ. ἐντεῦθεν οἱ μὲν παρ᾽ ἐκείνου πρέσβεις προὔλεγον ὑμῖν, ὅτι Φωκέας οὐ προσδέχεται Φίλιππος συμμάχους· οὗτοι δὲ ἐκδεχόμενοι, τοιαῦτα ἐδημηγόρουν, ὡς φανερῶς μὲν οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέξασθαι τοὺς Φωκέας συμμάχους, διὰ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς, ἐὰν δὲ γένηται τῶν πραγμάτων κύριος, καὶ τῆς εἰρήνης τύχῃ, ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν αὐτὸν, ταῦτα ποιήσει τότε.

ζ′. Τὴν μὲν τοίνυν εἰρήνην, ταύταις ταῖς ἐλπίσι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς [1]ἐπαγωγαῖς, [2]εὕροντο παρ᾽ ὑμῶν ἄνευ Φωκέων. τὴν δὲ βοήθειαν ἔδει μετὰ ταῦτα κωλῦσαι, τὴν εἰς [3]τὰς Πύλας, ἐφ᾽ ἣν αἱ πεντήκοντα τριήρεις ὁμόσε ἐφώρμουν, ἵν᾽, εἰ πορεύοιτο Φίλιππος, κωλύοιτε ὑμεῖς. πῶς οὖν; τίς τέχνη πάλιν αὖ γενήσεται περὶ ταύτης; τοὺς χρόνους ὑμῶν ἀφελέσθαι, καὶ ἐπιστῆσαι τὰ πράγματα ἀγαγόντας ἄφνω, ἵνα, μηδ᾽ ἂν βούλησθε, [4]δυνή- 445
σεσθε ἐξελθεῖν. οὐκοῦν ταῦθ᾽ οὗτοι πράξαντες φαίνονται. ἐγὼ δ᾽, ὥσπερ ἀκηκόατε ἤδη πολλάκις, οὐχὶ δυνηθεὶς προαπελθεῖν, ἀλλὰ καὶ μισθωσάμενος πλοῖον [5]κατεκωλύθην ἐκπλεῦσαι. ἀλλὰ καὶ πιστεῦσαι Φωκέας ἔδει Φιλίππῳ, καὶ ἑκόντας ἑαυτοὺς ἐνδοῦναι, ἵνα μηδεὶς χρόνος ἐγγένηται τοῖς πράγμασι, μηδ᾽ ἐναντίον ἔλθῃ ψήφισμα παρ᾽ ὑμῶν μηδέν. οὐκοῦν, ὡς μὲν οἱ Φωκεῖς σωθήσονται, παρὰ τῶν Ἀθηναίων πρέσβεων ἀπαγγελθήσεται· ὥς τε καὶ εἴ τις ἐμοὶ διαπιστεῖ, τούτοις πιστεύσας, ἑαυτὸν ἐγχειριεῖ. τοὺς δὲ Ἀθηναίους αὐτοὺς μεταπεμψόμεθ᾽ ἡμεῖς, ἵνα

[1] ὑπαγωγαῖς [2] εὕρετο [3] Deest articulus. [4] δυνήσησθε [5] κατακωλυθεὶς

ζ′. Εὕροντο] F. εὗρον παρ᾽ ὑμῶν τὸ ἄνευ Φωκέων. Wolf. Illud flocci non facio. Lege omnino cum optimo Aug. εὕρετο παρ᾽ ὑμῶν ἄνευ Φωκέων, Philippus scil. Taylor.

Ἐφ᾽ ἣν αἱ πεντήκοντα τριήρεις ὁμόσε ἐφώρμουν] Idest, *in statione erant imminentes in occasionem, et transitum* ὑποτειμούμεναι. Est enim ἐφορμεῖν etiam, *navibus insidere, et obsidere portum.* Ex edit. Hervag.

Τοὺς χρόνους] F. addendum ἔδει τοὺς χρόνους, ut et post, v. 21. πιστεῦσαι Φωκέας ἔδει. Wolf.

Καὶ ἐπιστῆσαι] *Et continere res eo tandem adducentes ut* --- Auger.

Ἀγαγόντας ἄφνω] F. ἀγαγόντος ἄφνω (sc. Φιλίππου τὴν δύναμιν ἐπὶ Φωκέας). Praecedit enim εἰ πορεύοιτο Φίλιππος. Wolf. Et huic negotio *praeficere homines, qui subito res eo deducerent, ut* etc. Markland.

Δυνήσεσθε] Δυνήσησθε. Idem.

Ὥστε καὶ εἴ τις ἐμοὶ διαπιστεῖ] Verba Philippi sunt μιμητικῶς. Et v. 2. p. seq. ἀπαγγελοῦσι παρ᾽ ἡμῶν, sc. ἐμοῦ τοῦ Φιλίππου καὶ τῶν συμμάχων. Et v. 3. μηδ᾽ ἂν ἕ, τινῶν ᾖ. Wolf.

πάντα ὅσα ἂν βούλωνται, νομίσαντες ὑπάρχειν σφίσι, μηδὲν ἐναντίον ψηφίσωνται· οὗτοι δὲ τοιαῦτα ἀπαγγέλουσι παρ' ἡμῶν καὶ ὑποσχήσονται, ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ, κινηθήσονται.

ϛα'. Τοῦτον τὸν τρόπον καὶ τοιαύταις τέχναις, ὑπὸ τούτων τῶν κάκιστα ἀπολουμένων ἀνθρώπων, πάντα τὰ πράγματα ἀπώλετο. καὶ γάρ τοι παραχρῆμα, ἀντὶ μὲν τοῦ, [1] Θεσπιὰς οἰκιζομένας ἰδεῖν, Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούσατε [2] ἠνδραποδισμένας· ἀντὶ δὲ τοῦ, τὰς Θήβας ταπεινὰς γενέσθαι, καὶ περιαιρεθῆναι τὴν ὕβριν καὶ τὸ φρόνημα αὐτῶν, τὰ τῶν συμμάχων τῶν ὑμετέρων Φωκέων τείχη κατεσκάπτετο, Θηβαῖοι δὲ ἦσαν οἱ κατασκάπτοντες, οἱ διοικισθέντες ὑπ' Αἰσχίνου τῷ λόγῳ· ἀντὶ δὲ τοῦ, τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως [3] ὑμῖν παραδοθῆναι, ὁρμητήρια ἐφ' [4] ὑμᾶς ἐν Εὐβοίᾳ Φίλιππος προσκατασκευάζεται,
446 καὶ [5] Γεραστῷ καὶ Μεγάροις ἐπιβουλεύων διατελεῖ· ἀντὶ δὲ τοῦ, τὸν Ὠρωπὸν ὑμῖν ἀποδοθῆναι, περὶ Δρύμου, καὶ τῆς πρὸς Πανάκτῳ χώρας, μεθ' ὅπλων ἐξερχόμεθα, ὃ,

[1] Θεσπιὰς καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας [2] ἐξηνδραποδισμένας [3] ἡμῖν [4] ἡμᾶς [5] Γεραιστῷ

Ὑπάρχειν] F. ὑπάρξειν. Markland. Recte. Consentit marg. Benenati. Taylor.

Ἡμῶν] Ita Wolfius edidit juxta marg. Parisiensem. Benenatus enim dedit ὑμῶν. Nec ille solus, sed Impressi omnes, et MSti. Erat, ubi Wolfio arridebat ὑμῖν. Quod miror, cum in ultima ejus annotatione arripuit id, quod res ipsa fuit. Idem.

ϛά. Τῶν κάκιστα ἀπολουμένων] Non perditissimos proprie significat, sed pessime perituros. Denunciat enim eis exitium. Wolf.

Θεσπιὰς] In vetusto plura erant addita, nec ab re, ut opinor, ad hunc modum: *ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς οἰκιζομένας*. Obsop. Confer omnino §. ή. a med. et §. ιέ. Taylor. Et vid. Var. Lect.

Διοικισθέντες] Hunc locum bene illustrat Ulpianus, et vertit Wolfius. Et Italus quoque: i *quali per le parole d' Eschine havevano à essere dishabitati*. Promisit Æschines, Philippum Thebanis omne robur ademturum. Quod efficeret, armis e manibus eripiendis, castellis atque urbibus diruendis, ipsis denique *per* pagos et *vicos distribuendis*. Simile aliquid occurrit superius de Phocensibus, §. κή. *post med. διῳκισμένοι κατὰ κώμας, καὶ παρῃρημένοι τὰ ὅπλα*. Idem.

Οἷς ἂν ὁ νόμος βλάψων ὑμᾶς φαίνεται] Reiskio ne hic quidem morem gerere debebam, conjecturam Wolfii, βλάψων, pro lectione omnium librorum, βλάψειν, exhibenti. Sed majorem etiam socium erroris habeo, Marklandum, qui dum illud βλάψων omnino non improbat, atque adeo vel βλάψαι ἡμᾶς φαίνεται, vel βλάψειν ἡμᾶς φαίνηται, scribendum conjicit, satis et ipse prodit, sibi in vulgata scriptura aliquid displicuisse. Eam vero nunc affirmo, et recte habere, et in ea convellenda frustra laboratum esse. Ne posteriorem conjecturam Angli arguam, quæ omnium minime placet, futurum infinitivi, τῷ ἂν ἀοριστολογικῷ junctum, profecto non ita rari exempli est, ut in aoristum mutare necesse fuerit. Participium autem, cum φαίνεσθαι constructum, ex solenni usu sermonis aliam habet potestatem, quam quæ huic loco congruit, in quo loco simplex notio verbi *videri* requiritur. Longe alia ratio est eorum verborum, unde Wolfius emendationi suæ colorem quærebat: αἷς ὁ μὲν Λεύκων ἐμμένων φανεῖται κ. τ. λ. §. ι. Nam φαίνεται ὁ νόμος ἡμᾶς βλάψειν est, *lex videtur nobis nocitura esse*: contra, φαίνεται ὁ νόμος ἡμᾶς βλάπτων, *palam est et omnibus compertum, legem nocere nobis.* Hoc discrimen si notetur, patebit simul, ne recte quidem dici φαίνεται ὁ νόμος βλάψων. Quidquid enim hujus rei futuro tempore continget, id in præsens quidem *palam aut compertum esse* non potest. Idem.

ΨΗΦΙΣΜΑΤΑ.

ι. Ὡς μὲν εἰκότως καὶ δικαίως τετύχηκε τῆς παρ᾿
ὑμῶν ἀτελείας ὁ Λεύκων, ἀκηκόατε ἐκ τῶν ψηφισμάτων, ὦ
ἄνδρες δικασταί! Τούτων δ᾿ ἁπάντων στήλας ἀντιγράφους
ἐστήσασθ᾿ ὑμεῖς τε κἀκεῖνος· τὴν μὲν ἐν Βοσπόρῳ, τὴν δ᾿
ἐν Πειραιεῖ, τὴν δ᾿ ἐφ᾿ Ἱερῷ. Σκοπεῖτε δή, πρὸς ὅσης κα-
κίας ὑπερβολὴν ὑμᾶς ὁ νόμος προάγει, ὃς ἀπιστότερον τὸν
Δῆμον καθίστησιν ἑνὸς ἀνδρός! Μὴ γὰρ οἴεσθε ὑμῖν
[1] ἄλλο τι τὰς στήλας ἑστάναι ταύτας, ἢ τούτων ἁπάντων,
ὧν ἔχετε, ἢ δεδώκατε, συνθήκας· αἷς ὁ μὲν Λεύκων ἐμμέ-
νων φανεῖται, καὶ ποιεῖν ἀεί τι προθυμούμενος ὑμᾶς εὖ,
ὑμεῖς δ᾿ ἑστώσας ἀκύρους ἔσεσθε πεποιηκότες· ὃ πολὺ δει-
νότερον τοῦ καθελεῖν ἐστίν. Αὗται γὰρ οὑτωσὶ τοῖς βου-
λομένοις κατὰ τῆς πόλεως βλασφημεῖν τεκμήριον, ὡς
ἀληθῆ λέγουσιν, ἑστήξουσι. Φέρε, ἐὰν δὲ δὴ πέμψας ὡς
[2] ὑμᾶς Λεύκων ἐρωτᾷ, τί ἔχοντες ἐγκαλέσαι, καὶ τί μεμ-

[1] Desunt ἄλλο τι. T.

[2] ἡμᾶς ὁ Λεύκων R.

ι. Ἐφ᾿ Ἱερῷ] Nomine hoc dictus eximie locus, situs inter Bosporum Thracium et Trapezuntem, *in Ponti ore et angustiis*, ut ait Cicero Verrin. IV. 57. Fanum in loco erat cum statua Jovis, quem deum ibi Οὔριον vocabant, quod sacrum nonnulli ad Argonautarum tempora retulerunt. Sed vide Herodot. IV. 87. Polyb. IV. 39. Pompon. Melam I. 19. Arrian. Peripl. Pont. Eux. p. 12. et 25. Marcian. Heracl. p. 68. ed. Hudson. et Schol. Apollon. Rhod. ad II. 532. cum aliis, quorum locos suppeditant Valesius ad Harpocrat. p. 35. et Wesseling. ad S. Petiti LL. AA. p. 503. Statuæ Jovis in eo loco positæ habemus adhuc inscriptionem, detectam a Whelero et Sponio, imprimisque illustratam a Chishull. Antiqq. Asiat. p. 61. F. A. Wolf.

Πρὸς ὅσης κακίας ὑπερβολὴν ὑμᾶς ὁ νόμος προάγει] *In quam immensum dedecus lex ista Vos conjiciat*, seu *propellat*. De verbo προάγειν vide Dorvill. ad Chariton. p. 313. et 494. Idem.

Μὴ γὰρ οἴεσθε κ. τ. λ.] F. ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι, h. e. ἄλλην ἔχειν δύναμιν ἢ συνθήκας. Wolf. Lege cum Lindenb. Obsop. Bodl. Cant. Ital. Codd. Paris. et Editt. Felician. et Manut. μὴ γὰρ οἴεσθε ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι ταύτας, ἢ κ. τ. λ. Atque ita Interpretes. Taylor.

Μὴ γὰρ οἴεσθε ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι —] Revocavi cum Reiskio ἄλλο τι, quæ verba elapsa sunt ex Ald. Herv. Wolf. et Tayl. Αἷς refer, quod ipse ordo verborum cogit, ad συνθήκας, uti solenniter Græce dicitur ἐμμένειν σπονδαῖς, ὅρκῳ, εἰρήνῃ, ubi Latine *manere in induciis, in pactione*. Sed mox, constructione quodammodo mutata, in ἑστώσας ἀκύρους spectantur στῆλαι, quibus συνθῆκαι insculptæ erant. Deinde in Par. 1. et Aug. 1. ἔσεσθε ante πεποιηκότες deest, culpa, credo, correctoris, melius huc quoque φανεῖται trahi putantis. Nempe duo isti unius familiæ codices in tali genere correctionum sæpissime conspirant. Conf. quæ notavi ad §. θ΄. F. A. Wolf.

Λέγουσιν] Sc. οἱ βλασφημοῦντες. Wolf.

Ἐὰν δὲ δὴ πέμψας ὡς ὑμᾶς Λεύκων ἐρωτᾷ] Scilicet ἄγγελον sive ἀγγέλους πέμψας, qua vi hoc unum πέμπειν poni, in vulgus hodie notum est. Nomini Λεύκων, articulum plurimæ editt. hic addunt, qui ab omnibus in eodem nomine abest §. ιά. Contra servavi vulgatum ὑμᾶς, quod Reisk. ex Aug. 1. in ἡμᾶς, mutans, una opera ἀφῃρήμεθα corrigi malit propter sequens ἐροῦμεν. Potuisset suæ rationi pa-

φόμενοι, τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε, τί πρὸς θεῶν ἐροῦμεν; ἢ τί γράψει ποτὲ ὁ τὸ ψήφισμα ὑπὲρ [1] ὑμῶν γράφων; Ὅτι, νὴ Δία, ἦσάν τινες τῶν εὑρημένων ἀνάξιοι; Ἐὰν οὖν εἴπῃ πρὸς ταῦτα ἐκεῖνος· καὶ γὰρ Ἀθηναίων τινὲς εἰσὶ φαῦλοι ἴσως, καὶ οὐ διὰ ταῦτ᾽ ἐγὼ τοὺς χρηστοὺς ἀφειλόμην, ἀλλὰ τὸν Δῆμον νομίζων χρηστὸν πάντας ἔχειν ἐῶ· οὐ δικαιότερ᾽ ἡμῶν ἐρεῖ; ἔμοιγ᾽ οὖν δοκεῖ. Παρὰ
469 πᾶσι γὰρ ἀνθρώποις μᾶλλόν ἐστιν ἔθος, διὰ τοὺς εὐεργέτας, καὶ ἄλλους τινὰς εὖ ποιεῖν τῶν μὴ χρηστῶν, ἢ διὰ τοὺς φαύλους, τοὺς ὁμολογουμένως ἀξίους χάριτος τὰ δοθέντα ἀφαιρεῖσθαι. Καὶ μὴν οὐδ᾽, ὅπως οὐκ ἀντιδώσει τῷ Λεύκωνί τις, ἐὰν βούληται, δύναμαι σκοπούμενος εὑ-

[1] ἡμῶν R.

tronum sistere Anonymum in Rhet. Græc. select. Galei p. 200., ubi plane legitur ἀφῃρήμεθα. At ego tum vicissim darem, qui secundæ personæ verbi patrocinatur, et generosi nominis hominem, Tiberium, ex eadem Collect. p. 176. Sed extra jocum; quum sæpe istorum pronominum, ὑμεῖς et ἡμεῖς, commutatio a scribis facta sit, eaque vel diligentioribus eorum facillima esse debuerit, in multis locis Oratorum dubium manet, utrum alteri sit præferendum. Et quas regulas nobis ponere possumus ad eorum usum in dissidio codicum discernendum, earum nulla satis huc convenit. Hic tamen de vulgatæ scripturæ veritate non dubitem. F. A. Wolf.

Τί πρὸς θεῶν ἐροῦμεν;] *Quod si quis nos roget, quid tandem per deos immortales respondebimus? quod nonnulli, credo, qui immunitatem civitatis beneficio consecuti fuerant, indigni eo beneficio erant?* Qua voce ostendit turpem futuram responsionem. vel, *nempe quod nonnulli*. sed ita, ut pronunciatione adjuvetur. Subdit enim statim, ἐὰν οὖν εἴπῃ πρὸς ταῦτα, &c. Ubi observandum quod νὴ Δία interrogationi servit, quæ vim habet ironiæ, ut περὶ Στεφάνου etiam dictum est. Sic Cicero de natura Deorum, "Quarum tandem voluptatum? nempe ad corpus pertinentium. nullam enim aliam novistis." *Ex edit.* Hervag.

Ὁ τὸ ψήφισμα etc.] *Quid tandem scribet civitatis nomine publicus Tabellio?* Nannius. Taylor.

Τί γράψει ποτὲ ὁ τὸ ψήφισμα ὑπὲρ ὑμῶν γράφων;] *Quid tandem scribet is, cui hoc mandabitur, ut Vestro nomine, Vestra auctoritate, regi rescribat?* Itaque τὸ ψήφισμα est *responsum, Leuconi publice reddendum*. Nuperus editor, semper ille nobis ad partes vocandus, corrigit τί γράψαι τότε, *tunc temporis, quum illud fiet*; idemque in textu dedit ὑπὲρ ἡμῶν, utrumque contra fidem librorum. Quanquam posterius minus improbo, etiam propter ista, οὐ δικαιότερ᾽ ἡμῶν ἐρεῖ; F. A. Wolf.

Ὅτι, νὴ Δία, ἦσάν τινες τῶν εὑρημένων ἀνάξιοι;] Hæc vim habent ironiæ, et pronunciando sunt adjuvanda. Rectius tamen forsan citra interrogationem legenda videantur, tanquam responsio suggesta ab adversariis. Cf. omnino §. ιγ΄. post med. Ex interpunctione vulgari Orator ipse dicit: *An illud forte scribemus, multos esse præmio indignos?* Idem.

Καὶ γὰρ Ἀθηναίων τινὲς —] Verbi causa, *homines erga regem tam ingrati, quam sunt fautores legis Leptineæ*. Id auctor ut non dicat, satis tamen innuit: unde locus admirabilis est urbanitate, quam ipse quodammodo sensit Ulpianus. Idem.

Καὶ μὴν οὐδ᾽ ὅπως οὐκ ἀντιδώσει —] Perverse hæc a nupero editore exponuntur. Ἀντιδοῦναί τινι nihil aliud est, quam *offerre alteri permutationem facultatum*. Igitur verte: *Quodsi quis Leuconem voluerit ad permutationem bonorum et facultatum adigere, quo id pacto caveri possit, ego non video*. Ratio statim subjungitur: Χρήματα γάρ ἐστιν ἀεὶ παρ᾽ ὑμῖν αὐτοῦ. Mox κατὰ τὸν νόμον τοῦτον, non τῆς ἀντιδόσεως, sed Leptinis. Omnis hæc ratio ἀντιδόσεως, et verba ἢ στερήσεται τούτων, ἢ λειτουργεῖν ἀναγκασθήσεται, aliquid lucis accipient e Prolegomm. Idem.

ρεῖν. Χρήματα μὲν γάρ ἐστιν ἀεὶ παρ' ὑμῖν αὐτοῦ· κατὰ δὲ τὸν νόμον τοῦτον, ἐάν τις ἐπ' αὐτὰ ἔλθῃ, ἢ στερήσεται τούτων, ἢ λειτουργεῖν ἀναγκασθήσεται. Ἔστι δ' οὐ τὸ τῆς δαπάνης μέγιστον ἐκείνῳ, ἀλλ' ὅτι τὴν δωρεὰν αὐτὸν [1]ὑμᾶς ἀφῃρῆσθαι νομιεῖ.

ιά. Οὐ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι! μὴ Λεύκων ἀδικηθῇ, μόνον δεῖ σκοπεῖν, ᾧ φιλοτιμίας ἕνεκα ἡ περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας· ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ παρ' ὑμῶν λαβεῖν τότε τὴν ἀτέλειαν. Τίς οὖν οὗτός ἐστιν; Ἐπικέρδης ὁ [2]Κυρηναῖος, ὅς, εἴπερ τις ἄλλος τῶν εἰληφότων, δικαίως ἠξιώθη ταύτης τῆς τιμῆς· οὐ τῷ μεγάλα ἢ θαυμάσια ἡλίκα δοῦναι, ἀλλὰ τῷ παρὰ τοιοῦτον καιρὸν, ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔργον ἦν εὑρεῖν

[1] ὑμᾶς αὐτὸν R. [2] κερκυραῖος R.

ιά. Ἀλλὰ καὶ εἴ τις ἄλλος—] Transitio ad novam partem Orationis facillima est: *Jam porro Vobis etiam hoc videndum, ne injuria afficiatis quenquam alium, si quis in Vos beneficia contulit, quum meliore fortuna uteretur; sed cui nunc iniquis rebus conflictanti, ad victum necessaria facta immunitas opportune subvenit, quam ei priore tempore concessistis.* His in verbis ut νῦν valet κακῶς πράττοντι, sic τότε necessario ad prius tempus spectat, h. e. ad εὖ πράττων. Unde libet mirari, ubi mens fuerit critico Anglico, quum τότε vero loco suo motum, ante εὖ πράττων transponendum censeret. Quod sicut nemini præter auctorem suum placuerit: ita illud errandi causam habere potest, quod Epicerdes, de quo Orator dicere ingreditur, non secus ac superstes vivensque commemoratur. Etenim tempora si reputes ex iis rebus, quæ in seqq. narrantur, vix ac ne vix quidem credibile est, vitam hominis ad tempus hujus causæ nostræ produci potuisse. Jam vero quum occurrat paullo disertior locus §. ιβ'., ubi *filiis illius, non ipsi*, sublatæ immunitates dicuntur damnum afferre, atque huc simul Ulpiani qualiscunque auctoritas accedat, haud dubium videri debet, quin Epicerdes prius diem obierit, quam hæc Oratio haberetur. At Demosthenes, velut de vivo loquens, h. l. dicit εἰς δέον νῦν γέγονεν αὐτῷ, et in reliquis quoque simili modo lectorem frustratur. Nempe in tota Oratione confundit ipsos, qui præmiis impertiti sunt, cum horum filiis et posteris. Eam vero rationem sequi potuit non inepte, quod, qui meritorum suorum gratia carent, etiam post mortem injuriæ quodam genere affici videntur; sequi autem debuit, quum provideret, quanto ea ratio potentior ad auditorum animos commovendos futura esset. Idem.

λαβεῖν τότε τὴν ἀτέλειαν] Subabsurda videtur hæc positio vocis τότε. transponi debet in priorem partem sententiæ: τότε εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν—λαβεῖν τὴν ἀτέλειαν. Confirmat Ulpianus: ὁ πάλαι εὐημερῶν, οὗτος νῦν ἐπίκουρον τοῦ ζῆν ἔχει τὴν ἀτέλειαν. Markland.

Κυρηναῖος] Epicerdes iste videtur fuisse ex Cyrene. Κερκυραῖος habent Ald. Ven. et Edit. Morel. Κυρηναῖος cum scholiaste defendunt Obsop. Bodl. Codd. Regg. α. ζ. Lindenb. et Editt. cæteræ. *Epicerde Corfiotto* Versio Italica cum Aldo. Taylor.

Ἐπικέρδης ὁ Κυρηναῖος] Hominis nec Thucydides, nec alius ullus eorum, qui ista tempora scripserunt, mentionem habet. Itaque quæri potest, an melius scribatur ὁ Κερκυραῖος cum Ven. Ald. Herv. et Ben., ex qua retinuit Reisk. Quod factum ut probet, in Notis scribit, *frequentiorem usum Atheniensibus fuisse cum Corcyræis, quam cum Cyrenæis, utpote qui Spartanæ fuissent originis.* At tali ratiuncula quis cautus et prudens moveatur in rebus factis? Vulgatum, a me resumtum, defendunt codd. optimi, et editt. pleræque cum Aristide Art. p. 452. et Scholiaste, cui hanc unam lectionem ob

ἐθέλοντά τινα, ὧν εὐεργέτητο, μεμνῆσθαι. Οὗτος γὰρ ἀνὴρ, ὡς τὸ ψήφισμα τοῦτο δηλοῖ τὸ τότε αὐτῷ γραφὲν, τοῖς ἁλοῦσι τότε ἐν Σικελίᾳ τῶν πολιτῶν, [1] ἐν τοιαύτῃ συμφορᾷ καθεστηκόσιν ἔδωκε μνᾶς ἑκατόν· καὶ τοῦ μὴ τῷ λιμῷ πάντας αὐτοὺς ἀποθανεῖν αἰτιώτατος ἐγένετο. Καὶ μετὰ ταῦτα, δοθείσης ἀτελείας αὐτῷ διὰ ταῦτα παρ' ὑμῶν, ὁρῶν ἐν τῷ πολέμῳ, [2] τῷ πρὸ τῶν Τριάκοντα μικρὸν, σπανίζοντα τὸν Δῆμον χρημάτων, τάλαντον [3] ἔδωκεν αὐτὸς
470 ἐπαγγειλάμενος. Σκέψασθε δὴ, πρὸς Διὸς καὶ θεῶν,

[1] καὶ ἐν T. [2] [τῷ] R. [3] ἐπέδωκεν R.

oculos fuisse apparet. F. A. Wolf.

Οὗτος γὰρ ἀνὴρ] Ante ἀνὴρ supra §. θ'. post med. Wolfius et Tayl. sua sponte addiderant articulum, nunc id facere neglexerunt. Neutro loco apponi debebat, licet in priori Aristides dederit οὗτος ὁ ἀνὴρ, in Art. p. 468. Pro vero habeo Brunckii monitum ad Aristoph. Eccles. 367., attice dici et οὗτος ὁ ἀνὴρ, et οὗτος ἀνήρ. Conf. posthac §. ιβ'. et ιϛ'. Mox τὸ ψήφισμα τοῦτο Orator extulit, vel manu tenens decretum, vel digito demonstrans. Idem.

Ἐν τοιαύτῃ συμφορᾷ—] Hisce particulam καὶ præponit Wolfius, et, qui eum raro deserit, Taylorus. Putarunt nimirum viri, ad participia, ἁλοῦσιν et καθεστηκόσι, juncturam requiri, plane ut librarius in Aug. 1. peccavit §. ιϛ'. addens καὶ post βασιλεῖ. Ceterorum librorum in utroque loco lectio verior, et in nostro quidem vertendum: *Dedit captis in Sicilia civibus nostris, qui tempore illa calamitate premerentur* etc. Ἐν τοιαύτῃ, *in tanta, et quam scitis*, uti §. ι. et λ'. Similiter τότε accipiendum, *illo tempore*, h. *insigni, noto omnibus*: ne quis ποτὲ emendet. Sane satis memorabilis Athenis fuit calamitas, Siculo bello inflicta, Olymp. 91, 4. Vide instar omnium, Thucydidem VII. inde a princ., aut, ex recentioribus, Meinertis Histor. doctrinar. apud Græcos et Rom. T. II. p. 273. Idem.

Ἐν τῷ πολέμῳ τῷ πρὸ τῶν τριάκοντα] Felicianus τῷ πρὸς τοὺς τριάκοντα. Sed tum τὸ μικρὸν abundat. In varia lectione annotatum est: τῷ πρὸς τριάκοντα μικρὸν σπανίζοντα. Si πρὸ τῶν τριάκοντα, videtur intelligendum id bellum, quo exitiosam cladem ad Ægospotamos acceperunt. Hoc enim secuta est Oligarchia xxx virorum. Τὸ μικρὸν σπανίζοντα non placet, nisi velis interpretari *nonnihil egere*. Nannius: *in bello adversus triginta Tyrannos*. Wolf. Nodum hic in scirpo quærit vir doctissimus. Nam si pungas, uti ego edidi, et ut ille etiam vertit, nihil subest difficultatis. Interpres Italus: *nella guerra, che fu poco inanti de i Trenta*. Tayl.

Ind. Ald. pro varia lectione dat, πολέμῳ πρὸς τριάκοντα. Felic. in textu, πολέμῳ τῷ πρὸς τοὺς τριάκοντα, et sic Par. codd. Contra Man. vitiose, πολέμῳ, τῷ πρὸς τοὺς τῶν τριάκοντα. Auget hanc varietatem aberrationum Margo Ben., habens πολέμῳ πρὸς τοὺς Τριάκοντα. Quod nos cum Ald. Herv. Wolf. Tayl. Reisk. edidimus, firmatur a Lind. Vind. Aug. 1., nec dubia esse hujus scripturæ auctoritas debet, et pessime quorundam exemplo μικρὸν cum σπανίζοντα junxeris. Neque melius commentum Reiskii, cui alterum τῷ delendum videtur. Ὁ πόλεμος ὁ πρὸ τῶν Τριάκοντα μικρὸν, scil. χρόνον, haud dubie accipiendum est de bello Δεκελεικῷ, vel hujus extrema parte, dominationem XXX virorum proxime progressa. F. A. Wolf.

Αὐτὸς ἐπαγγειλάμενος] Αὐτεπάγγελτος, ut est in Isocratis parænesi, ἐν τοῖς καιροῖς τοῖς φίλοις βοηθήσαις, ἀλλὰ μὴ τὰς παρ' ἐκείνων δεήσεις ἀναμείνας. Wolf.

Τάλαντον ἔδωκεν αὐτὸς ἐπαγγειλάμενος] Posteriora duo passim Græci uno verbo efferunt, αὐτεπάγγελτος, in quo αὐτὸς est *sponte*, uti Lat. *ipse*. Quanquam ipsum ἐπαγγέλλεσθαι interdum est *sua sponte aliquid offerre*, aut *præstandum suscipere*. Diligenter verbum tractavit Taylorus in Annotatt. ad Demosth. de fals. leg. Arg. post. In prioribus Reisk. pro ἔδωκεν dedit ἐπέδωκεν, in quo nollem unius codicis Par. 1. fidem secutus esset. Parum id defendere potuisset vel usu loquendi attico, ex quo ἐπιδιδόναι et ἐπιδόσεις dixerunt de *pecunia in Reip. necessitatibus sponte collata*, vel etiam Ulpiani ad h. l. verbis bis: ἰδὼν τὴν ὀλιγότητα τῆς ἐπιδόσεως. F. A. Wolf.

ἄνδρες Ἀθηναῖοι! πῶς ἂν ἄνθρωπος μᾶλλον φανερὸς γένοιτο εὔνους ὢν ὑμῖν, ἢ πῶς ἧττον ἄξιος ἀδικηθῆναι, ἢ πρῶτον μὲν εἰ, παρὼν τῷ τῆς πόλεως ἀτυχήματι, μᾶλλον ἕλοιτο τοὺς ἀτυχοῦντας καὶ τὴν παρὰ τούτων χάριν, ἥτις ποτ' ἔμελλεν ἔσεσθαι, ἢ τοὺς ἐν ἐκείνῳ τῷ χρόνῳ κεκρατηκότας, καὶ παρ' οἷς ἦν· δεύτερον δ', ἑτέραν χρείαν ἰδὼν, εἰ φαίνοιτο διδοὺς, καὶ μὴ, ὅπως ἰδίᾳ τὰ ὄντα [1] σώσει, προνοούμενος, ἀλλ' ὅπως τῶν ὑμετέρων μηδὲν ἐνδεῶς ἕξει, τὸ καθ' [2] αὑτόν; Τοῦτον μέντοι, τὸν τῷ μὲν ἔργῳ [3] παρὰ

[1] σώσοι T. [2] αὑτὴν. R. [3] περὶ T.

Πῶς etc.] Vide, ne te fallat Constructio Comparativi per ἢ et εἰ, quæ est hujusmodi: Πῶς ἄνθρωπος γένοιτ' ἂν μᾶλλον φανερὸς (φανερώτερος) εὔνους ὢν ὑμῖν (ὅτι ὑμῖν εὐνοεῖ) ἢ εἰ παρὼν μᾶλλον ἕλοιτο (τοῦ μᾶλλον ἑλομένου) τοὺς ἀτυχοῦντας· et deinde: δεύτερον ἢ (ἀπὸ κοινοῦ) εἰ ἰδὼν χρείαν ἑτέραν φαίνοιτο διδοὺς (τοῦ φαινομένου διδόναι) etc. Nannius: *Quam si nec socius, nec particeps, in calamitosissimis Reip. temporibus, victos, eorumque gratiam, si modo ulla futura esset, quam victores, in quorum societate erat, colere demererique præoptet?* Videtur pro ἢ πρῶτον μὲν, εἰ παρὼν τῷ τῆς πόλεως ἀτυχήματι legisse, ἢ εἰ μήτε σύμμαχος ὢν, μήτε κοινωνὸς, ἐν τῷ τῆς πόλεως ἀτυχήματι etc. et μηδὲν ἐνδεῶς, ut et Obsopœus notavit. Wolf. Χάριν, ἥτις ποτ' ἔμελλεν ἔσεσθαι h. *gratiam, qualiscunque ea tandem erat futura:* alibi χάριν ἄδηλον. Talis tum status erat rerum, qui haud magnam spem remunerationis viro facere posset. Κεκρατηκότας καὶ παρ' οἷς ἦν, intellige Syracusanos: ut tum, quum clades illa fieret, Epicerdes Syracusis habitasse videatur. Illinc posthac hominem Cyrenen revertisse, veri simile est; filios autem ejus, non errabimus, si Athenis domicilium habuisse hujus quidem caussæ tempore credamus. Ita etiam Ulpianus: Φασὶ δὲ τοὺς παῖδας μεταστῆναι τοῦ Ἐπικέρδους ἀπὸ Κυρήνης Ἀθήναζε. F. A. Wolf.

Ὅπως σώσοι] Sequitur ὅπως ἕξει. unde scribendum forte ὅπως σώσει. Apposite §. κ'. καὶ ὅπως — δόξετε· καὶ ὅπως — ἀφαιρήσεται· καὶ ὅπως ἕξετε. Markland. Ita Editt. optimæ. Taylor.

Ὅπως ἰδίᾳ τὰ ὄντα σώσει] Vulgo legunt σώσοι cum Ald. Herv. et Ben. In aliis est σώσῃ, sed in Felic. et Man. σώσει. Postremum rectum est unice, non ideo tamen, quod sequitur ἕξει; nam cur posterius verbum regulam faciat potius, quam prius? verum quod id exigit sermonis lex et ratio. Solœcismum facit ὅπως cum futuro optativi aut aoristo subjunctivi constructum, legitima Atticorum structura poscente indicativi futurum. Id poetarum usu accurate evicit Dawes. Miscell. crit. p. 227. et 276., quocum conf. exempla colligentem Fischerum ad Weller. p. 401. Reiskius autem quum hoc in loco vulgatum non male habere pronunciet, mirandum non est, quod et alios locos multos Oratorum reliquit eodem vitio inquinatos. Tamen vel ex sua ratione corrigere debebat verba Æschinis in Ctesiph. §. κγ'. med. Ἐπράττετε γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην· πρῶτον μὲν, ὅπως μὴ περιμενεῖτε (vulg. περιμείνητε) τοὺς πρέσβεις — δεύτερον δὲ, ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον κ. τ. λ. Similiter in Demosth. Olynth. A. §. ά. scribendum, δεῖ τοῦτ' ἤδη σκοπεῖν, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξομεν τῶν ὑπαρχόντων, ubi omnes edunt δόξωμεν. Recte contra vulgatur infra §. κ'. Πρόνοιάν τινα ἔχοντας — ὅπως δόξετε, ὅπως — ἀφαιρήσεται, καὶ ὅπως — ἕξουσι τὰ δοθέντα. Idem vitium sustuli ex Aristidis Declamat. §. ϑ'. F. A. Wolf.

Ὅπως τῶν ὑμετ.] Forte ὑμετέρων μηδεὶς ἐνδεῶς ἕξει. nam de *Personis* loquitur, et ultima syllaba in μηδὲν ortum habere potuit a subsequenti. Markland.

Ὅπως τῶν ὑμετέρων μηδὲν —] *Ne qua pars Reip. Vestræ seu rerum Vestrarum defectu quodam laboraret, quantum quidem in se esset, prospexit.* Clarus est sensus vocis μηδὲν, et jure Reiskio displicuit Marklandi conjectura, μηδείς. Neque eam, puto, protulisset vir magnus, si animum attendisset ad verba, τῶν ὑμετέρων. F. A. Wolf.

Περὶ] Lege παρὰ cum Ald. Lindenb. Bodl. Ven. Vindob. et Codd. Regg. α. ε. ζ. η. Ita §. ιβ'. οἱ παρὰ τὰς χρείας. Et similiter ιγ'. post med. Supra §. ιά. παρὰ τοιούτων καιρόν. Taylor. Inde ab Aldo

τοὺς μεγίστους καιροὺς οὑτωσὶ κοινὰ τὰ ὄντα τῷ Δήμῳ κεκτημένον, τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ τὴν ἀτέλειαν ἔχοντα, οὐχὶ τὴν ἀτέλειαν ἀφαιρήσεσθε, — οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται —, ἀλλὰ τὸ πιστεύειν ὑμῖν· οὗ τί γένοιτ' ἂν αἴσχιον; Τὸ τοίνυν ψήφισμα ὑμῖν αὐτὸ ἀναγνώσεται, τὸ τότε ψηφισθὲν τῷ ἀνδρί. Καὶ θεωρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι! ὅσα ψηφίσματα ἄκυρα ποιεῖ ὁ νόμος, καὶ ὅσους ἀνθρώπους ἀδικεῖ, καὶ ἐν ὁποίοις καιροῖς χρησίμους ὑμῖν παρασχόντας ἑαυτούς! Εὑρήσετε γὰρ τούτους, οὓς ἥκιστα προσῆκεν, ἀδικοῦντα. Λέγε!

[1] ΨΗΦΙΣΜΑΤΑ.

ιβ'. Τὰς μὲν εὐεργεσίας, ἀνθ' ὧν εὕρετο τὴν ἀτέλειαν ὁ

[1] Ψήφισμα R.

plurimi editores dederunt περὶ τ. μ. κ. Perperam. Usum particula παρὰ, quam codices exhibent pæne omnes, declarabo ad §. λ'. Μέγιστοι καιροὶ sunt *tempora Reip. periculosa*, quæ a Latinis quoque nonnunquam dicuntur *tempora maxima, summa*. De his Latinis optime egit Ruhnken. ad Rutil. Lup. p. 28. F. A. Wolf.

Οὐδὲ οὔσῃ χρώμενος φαίνεται] *Nota et comperta res est, ipsum Epicerdem immunitatis tum, quum eam haberet, fructum non tulisse.* Verba, χρώμενος et οὔσῃ, ad *præteritum tempus actionis infectæ* pertinent, ita ut h. l. propria vis sua utrique participio constet. Suboluisse paullum hujus rei videtur Græculo, cetera veræ rationis temporum ignaro, qui adscripsit, χρώμενος esse pro χρησάμενος. Jam quum verba lucida sint, tamen sententiæ vis non ita est evidens. Etenim cur homo munificentia Populi uti noluerit, plures causás comminisci possumus. Mihi quidem si divinare licet, hoc unum videtur in caussa fuisse, quod nec ipse Athenis habitaret, neque illuc merces adveheret. In eadem opinione versatur unus Intpp. Græcorum, quorum cinnum ad h. l. legimus. F. A. Wolf.

Τὸ πιστεύειν ὑμῖν] Scil. ἀφαιρήσεσθε, *tolletis, destruetis, fidem Vestram.* Reiskius contra adscripsit: Post ὑμῖν videtur excidisse ὑμᾶς. *Sed ipsimet Vobis detrahetis fidem erga Vos aliorum, fiduciam publicam, in fide et constantia Vestra nitentem.* Saltem hæc modestior est conjectura, quam Augerii sic proxima mutantis: Τὰ τοίνυν ψηφίσματα ὑμῖν αὐτὰ ἀναγνώσεται, τὰ τότε ψηφισθέντα τῷ ἀνδρί. Ubi quid torserit virum doctissimum, paullo post intelligetur. Idem.

Καὶ θεωρεῖτε, ὅσα ψηφίσματα —] Meruerit de h. l., qui nobis caussam aperiet ardoris hujus, tam subito erumpentis in verbis, ὅσα ψηφίσματα — ὅσους ἀνθρώπους — ἐν ὁποίοις καιροῖς χρησίμους — Nam si totius loci nexum sententiarum excutias, vereor, ne jam Orator paullo ineptius atque præpropere sic exardescere videatur, qui hucusque solorum duorum, Leuconis et Epicerdis, mentionem fecerit. Eosne igitur homines, eaque psephismata innuit, de quibus ante eum Phormio egerat? An omnino alios innuit, quos cogitandos auditori relinquit, tales, qui, si ab Epicerde immunitas abjudicaretur, eodem judicio statim ipsi quoque suis præmiis excidere videri possent? An denique unum psephismatum de Epicerde, quæ nunc a scriba prælegantur, aliorum plurium, qui una cum illo Populum demeruissent, mentionem habuit? Mihi, ut in dubia re, conjectura primo loco posita satisfacit, etiam propter §. ιγ'. Quamquam obscura significatio ea, quam altera ista ratio habet, locum haud sane dedeceat. Idem.

ΨΗΦΙΣΜΑΤΑ] ΨΗΦΙΣΜΑ habet Cod. Lind. et e Regiis [α. ε. κ. Aug. 1. et Bav.] Recte. Supra, v. 5. τὸ τοίνυν ψήφισμα ὑμῖν αὐτὸ ἀναγνώσεται. Exaravit Scriba ψηφίσματα propter sequentem vocem τὰς, quæ adhæsit priori. Mox tamen v. 1. p. seq. ἀκηκόατε ἐκ τῶν ψηφισμάτων. Taylor. Librarii eodem modo decepti sunt, quo editores, Taylorus et Reiskius, quorum posterior audacius etiam textui

Ἐπικέρδης, ἀκηκόατε ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δικα-
σταί! Σκοπεῖτε δὲ μὴ τοῦτο, εἰ μνᾶς ἑκατὸν καὶ πάλιν
τάλαντον ἔδωκεν, — οὐδὲ γὰρ τοὺς λαβόντας ἔγωγε
ἡγοῦμαι τὸ πλῆθος τῶν χρημάτων θαυμάσαι —, ἀλλὰ
τὴν προθυμίαν, καὶ τὸ αὐτὸν ἐπαγγειλάμενον ποιεῖν, καὶ 471
τοὺς καιρούς, ἐν οἷς. Πάντες μὲν γάρ εἰσιν ἴσως ἄξιοι
χάριν ἀνταπολαμβάνειν, οἱ προϋπάρχοντες τῷ ποιεῖν
[1] ὑμᾶς εὖ· μάλιστα δ' οἱ παρὰ τὰς χρείας· ὧν εἷς οὗτος
ἀνὴρ ὢν φαίνεται. Εἶτ' οὐκ αἰσχυνόμεθα, ὦ ἄνδρες Ἀθη-
ναῖοι! τοὺς τοῦ τοιούτου παῖδας εἰ, μηδεμίαν ποιησάμενοι
τούτων [2] μηδενὸς [3] μνείαν, ἀφῃρημένοι φανούμεθα τὴν δωρεὰν,
μηδὲν ἔχοντες ἐγκαλέσαι; Οὐ γάρ, εἰ ἕτεροι μὲν ἦσαν οἱ
τότε σωθέντες ὑπ' αὐτοῦ, καὶ δόντες τὴν ἀτέλειαν, ἕτεροι
δ' ὑμεῖς, οἱ νῦν ἀφαιρούμενοι, ἀπολύει τοῦτο τὴν αἰσχύ-
νην· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ τὸ δεινόν ἐστιν. Εἰ γὰρ

[1] Deest ὑμᾶς. R. [2] Deest μηδενός. T. [3] μνείαν R.

singularem intulit. Quem errorem auctor ipse verbis, ἀκηκόατε ἐκ τῶν ψηφισμάτων, ita arguit et convincit, nihil ut contra dici possit. Nec in illis prioribus, τὸ ψήφισμα ὑμῖν αὐτὸ ἀναγνώσεται, τὸ τότε ψηφισθὲν τῷ ἀνδρὶ, mutationi quidquam præsidii est, quamvis ita sibi persuasisse videantur, qui primi mutarunt. Quæ verba etsi unum tantum psephisma designant illud, quod v. 2. p. 433. Orator monstravit, h. e. primarium, quo Epicerdi post primum ab eo in Pop. Athen. beneficium collatum immunitas decreta fuerat; at ea tamen nihil impediunt, quo minus nunc alia psephismata plura afferri potuerint. Atque huc ducunt plane verba, τὰς εὐεργεσίας. Quippe illud primarium decretum ad unum prius beneficium spectasse videri debet. Adeo nihil probabilius est, quam Epicerdi posterioris meriti causa novo decreto gratias actas, immunitatemque denuo ratam habitam, forsan novum præmium aliquod additum fuisse. F. A. Wolf.

ιβ΄. Πάντες μὲν γὰρ etc.] Expressius hæc aliquanto, quam Wolfius, vertebat Interpres Alemarianus: *Digni enim sunt meriti vicissitudinem sentire, quicunque primi benefacere instituerunt, maxime in rebus arctis et afflictis:* Et, paucis interjectis: *Non enim inde, quod alii nunc sunt Athenienses, qui immunitatem auferunt, alii, quibus ille benignitatem suam impendit, dedecus hujus improbitatis exstinguitur: eo enim ipso gravissimum redditur.* Taylor.

Τῷ ποιεῖν ὑμᾶς εὖ] Pronomen ὑμᾶς Reiskius cum Par. 1. 5. et Aug. 1. omittit, sententiam melius ad omnes homines, quam ad solos Athenienses, pertinere putans. Speciem id habet, non veritatem; quod mecum sentiet, quisquis attenderit sequentia, ὧν εἷς οὗτος ἀνὴρ ὢν φαίνεται. In quibus ad sensus integritatem verbum unum alterumve deesset, si sententia prior omisso pronomine universe caperetur. Ceterum rarius vocabulum, ἀνταπολαμβάνειν, ex h. l. notavit Suidas. F. A. Wolf.

Τοὺς τοῦ τοιούτου παῖδας εἰ, μηδεμίαν —] Rationem construendi loci interpungendo adjuvi, quo citius pateret, τοὺς — παῖδας ad ἀφῃρημένοι referri, non ad αἰσχυνόμεθα. A loco suo paullum remotam particulam εἰ nemo mirabitur, qui cogitet vim verborum τοὺς τοῦ τοιούτου παῖδας, qua principem sibi in oratione locum poscebant. Simile illud §. κέ. καὶ τοὺς προγόνους, ὀργίζεσθε, ἐὰν κ. τ. λ. Et Latinorum eundem morem esse ponendarum conjunctionum, quis ignorat? Idem.

Μηδεμίαν ποιησάμενοι τούτων μνείαν] Auctius Edit. Paris. τούτων μηδενὸς μνείαν et rectius, ut fere. sic §. ις΄. med. μηδεμίαν ποιησαμένους τούτων μηδενὸς μνείαν. Markl. Verissime. F. A. Wolf. V. Var. Lect.

Τὸ δεινὸν] Verius puto τῶν δεινῶν ἐστιν ut §. ιέ. ad fin. τῶν αἰσχίστων ἐστί. Plenius §. κθ΄. ἕν τι τῶν αἰσχρῶν ἐστι. Markl.

Αὐτὸ δὴ τοῦτο καὶ τὸ δεινόν ἐστιν] *In hoc ipso atrocitas rei inest. Hoc vel ipsum est*

οἱ μὲν εἰδότες καὶ παθόντες ἄξια τούτων ἐνόμιζον εὖ πάσχειν, ἡμεῖς δ' οἱ λόγῳ ταῦτ' ἀκούοντες, ὡς [1] ἀναξίων ἀφαιρησόμεθα, πῶς οὐχ ὑπέρδεινον ποιήσομεν; [2] Ὁ αὐτὸς τοίνυν ἐστί μοι λόγος οὗτος καὶ περὶ τῶν τοὺς Τετρακοσίους καταλυσάντων, καὶ περὶ τῶν, ὅτ' ἔφευγεν ὁ Δῆμος, χρησι-

[1] ἀνάξιον R.

[2] Deest articulus. R.

imprimis grave et atrox. Bene ita Reisk. vertit, rejecto commento Marklandi, qui temere maluerat, καὶ τῶν δεινῶν ἐστίν. F. A. Wolf.

Οἱ μὲν εἰδότες καὶ παθόντες] Legi vel intelligi potest εὖ ante παθόντες. Ulpianus legebat ἰδόντες, (uti etiam exhibet Codex s. in margine Edit. Paris.) et παρόντες. Putares tamen, Demosthenem scripsissé: εἰ γὰρ οἱ μὲν εἰδότες καὶ [ἔργῳ] μαθόντες, *facto experti*; quia statim respondet, οἱ λόγῳ ἀκούοντες, quemadmodum postulat Oppositio (ut §. ιά. ad fin. et §. ιθ'.) et mos scribendi; et quia λόγῳ hic superfluum est, nisi præcesserit ἔργῳ. Contra §. κζ'. pro τί παθὼν male legitur τί μαθών. Quæ sequuntur, ἄξια τούτων ἐνόμιζον εὖ πάσχειν, difficilia sunt, neque ex Demosthenis perspicuitate. Legi potest ἀξίους τούτους etc. *dignos hos* (Epicerdem scil. et filios ejus) *beneficio censebant*: ut §. κθ'. εἰ μηδεὶς — γέγονεν ἄξιος εὖ παθεῖν. Sed forte gravius mendum subest, ex defectu. Markland. παρόντες etiam legit Aug. Ital. Bodl. Cant. et forte MSS. Manut. Deinde τοῦτον (i. e. Epicerdem) ἐνόμιζον εὖ πάσχειν Bodl. et Cant. et pariter modo ὡς ἀνάξιον ἀφαιρησόμεθα iidem cum Italico. Taylor. Jam Marklandus ita facit, argutando, mutando, vix ut virum agnoscas. — Videamus de singulis. Principio necesse non est, ut propter λόγῳ infercias ἔργῳ. Hæc vocabula duo quamvis sæpe sibi diserte respondeant, tamen non raro admodum ipsius sententiæ vis facit, ut alterutrum omittatur. Et sic h. l. plane inest illud ἔργῳ in εἰδότες et παθόντες. Nam εἰδὼς proprie est, *qui adfuit rei aut interfuit.* Vid. ad §. ιγ'. med. Ac πάσχειν tum demum dicimur, *quum quid experimur ipsi.* Ita etiam πρόφασιν, cui verbo non minus sæpe opponi solet τὸ ἀληθὲς (vid. Markl. ad Maxim. Tyr. p. 702.) nude legitur in Philippi Epist. ap. Nostrum Or. de Cor. §. κγ'. Εἶτ' οἴεσθέ με λανθάνειν, ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα, πρόφασιν μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς κ. τ. λ. Conf. Wesseling. similia monentem ad Diodor. Sic. XI. 39. Ipsum vero παθόντες vel propter sequens πάσχειν loco moveri non debebat, et οἱ παθόντες plane sunt, quos gallice dicas *les objets de sa bienfaisance.* Ulpiani verba, τῶν ἰδόντων καὶ παρόντων, ad meram explicationem referenda sunt. Sed inde tractum puto, quod a nonnullis libris in textum intruditur, οἱ μὲν ἰδόντες καὶ παρόντες. Deinde pro τούτων post ἄξια in Bodl. Cant. et Marg. Vin. est τοῦτον, et pro ἀναξίων in iisdem et Ital. ἀνάξιον, facili utrumque lapsu. Vulgatis hic quoque nihil verius. *Majores nostri ab Epicerde* εὖ πάσχειν ἄξια τούτων ἐνόμιζον, h. e. *credebant affectos se esse beneficio hac mercede digno.* In his clarum est, ταῦτα dici *donum, de quo nunc agitur, immunitatem.* Usus is pronominis occurrit etiam §. ιγ'. post med. Et infra §. κς'. post med. quod legimus, ἄξια τῆς ἀτελείας, id nihil aliud significat, quam nostrum ἄξια τούτων. Accusativus autem, ἄξια, junctus cum εὖ πάσχειν, non magis mirus esse potest, quam in forma, μεγάλα εὖ πάσχειν ac similibus aliis. Postremo ἀναξίων eodem neutro genere positum, quo ἄξια, eodem etiam refertur; casus vero secundus absolute capiendus, ut sit, ὡς ἀναξίων ὄντων, *quasi illa beneficia tali mercede digna non sint.* Hujus genitivi structuræ et potestatis exempla præbet Dorvill. ad Charit. p. 354. Criticus Lipsiensis reliquis quidem in textu pepercit, unum reposuit ἀνάξιον, nimirum ne otiosus nihil novi intulisse videretur. F. A. Wolf.

Ὁ αὐτὸς etc.] Deest in plurimis Exemplaribus, ut e. c. in Vindob. vox prima, in optimo Lindenbrogiano occupavit locum τοῦ οὗτος. Certe οὗτος tuto abesse potest. Taylor.

Ὁ αὐτὸς τοίνυν ἐστί μοι λόγος οὗτος —] *Idem plane mihi dicendum est* etc. Articulus ante αὐτὸς in libris quibusdam extritus est, sed eum Græca consuetudo exigit. Ait quidem Reiskius, libros illos temere imitatus, αὐτὸς ab Atticis poni pro ὁ αὐτός, id vero vellem exemplis demonstrasset. Tu credes potius Valckenaerio ad Euripid. Phœn. 927. F. A. Wolf.

Περὶ τῶν τοὺς Τετρακοσίους καταλυσάντων —] De præmiis eorum, qui CCCC virorum potestatem fregerant, dubito, an

μους αὐτοὺς παρασχόντων. Πάντας γὰρ αὐτοὺς δεινότατ' ἂν ἡγοῦμαι παθεῖν, εἴ τι τῶν τότε ψηφισθέντων αὐτοῖς λυθείη. Εἰ τοίνυν τις ὑμῶν ἐκεῖνο πέπεισται, πολὺ τοῦ δεηθῆναί τινος τοιούτου νῦν ἀπέχειν τὴν πόλιν, ταῦτα μὲν εὐχέσθω τοῖς θεοῖς, κἀγὼ συνεύχομαι· λογιζέσθω δὲ, πρῶτον μὲν, ὅτι περὶ νόμου μέλλει φέρειν τὴν ψῆφον, ᾧ μὴ λυθέντι δεήσει χρῆσθαι, δεύτερον δὲ, ὅτι βλάπτουσιν οἱ πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις. Οὐ γὰρ ἂν μετέπιπτε τὰ πράγματα ἐπ' ἀμφότερα, εἰ μὴ τοὺς μὲν ἐν κινδύνῳ καθεστηκότας καὶ πράξεις χρησταὶ, καὶ νόμοι, καὶ ἄνδρες χρηστοὶ καὶ πάντα ἐξητασμένα ἐπὶ τὸ βέλτιον προῆγε· τοὺς δὲ ἐν [1] πάσῃ καθεστάναι δοκοῦντας εὐδαιμονίᾳ πάντα ταῦτα ἀμελούμενα 472
ὑπέρρει κατὰ μικρόν. Τῶν γὰρ ἀνθρώπων οἱ πλεῖστοι

[1] ἁπάσῃ R.

ulla alibi memoria exstet. Οἱ Τετρακόσιοι sunt ii, qui, auctoribus maxime Pisandro et Antiphonte, sublata democratia, imperium acceperunt Olymp. 92, 1. anno exeunte. Quæ oligarchia præludebat graviori ac longiori dominatui XXX tyrannorum. Illis enim imperium quatuor mensium fuit, abolitum jam Olymp. 92, 2. Arch. Theopompo. Vid. Thucyd. VIII. 64. seqq. Diodor. XIII. 36. seqq. Aristot. ap. Harpocrat. v. Τετρακ. et cf. Taylori Vit. Lysiæ p. 114. Post id factum septem annis evenit, quæ mox memoratur, *fuga popularium*, ὅτ' ἔφευγεν ὁ Δῆμος, metu tyrannorum. Eo tempore qui Civitati opem tulerant, præmiis postea honestati sunt, etiam μέτοικοι, teste Lysia Or. XXXI. p. 887. Idem.

Ταῦτα μὲν εὐχέσθω τοῖς θεοῖς] Post εὐχέσθω Reiskio videbatur excidisse βέβαια μένειν. Non vidit igitur, ταῦτα nihil esse aliud, quam illud, τὴν πόλιν πολὺ ἀπέχειν τοῦ δεηθῆναί τινος τοιούτου. Nam id eum fugere non poterat, Græce dici εὔχεσθαί τι θεῷ τινί. Ceterum h. l. egregia conversio sententiæ notetur. Post τὴν πόλιν exspectamus, dum inferatur ἐκεῖνος ἁμαρτάνει, vel simile quid. Id vero mutatur boni ominis causa. Idem.

Τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πόλεις] Verbum neutrum h. l. est οἰκεῖν, ut sæpe apud Atticos. Isocrates in ejusdem tenoris sententia Areop. p. 205. Ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κ. τ. λ. Idem.

Τοὺς μὲν ἐν κινδύνῳ καθεστηκότας] In hoc, et in opposito, τοὺς δὲ ἐν πάσῃ καθεστάναι δοκοῦντας εὐδαιμονίᾳ, denuo πόλεις cogitabis, quod ante legebatur. Quippe masculina participia tantum variandæ orationi serviunt. Πάντα ἐξητασμένα, *summa omnium rerum diligentia et cura*: contra πάντα ταῦτα ἀμελούμενα. Ita *industria* et *incuria* inter se opposita sunt in simili loco Sallust. in princ. Epist. de Rep. ord. Idem.

Ὑπέρρει κατὰ μικρὸν] Tropi similes ejus, qui verbo ὑπέρρει inest, in quaque pæne lingua frequentantur. Simili item usus Noster Olynth. A. §. γ'. de *fortuna dilabente* habet καταρρεῖν, ubi Scholion: διαφθείρεσθαι, ὡς ἀπὸ μεταφορᾶς τοίχου τινὸς παλαιοῦ, ὅταν ὑπὸ τῆς παλαιότητος καὶ τοῦ χρόνου αὐτὸς ὑφ' ἑαυτοῦ διαβιβρώσκηται καὶ ἀναλίσκηται. Notabilem autem nostrum locum facit activa vis verbi ὑπερρεῖν, propter quam etiam a Lexicographis inde a Budæo laudatus est, quum exemplum ejus videretur unicum esse. Recte. Sed quod superest, ut eum usum causis suis explicemus, possit fortasse ab aliquo huc illud trahi, quod simplex verbum ῥέω non prorsus insolenter occurrit sensu transitivo *effundendi*, de quo vid. Musgrav. ad Euripid. Hecub. 528. Brunck. ad Apollon. Rhod. III. 225. et Ruhnken. Epist. crit. II. p. 264. Possit adeo Latinum *ruo* comparari, quod ut ortum est ex Gr. ῥύω h. e. ῥέω, ita interdum originis suæ antiquam potestatem activam servat, in compositis maxime, ut in *diruo*, *obruo*, *proruo*, *corruo*, *subruo*, quorum postremum plane reddit nostrum ὑπερρεῖν. His tamen rationibus omissis potius hæc simpliciora sequenda censeo. Bene et ad

κτῶνται μὲν τἀγαθὰ τῷ καλῶς βουλεύεσθαι, καὶ μηδενὸς καταφρονεῖν· φυλάττειν δὲ οὐκ ἐθέλουσι τοῖς αὐτοῖς τούτοις. Ὃ μὴ πάθητε νῦν ὑμεῖς, μηδὲ οἴεσθε νόμον τοιοῦτον θέσθαι δεῖν, ὃς καλῶς τε πράττουσαν τὴν πόλιν ὑμῖν πονηρᾶς δόξης ἀναπλήσει, ἐάν τέ τι συμβῇ ποτὲ, ἔρημον τῶν ἐθελησόντων ἀγαθόν τι ποιεῖν αὐτὴν καταστήσει.

ιγ΄. Οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι! τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς, καὶ παρασχόντας χρησίμους αὐτοὺς ἐπὶ τηλικούτων καὶ τοιούτων καιρῶν, οἵων μικρῷ πρότερον Φορμίων διεξελήλυθε, κἀγὼ νῦν εἴρηκα, ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι· ἀλλὰ καὶ πολλοὺς ἄλλους, οἳ πόλεις ὅλας, τὰς ἑαυτῶν πατρίδας, συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου παρέσχον, καὶ λέγοντες ἃ συμφέρει τῇ πόλει τῇ ὑμετέρᾳ, καὶ πράττοντες· ὧν ἔνιοι διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν στέρονται τῆς πατρίδος. Ὧν ἐπέρχεταί μοι πρώτους ἐξετάσαι τοὺς ἐκ Κορίνθου φυγόντας· ἀναγκάζομαι δὲ λέγειν πρὸς ὑμᾶς ταῦτα, ἃ παρ᾽ ὑμῶν τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα. Τὰ μὲν οὖν ἄλλα, ὅσα χρησίμους ἡμῖν ἑαυτοὺς ἐκεῖνοι παρέσχον, ἐάσω. Ἀλλ᾽, ὅθ᾽ ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένετο,

analogiam sermonis apte res dici potest *ὑποῤῥεῖν τι*, (h. e. *ῥεῖν ὑπό τι*,) quæ aliam rem *subterlabitur*, et ita facit, ut ea subsidat deque statu suo dejiciatur. De aqua proprie id usurpare licet: at quidni facili translatione idem liceat in aliis rebus omnibus, quibus quid labefactatur, subvertitur, aut corruit? Jam non in verbo ipso vis activa quæri debet, sed in verbi et præpositionis conjunctione, quo modo transitiva fiunt cognata, *παραῤῥεῖν*, *διαῤῥεῖν* et alia. Ita jam sententiam vertes: *Hæ autem res, quas dixi, neglectæ et contemtæ labefactant atque subruunt paullatim eas civitates, quæ optime sibi videbantur loco stare, omnique genere felicitatis frui.* Aliter verbum accepit Valcken. ad Theocrit. VII. 121. prim. edit. Rectius, an secus, facile nunc erit judicare. Idem.

Τῷ μηδενὸς καταφρονεῖν] Hoc est, *nihil omnium negligendo, nihil existimando esse tam minutum, ut cura et animadversione sua indignum sit.* Idem.

Ὑμῖν] Forte cum Ald. Ven. Codd. Regg. ζ. κ. Vindob. *τὴν πόλιν ὑμῶν*, vel cum α. et β. *τὴν πόλιν ἡμῶν*. Taylor.

Tertius casus recte habet, frequenter sic a Græcis pro secundo poni solitus, qui præsertim h. l. ad verbum *ἀναπλήσει* trahi possit. Vocabulis, *καλῶς πράττουσαν τὴν πόλιν*, respondent hæc, *ἐάν τι συμβῇ ποτὲ*, *si quid acciderit*, notus euphemismus. Conf. ad §. κγ΄. ad fin. F. A. Wolf.

ιγ΄. Συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου] Quum antecesserit *ὑμᾶς*, statimque sequantur *ὑμετέρᾳ* et *ὑμᾶς*, mirum est, in nullo libro occurrere *συμμάχους ὑμῖν*. Similiter infra displicere potest *πύλας ἡμῖν*, quum et ibi ter repetatur secunda persona. Nihil tamen in neutro loco muto. Vid. quæ dixi §. ι. Ὁ πρὸς Λακεδαιμονίους πόλεμος bellum est, quod decem annis post Peloponnesiacum exarsit, ut statim notabimus. Idem.

Ἀναγκάζομαι δὲ] Ita Editt. vetustæ. Francofurtensis δή. abest a Vindob. Taylor.

Ἡ μεγάλη μάχη] Facta est ea pugna Diophanto Archonte, anno 2. Olymp. 96. Eam satis fuse narrat Xenopho lib. 4. Hellenicorum. Palmer.

Ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους —

ἢ ἐν Κορίνθῳ· τῶν ἐν τῇ πόλει βουλευσαμένων μετὰ τὴν
μάχην, μὴ δέχεσθαι τῷ τείχει τοὺς στρατιώτας, ἀλλὰ
πρὸς Λακεδαιμονίους ἐπικηρυκεύεσθαι, ὁρῶντες ἠτυχηκυῖαν
τὴν πόλιν, καὶ τῆς παρόδου κρατοῦντας Λακεδαιμονίους;
οὐχὶ προὔδωκαν, οὐδ' ἐβουλεύσαντο ἰδίᾳ περὶ τῆς αὑτῶν 473
σωτηρίας· ἀλλὰ πλησίον ὄντων, μεθ' ὅπλων, ἁπάντων
Πελοποννησίων, ἀνέῳξαν τὰς πύλας ἡμῖν βίᾳ τῶν πολλῶν,
καὶ μᾶλλον εἵλοντο μεθ' ὑμῶν τῶν τότε [1] στρατευσαμένων,
εἴ τι δέοι, πάσχειν, ἢ χωρὶς ὑμῶν ἀκινδύνως σεσῶσθαι,
καὶ εἰσέφρουν τὸ στράτευμα, καὶ διέσωσαν καὶ ὑμᾶς καὶ

[1] στρατευομένων R.

ἢ ἐν Κορίνθῳ] h. e. *ad Corinthum, in agro Corinthio*, nominatim ἐν τῇ Νεμέᾳ, *in agro Nemeensi*, ut Xenophon scribit Hellen. IV. 2. 8., qui cum Diodoro XIV. 83. collatus nostro loco lucem dat, et ab eo vicissim accipit. Prœlium, cujus Demosthenes meminit, factum videtur Olymp. 96, 2., primo anno ejus belli, quod a Bœotis, Atheniensibus, Argivis, Corinthiis, aliisque fœderatis adversus Lacedæmonios gestum, auctores passim Corinthium vocant. Terminavit id bellum pax Antalcidæ, ut narratur mox, et apud Aristid. T. I. p. 460. Conf. Wesseling. ad Diod. l. c. De toto bello plura sciremus, si superessent hodie historici, quos Schol. laudat, Ephorus et Androtio. Optime tamen hic locus noster docet, duas tum Corinthi factiones fuisse, unam Spartanam, alteram Atticam. Ad illam spectant verba, τῶν ἐν τῇ πόλει, et τῶν πολλῶν, ad quæ conf. Xenoph. c. 4. §. 1., ubi pacis suasores ait fuisse Corinthiorum τοὺς πλείστους καὶ βελτίστους. Altera factio et milites Athenienses designantur verbis, τοὺς στρατιώτας. F. A. Wolf.

Ἀλλὰ πρὸς Λακεδαιμονίους ἐπικηρυκεύεσθαι] Ut qui legatos mittunt dicuntur πρεσβεύεσθαι καὶ διαπρεσβεύεσθαι, sic ἐπικηρυκεύεσθαι λέγονται αἱ πόλεις, ὅταν τοὺς κήρυκας ἐπὶ συμβάσεσι καὶ σπονδαῖς πέμπωσι. καὶ ἐπικηρυκεία dicitur, ὅταν κήρυκες πέμπωνται αἰτησόμενοι ἀνοχὰς ἢ εἰρήνην. *Ex edit.* Hervag. *Fecialem pro pace mittere.* Nannius.

Πρὸς Λακεδαιμονίους ἐπικηρυκεύεσθαι] *Legatos de pace aut induciis mittere Spartam*, ad Ephoros, quorum fuit talis consultatio. Harpocratio: ἐπικηρυκεία· τὸ περὶ διαλλαγῶν καὶ φιλίας κήρυκας πέμπειν. Verbum inde ductum, quod legationibus de pace fere caduceator, κῆρυξ, addi solebat. Vid. Æschin. in Ctesiph. §. κγ'. Paullo post, βίᾳ τῶν πολλῶν, *invita et reluctante multitudine.* F. A. Wolf.

Εἰσέφρουν] Hæc est lectio Codd. MStorum atque itidem Editt. plurimarum, ante Francofurtensem. Eam vero scripturam in ista editione non consilio, ut arbitror, sed imprudentia, immutatam arbitror in εἰσέφερον. Εἰσέφρουν est verbum Demosthenicum, ut notavit Harpocratio. Quem vide in Εἰσφρήσειν, Valesium ad locum, et Budæum Commentar. pag. 350. Aristoph. Vesp. 886.

Εἴ τις θύραισιν Ἡλιαστὴς, εἰσίτω,
Ὡς ἢν ἅπαξ ἂν λέγωσιν, οὐκ εἰσφρήσομεν.

Εἰσφρήσειν, εἰσάξειν, εἰσδέξασθαι. πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν. Suid. Nec apud Oratores solum, verum etiam apud priscam *Comœdiam*, ut observavit Harpocratio. Taylor. Similem glossam v. apud Ulpian, ad or. Chersones. Εἰσφρῆσαι] πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν ἀντὶ τοῦ εἰσάξειν καὶ εἰσδέξασθαι. v. istam orationem n. 18. ed. Lutet. (in schedis.) Idem. Herv. et Wolfii omnes obsidet εἰσέφερον. Scilicet, si forte exercitum humeris gestarunt. Vulgatum Taylorus restituit e collatione meliorum librorum. Εἰσφρεῖν, ἐκφρεῖν, διαφρεῖν, ἐπεισφρεῖν Atticorum sunt, et idem sonat εἰσφρεῖν, quod alibi et §. ιδ'. est εἰσάγειν, *intromittere*, quo sensu nemo Græce unquam dixit εἰσφέρειν. Vid. Harpocrat. Suidam et Etymol. M., cujus Grammatici verba attulit Brunck. ad Aristoph. Aves 193. Conf. præterea Comici Vesp. 125. 156. 162., ubi item Brunck. recte ἐκφέρειν mutat in ἐκφρεῖν, et Euripid. Troad. 647. Alcest. 1059. et Demosth. de Cherson. §. γ'. F. A. Wolf.

Καὶ εἰσέφρουν τὸ στράτευμα] *Admiserunt*, εἰσεδέξαντο. φρῶ γὰρ καὶ φρημί τὸ πρόημι:

τοὺς συμμάχους. Ἐπειδὴ [1] δὲ πρὸς Λακεδαιμονίους εἰρήνη μετὰ ταῦτα ἐγένετο, ἡ ἐπὶ Ἀνταλκίδου, ἀντὶ τῶν ἔργων τούτων ὑπὸ Λακεδαιμονίων ἐξέπεσον. Ὑποδεξάμενοι δ' ὑμεῖς αὐτοὺς, ἐποιήσατε ἔργον ἀνθρώπων καλῶν κἀγαθῶν. Ἐψη ίσασθε γὰρ αὐτοῖς ἅπανθ', ὧν ἐδέοντο. Εἶτα ταῦτα νῦν εἰ χρὴ κύρια εἶναι σκοποῦμεν; Ἀλλ' ὁ λόγος πρῶτον αἰσχρὸς τοῖς σκοπουμένοις, εἴ τις ἀκούσειεν, ὡς Ἀθηναῖοι σκοποῦσιν, εἰ χρὴ τοὺς εὐεργέτας ἐᾶν τὰ δοθέντα ἔχειν. Πάλαι γὰρ ἐσκέφθαι ταῦτα καὶ ἐγνῶσθαι προσῆκεν. Ἀνάγνωθι δέ μοι καὶ τοῦτο τὸ ψήφισμα αὐτοῖς!

ΨΗΦΙΣΜΑ.

Ἃ μὲν ἐψηφίσασθε τοῖς φεύγουσι δι' ὑμᾶς Κορινθίων, ταῦτ'

[1] δ' ἡ πρὸς R.

tradunt enim hoc modo formari a προϊῶ πρῶ per syncopen, et versione π in φ φρῶ fieri, unde φρημὶ, καὶ φρὶς, ut θὲς, et εἴσφρες, ut ἄφες. Aristoph. εἴ τις θύραισιν ἡλιαστὴς, εἰσίτω, ὡς ἡνίκ' ἂν λέγωσιν, οὐκ εἰσφρήσομεν, *nam cum causæ orari captæ fuerint, jam neminem admittemus* intro. *Ex edit.* Hervag.

Ἐπειδὴ δὲ πρὸς] Ex Aug. 1. Reiskius scripsit ἐπειδὴ δ' ἡ πρὸς — non majore, puto, jure, quam quo antea ex eodem codice et Par. 2. arripuit τότε στρατευομένων. F. A. Wolf.

Εἰρήνη ἡ ἐπὶ Ἀνταλκίδου] Non male vertit Wolfius ἐπὶ Ἀνταλκίδου, *duce* Antalcida. Vult Demosthenes, Antalcida *auctore*, et huic rei *præfecto*; qui *præcipuum locum* in ista pace componenda habuit: qua de re vide Xenophontem Ἑλλην. lib. IV, pag. 538. Ed. Leunclav. et lib. V. pag. 550. ubi Conditiones habes Pacis istius infamis, quæ vocabatur ἡ ἐπὶ Ἀνταλκίδου εἰρήνη. Cæterum minus nota est vulgo hæc significatio præpositionis ἐπὶ, quæ *auctoritatem* denotat Illius, de quo sermo fit. Sic ἐπὶ σοῦ, *te auctore*, ut recte et erudite vertitur apud Lucianum Saturnal. pag. 632. Ed. Grævii. et ita forte intelligendum difficile istud Marci II. 26. ἐπὶ Ἀβιάθαρ, *auctore Abiatharo.* ἐπὶ δύο ἢ τριῶν μαρτύρων, *auctoribus* (non *coram*) *duobus vel tribus testibus*, 1 Tim. V. 19. quod alibi (2 Cor. XIII. 1. ex Deuteron. XIX. 15.) dicitur, ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν, *auctoritate oris duorum* etc. id est, auctoritate duorum vel trium testium *narrantium*, vel *deferentium*. Sed de isto Marci loco etc. alias (σὺν Θεῷ) plenius et accuratius. Markland.

Ἡ ἐπὶ Ἀνταλκίδου] Ita ubique vocatur pax cujus pangendæ navarcho Antalcidæ a Lacedæmoniis auctoritas data est. Scilicet hunc sensum in hac locutione habet particula ἐπὶ, ut *auctoritatem* notet. Observatio hæc est Marklandi, quam præfero rationi Casaub. ad Polyb. I. 6. Sic sæpe ἐπὶ μάρτυρός τινος dicunt N. T. auctores, veteresque reliqui. F. A. Wolf.

Ἀλλ' ὁ λόγος πρῶτον αἰσχρὸς] Sic Cicero in Officiis: *In nonnullis rebus turpem ipsam dubitationem et deliberationem.* Mox ἀκούσειε τοῦ νόμου, v. 3. p. seq. penultima acuta, εὐκτικῆς γ. προσώπου. Wolf.

Ὁ λόγος πρῶτον αἰσχρὸς τοῖς σκοπουμένοις] *Statim hoc ipsum Vobis turpe erit, si rumor vulgaverit, Athenienses consultare* etc. Ὁ λόγος est *hoc*, seu *ea res, de qua loquimur*. Vid. Brunck. ad Sophocl. Ajac. 1268. Πρῶτον apponitur, ut alibi εὐθὺς, et pro ὑμῖν est τοῖς σκοπουμένοις. F. A. Wolf.

Πρῶτον] *Statim, ex primo aspectu.* Auger.

Τοῖς φεύγουσι] Congruentius forte τοῖς φυγοῦσι, propter ἐψηφίσασθε, et quia de re *præterita* loquitur. Markland.

Τοῖς φεύγουσι δι' ὑμᾶς Κορινθίων] Propter Marklandum, qui aoristo ἐψηφίσασθε inductus, τοῖς φυγοῦσι corrigebat, etsi ad φεύγουσιν et φεύγοντας in §. ιδ'. nihil monuit, notare debemus, vocem φεύγειν, ubi

ἐστὶν, ὦ ἄνδρες δικασταί! Ὁρᾶτε δ', εἴ τις ἐκείνους τοὺς
καιροὺς [1] ἰδὼν, ἢ παρὼν ἢ τινος εἰδότος [2] καὶ διεξιόντος
ἀκούσας, [3] ἀκούσαι τοῦ νόμου τούτου, τὰς τότε δωρεὰς
δοθείσας ἀφαιρουμένου, [4] ὅσην ἂν κακίαν τῶν θεμένων τὸν
νόμον καταγνοίη! Οἱ παρὰ μὲν τὰς χρείας οὕτω φιλάν-
θρωποι καὶ πάντα ποιοῦντες, ἐπειδὴ δὲ ἐπράξαμεν πάνθ'
ὅσ' ἂν εὐξαίμεθα, οὕτως ἀχάριστοι καὶ κακοὶ φανησόμεθα,
ὥστε τούς τε ἔχοντας ἀφῃρήμεθα, καὶ τὸ λοιπὸν μηδενὶ
δοῦναι ταῦτ' ἐξεῖναι νόμον τεθείκαμεν. Νὴ Δία, ἀνάξιοι
γάρ τινες τῶν εὑρημένων ταῦτ' ἦσαν· τουτὶ γὰρ παρὰ 474
πάντ' ἔσται τὸν λόγον αὐτοῖς. Ἔπειτ' ἐκεῖνο ἀγνοεῖν
φήσομεν, ὅτι τὴν ἀξίαν, ὅταν διδῶμεν, δεῖ σκοπεῖν, οὐ
μετὰ ταῦθ' ὕστερον χρόνῳ [5] παμπληθεῖ; Τὸ μὲν γὰρ [6] ἐξ

[1] εἰδὼς R. [2] Deest καί. R. [3] [ἀκοῦσαι] R. [4] πόσην R.
[5] παμπληθεῖ. R. [6] ἐξαρχῆς T. R.

simpliciter *exulem* indicat, non minus quam ubi *reum*, per omnia tempora dici, quippe omnino pro substantivo acceptum. Exempla ejus usus occurrunt tanta copia, ut de eo dubitare non liceat. Sed est, ubi id ipsum dubitationem habeat, utra vis locis aptior sit, participii, an substantivi. Ita §. ιγ'. supra facile ferimus τοὺς ἐκ Κορίνθου φυγόντας. Contra apud Lycurg. in Leocr. p. 149. scribendum, οἳ τοῦτον ἴσασιν ἐν τῷ πολέμῳ φυγόντα καὶ ἐκπλεύσαντα Ἀθήνηθεν. Sed haec confusa sunt sæpissime. F. A. Wolf.

Ἰδὼν, ἢ παρὼν ἢ τινος εἰδότος καὶ διεξιόντος ἀκούσας, ἀκούσαι τοῦ νόμου τούτου] Generale, ἰδὼν ἐκείνους τοὺς καιροὺς, *intuens, considerans, illa tempora*, singulatim explicatur per apposita ἢ παρὼν ἢ ἀκούσας τινὸς εἰδότος καὶ διεξιόντος. In quibus εἰδότος item exprimi poterat voce, παρόντος. Sed hujus potestatem interdum habet εἰδὼς, eximio quodam modo usurpatum. Ut loco appositissimo Nostri Philipp. I. §. ϛ'. Ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούουσι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις κ. τ. λ. Jam audi, quid novissimo editori reponere placuerit. Dedit is, ἐκείνους τοὺς καιροὺς εἰδὼς, ἢ π. ἢ τ. εἰδότος διεξιόντος, deleta copula καί. Neque vero his contentus, jubet adeo ἀκούσας ad sequens membrum trahi, inciso post διεξιόντος posito, et omisso optativo ἀκούσαι, pro quo operarum culpa in nonnullis edd. comparet ἀκοῦσαι. Scilicet verbum omnino abesse narrat ab Aug. 1., nec admodum placere ejusdem vocis iterationem. Itaque placuit omnem structuram pervertere, ut jam non Demosthenem loquentem audiamus, sed tironem Græce balbutientem. Itane vero talem iterationem vir doctus hoc in loco primum sibi reperire videbatur? Qua nihil apud optimos scriptores utriusque linguæ frequentius, ut ejus exempla conquirere merus sit labor digitorum. Extremo denique arripuit idem πόσην ἂν κακίαν ex eodem caro Aug. Nos, quibus etiam carior est usus loquendi, vulgatum ὅσην reliquimus. Idem.

Νὴ Δία, ἀνάξιοι γάρ τινες τῶν εὑρημένων ταῦτ' ἦσαν] Supplendum ante hæc, quasi ab adversario aliquo dictum: *Recte ita a nobis decretum. Nam, profecto, indigni* etc. Subita conversio bene declaratur in Scholio, quod videat, qui sensum harum rerum ab Ulpiano exspectat. De seqq. τουτὶ παρὰ πάντ' ἔσται τὸν λόγον αὐτοῖς vid. ad §. ά. Idem.

Τουτὶ γὰρ] Utrum, *hoc per totam orationem inculcabunt*, an *præcipue hoc veluti firmamento nitentur?* Wolf.

Τὸ μὲν γὰρ ἐξ ἀρχῆς τι μὴ δοῦναι] Potuit eodem sensu dici, τὴν ἀρχὴν τι μὴ δοῦναι, *aliquid omnino non dare*. Locus hic est ex iis, unde discitur, quomodo ἀρχὴν vel τὴν ἀρχὴν particulæ neganti junctum, servata proprietate sua, significare potuerit *plane, omnino*. Ubicunque enim dicitur ἀρχὴν μὴ, τὴν ἀρχὴν οὐ, ibi notio inest rei non modo non factæ, sed *ne inceptæ quidem*. Conf. Lennep. ad Phalarid. Epp. p. 82. Mox inverso ordine citat Aristid. Art. p. 483. ἐστὶν ἔργον ἀνθρώπων, et seq. versu ἀφελέσθαι. Memoriter hoc ille, ut pleraque alia. F. A. Wolf.

ἀρχῆς τι μὴ δοῦναι, γνώμῃ χρησαμένων ἔργον ἀνθρώπων ἐστί· τὸ δὲ τοὺς ἔχοντας ἀφαιρεῖσθαι, φθονούντων. Τοῦτο δ' οὐχὶ δεῖ δοκεῖν ὑμᾶς πεπονθέναι. Καὶ μὴν οὐδὲ ἐκεῖνο ὀκνήσω περὶ τῆς ἀξίας αὐτῆς πρὸς ὑμᾶς εἰπεῖν. Ἐγὼ γὰρ οὐ τὸν αὐτὸν τρόπον νομίζω πόλει τὸν ἄξιον ἐξεταστέον εἶναι καὶ ἰδιώτῃ· οὐδὲ γὰρ περὶ τῶν αὐτῶν ἡ σκέψις. Ἰδίᾳ μὲν γὰρ ἕκαστος ἡμῶν σκοπεῖ, τίς ἄξιός ἐστιν ἑκάστου κηδεστὴς ἢ τῶν τοιούτων τι [1]γίγνεσθαι· ταῦτα δὲ καὶ νόμοις τισὶ καὶ δόξαις διώρισται· κοινῇ δ' ἡ πόλις καὶ ὁ Δῆμος, ὅςτις ἂν αὐτὸν εὖ ποιῇ καὶ σώζῃ· τοῦτο δ' οὐ γένει καὶ δόξῃ [2]κρινόμενον ἴδοι τις ἄν, ἀλλ' ἔργῳ. Ὅταν μὲν οὖν εὖ πάσχειν δέῃ, τὸν βουλόμενον εὖ ποιεῖν ἡμᾶς ἐάσομεν· ἐπειδὰν δ' [3]εὖ πάθωμεν, τότε τὴν ἀξίαν τοῦ ποιήσαντος σκεψόμεθα; οὐκ ἄρ' ὀρθῶς βουλευσόμεθα!

ιδ'. Ἀλλὰ, νὴ Δία, οὗτοι μόνοι τοῦτο πείσονται, καὶ

[1] γίνεσθαι T. R. [2] [κρινόμενον] R. [3] Deest εὖ. R.

